σπασμὸς δὲ καὶ τάραχος τῶν αὐτέων ἔῃ.] Haec Crassi lectio est, cui adstipulatur Petitus. Codd. *τῶν αἰτίων* ferunt, quod Wigano placuisse miror.

κλύδων δὲ ὑγρῶν ἀναπλέῃ ἐς τὰς διαπνοάς.] Cett. *ἀναπνέῃ*, quod de coniectura emendavi, collato loco, qui est infra, cap. de Melancholia: *ἀνέπλω κοτὲ καὶ ὑγρὸν δριμὺ ξὺν χολῇ.* — Pone *διαπνοάς* delevi verba *στόμα καὶ ῥῖνα*, quae glossema sunt, quo illud *διαπνοάς* exponitur. Infra cap. *περὶ αἵματος ἀναγωγῆς*: *κενώσιες ἢ διὰ φλεβῶν, ἢ διὰ ῥινῶν, ἢ δι' ἑτέρης διαπνοῆς.* — Hipp. de Alim. vol. II. p. 22. Ed. Kühn: *ἀρχὴ τροφῆς πνεύματος ῥῖνες, στόμα, βρόγχος, πνεύμων καὶ ἡ ἄλλη διαπνοή.*— Ilis quidem locis *διαπνοή* et *διαπνοαί* organa denotant, quibus tum spiritibus, tum fluidis, uti videtur, exitus e corpore conceditur. Vulgo *διαπνοή* est perspiratio per cutim, vid. auct. Defin. med. p. 375. Kuhn. Foës. in Oecon. in voce, similique sensu *διαπνοή* usurpatur a nostro sub finem huius libri: *τά τε γὰρ σώματα μανὰ, καὶ τὰ ὑγρὰ εὔροα, καὶ πολλὴ ἡ διαπνοὴ καὶ ἀποφορή.*

σὺν ὑγρῷ τὸ πνεῦμα.] Wiganus h. l. quaedam deficere putavit et mendum etiam ceteris subesse. Nimirum non vidit in verbis *σὺν ὑγρῷ τὸ πνεῦμα* apodosin huius sententiae haberi, quo factum, ut versio loci nasceretur parum congrua: idem error Crassi interpretationi adhaeret. Mox *ἄνεσις δή* edi solet; *δέ* V. *Pa. b.*

ὥςπερ ἐπὶ τοῖσι μεγάλοισι πνεύμασι ἡ θάλασσα τὴν ἄχνην.] Respicit Poëtae locum ex Il. IV. 421. seqq.

ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος.
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην.

Cap. 6. *Σπασμοὶ οἱ τέτανοι κ. τ. λ.*] Errat Petitus cum *τέτανοι* adiectivum esse h. l. affirmat; neque admittenda lectio, quam proponit, *σπασμοὶ, ἢ τέτανοι.* Crassus et Wiganus recte locum interpretati sunt: *σπασμοί* sunt genus, cuius species *τέτανοι*; hi ipsi vero rursus distinguuntur in *τέτανον* proprie ita dictum et *ἐμπροσθότονον*, et *ὀπισθότονον.*

ξυνδιδοῖ δὲ τὸ κακὸν ἐς τὸ πᾶν.] Libri MSS. et editi *ξυνδιδοῖ τε τὸ κ.*: Crassus pro *τε* habet *at*, unde *δέ* dedi. — Advertit *ξυνδιδοῖ* insolito quodam significatu, ni vehementer fallor, usurpatum; nempe ponitur pro *μεταδίδοται* et intransitive sumitur.

ἅπαντα γὰρ ξυμπαθέα τῇσι ἀρχῇσι γίγνεται.] Wiganus: « Omnes partes, inquit, iis, quae primo affectae sunt, consentiunt." Minus recte cepit illud *τῇσι ἀρχῇσι*: nam *αἱ ἀρχαί* sunt partes principes: Gal. comm. III. ad lib. *περὶ τροφῆς* (p. 361. Kühn.): *Ἀρχὴν λέγομεν εἶναι τὸ μόριον, ὃ τοῖς ἐφ' ἑαυτοῦ πεφυκόσιν, ἤτοι δύναμιν, ἢ πάντως γε τὴν ὕλην χορηγεῖ..... τρεῖς εἰσιν αἱ ἀρχαὶ, ἡ καρδία καὶ ὁ ἐγκέφαλος καὶ τὸ ἧπαρ..... τριῶν μὲν οὖν οὐσῶν ἔμαθες ὅτι ὁ ἐγκέφαλός ἐστιν ἀρχὴ τῶν προαιρετικῶν ἐνεργειῶν, ἡ καρδία δὲ τῶν ζωτικῶν ὀνομαζομένων, τὸ δὲ ἧπαρ τῶν περὶ τροφῆς, ἃς δὴ καὶ φυσικὰς ὀνομάζουσιν.*

Ἰδέαι δὲ τῆς ξυνολκῆς ἔασι τρεῖς· ἐς εὐθύ κ. τ. λ.] H. l. *ἐπ' εὐθύ* praebent codd. P omnes, sed in Pc. a corr. profectum est.

εὖτε ἀστραβὴς ὤνθρωπος.] P libri omnes *ὤνθρωπος.* Cett. *ἄνθρ.*

τῷ χωρίῳ ἴσχουσι τὴν ἐπίκλησιν. Τὴν μὲν γὰρ κατόπιν τοῦ νοσέοντος ἀνάκλασιν ὀπισθότονον καλέομεν, τῶν τῇδε νεύρων πεπονθότων. Ἐμπροσθότονον δὲ, ἢν ἐς τοὔμπροσθεν καμπύλληται ὤνθρωπος ἐπὶ τοῖσι πρόσθεν νεύροισι. Τόνος γὰρ νεύρων καὶ ἐντάσιος οὔνομα.

Προφάσιες δὲ τῶνδε μυρίαι· καὶ γὰρ ἐπὶ τρώματι φιλέουσι γίγνεσθαι ὑμένος, ἢ μυῶν, ἢ νεύρων νυγέντων, εὖτε τὰ πολλὰ θνήσκουσι· ἐπὶ τρώματι γὰρ σπασμὸς θανάσιμον. Σπᾶται δὲ καὶ ἐπὶ ἀμβλώματι γυνή· ἀτὰρ καὶ ἥδε οὐ μάλα περιγίγνεται. Καί τευ πατάξαντος μεγάλως τὸν αὐχένα μετεξέτεροι σπῶνται. Καὶ ψύξις δὲ κάρτα ἰσχυρὴ γίγνεται αἰτίη. διὰ τόδε χεῖμα μὲν μάλιστα πάντων τίκτει τάδε τὰ πάθεα· δεύτερον δὲ ἦρ, σὺν τῷ μετοπώρῳ, θέρος δὲ ἥκιστα, εἰ μὴ κατάρξειε τρῶμα, ἢ νούσων ἀλλοδαπῶν ἐπιδημίη. Γυναῖκες δὲ ἀνδρῶν σπῶνται μὲν μᾶλλον, ὅτι ψυχραί· ἀτὰρ αἵδε περιγίγνονται μᾶλλον, ὅτι ὑγραί. Ἡλικίαι δὲ, παῖδες μὲν ξυνεχὲς, ἀλλ' οὐ μάλα θνήσκουσι, ὅτι ξύνηθες καὶ οἰκεῖον τὸ πάθος· νέοι δὲ τουτέων ἧσσον πάσχουσι, μᾶλλον δὲ θνήσκουσι· ἀκμάζοντες ἥκιστα· γέροντες δὲ πάντων μᾶλλον καὶ πάσχουσι καὶ θνήσκουσι· αἰτίη γὰρ ψύξις καὶ ξηρότης γήραος· καὶ θανάτου ἡ φύσις ἥδε. Ἢν δὲ ἡ ψύξις ἔῃ σὺν ὑγρῷ, ἀσινέστεροί τε καὶ ἀσφαλέστεροι ἐς κίνδυνον οἱ σπασμοί.

Ξύνεστι μὲν αὐτέοισι, ἀθρόον μὲν εἰρῆσθαι, ἅπασι πόνος καὶ ἔντασις τενόντων τῶν ῥάχιος καὶ μυῶν τῶν ἐν γνάθοισι καὶ θώρηκι· ἐρείδουσι γὰρ τὴν κάτω γένυν πρὸς τὴν ἄνω, ὡς μηδὲ μοχλοῖσι ἢ σφηνὶ διὰ ῥηϊδίως στῆσαι δύνασθαι· ἢν δὲ καὶ βίῃ διαγαγὼν τοὺς ὀδόντας ἐνστάξῃς τι ὑγρὸν, οὐ καταπίνουσι, ἀλλ' ἢ ἐκχέουσι, ἢ ἐν τῷ στόματι

τὴν μὲν γὰρ κατόπιν τοῦ νοσέοντος ἀνάκλασιν.] Vulgo *ἀνάκλισιν*; sed V. Pa. b. *ἀνάκλησιν*, unde patet, vulgatam e falso Ionismo hocce ortam esse, et *ἀνάκλασιν* requiri. — Idem fere vidit Wiganus.

τῶν τῇδε νεύρων πεπονθότων.] Cett. *τῶν τῇδε πεπονθότων νεύρων*. Malui transponere voces, quod Reiskium etiam voluisse nunc video.

καμπύλληται.] Cett. *καμπύληται*. — Mox edi solet *ἄνθρωπος*: sed P. omnes *ὤνθρ.*

τόνος γὰρ νεύρων καὶ ἐντάσιος οὔνομα.] Videndus omnino Foës. in Oecon. voce *τόνος*, ubi ipsa haec Aretaei verba laudantur. Hesych. *τόνος. ἔντασις, ἰσχὺς, ῥώμη, δύναμις.*

καὶ γὰρ ἐπὶ τρώματι φιλέουσι γίγνεσθαι, ὑμένος, ἢ μυῶν, ἢ νεύρων νυγέντων.] Gal. *τέχνη ἰατρική*. Cap. 31. *Νεύρου δὲ καὶ τένοντος νύγμα διά τε τὸ περιττὸν τῆς αἰσθήσεως καὶ διότι συνεχές ἐστι πρὸς τὴν ἀρχὴν τὸ μόριον, ἕτοιμον ἐπικαλέσασθαι σπασμούς.* — Hinc apud medicos Graecos capita *περὶ νευροτρώτων*.

ἐπὶ τρώματι γὰρ σπασμὸς θανάσιμον.] Hipp. Aph. V. 2. *ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος θανάσιμον.* Cf. Coac. 506.

σπᾶται δὲ καὶ ἐπὶ ἀμβλώματι γυνή.] *Ἀμβλώσει* ferunt A. V. Pa. b.: tum libri omnes *ἡ γυνή*; equidem articulum proxime antecedenti dativo originem debere ratus delevi.

εἰ μὴ κατάρξειε τρῶμα.] Vulgo *κατάρξῃ*; Pa. b. *κατ-* *ει* *άρξει*; c. *καταρξῃ*. Hinc optativum dedi.

παῖδες μὲν ξυνεχὲς, ἀλλ' οὐ μάλα θνήσκουσι.] Cett. *ξυνεχέες*, in quo iterum exemplum habemus confusionis terminationum *ες* et *εες* a librariis. Wiganus servato *ξυνεχέες*: «*πάσχειν*, inquit, hic puto deficit." Minus verosimiliter. Exempla, quae adfert ad rationem suam probandam, nihil huc facere videntur. De meo etiam *οὐ μάλα* scripsi pro vulgato *οὐ μᾶλλον*; comparativo, ut opinor, hic locus non est, et paulo ante noster *καὶ ἥδε οὐ μάλα περιγίγνεται*. Postrema verba Foës. cum dictionibus Hippocrateis comparat in Oecon. voce *περιγίνεσθαι*. De meo *τὸ πάθος* dedi: libri *τό* omittunt.

αἰτίη γὰρ ψύξις καὶ ξηρότης γήραος, καὶ θανάτου ἡ φύσις ἥδε.] Hocce *ἥδε* in fine de meo adieci; credo voculam omissam esse a librariis propter sequens *ἢν δέ*. Parum placent Reiskii et Bernardii conamina, quorum hic in vulgatis *φύσις* in *ἔφιξις*, ille in *ψύξις* mutatum cupiit. — Apposite Wiganus citavit verba e cap. de Elephantiasi: *ἄφυκτος ἡ νοῦσος, τίκτεται γὰρ θανάτου ἐπ' αἰτίῃ· ψύξις ἐστὶ ἐμφύτου θερμοῦ — ἥδε ἐστὶ ἡ ξυνὴ θανάτου καὶ τοῦ πάθεος αἰτίη.*

ξύνεστι μὲν αὐτέοισι, ἀθρόον μὲν εἰρῆσθαι, ἅπασι πόνος κ. τ. λ.] Vulgo *ἀθρόον μὲν ἅπασι εἰρῆσθαι π.*: locum Reiskius hoc modo tentavit: *ὡς ἀθρόον ἐφ' ἅπασι εἰρῆσθαι.* Mihi vocabula duo perperam sedem invicem commutasse visa sunt.

ἔντασις τενόντων τῶν ῥάχιος καὶ μυῶν τῶν ἐν γνάθοισι καὶ θώρηκι.] Libri omnes *ἔντασις τενόντων καὶ ῥάχεος* inepte, ut mihi videtur, quapropter correxi.

διὰ ῥηϊδίως στῆσαι.] Locus dudum rite scriptus et intellectus: medicorum in gratiam post alios iterum moneo *διὰ — στῆσαι* tmesin esse accipiendam *ῥηϊδίως διαστῆσαι.*

ἢν δὲ καὶ βίῃ διαγαγὼν τοὺς ὀδόντας ἐνστάξῃς τι

ἴσχουσι, ἢ ἐς τὰς ῥῖνας ἀνακόπτεται· ὅ τε γὰρ ἰσθμὸς συνερείδεται καὶ τὰ παρίσθμια σκληρὰ καὶ ἐντεταμένα ἐόντα οὐ ξυμπίπτει εἰς τὴν ἔνθλιψιν τοῦ καταπινομένου. Πρόσωπα ἐρευθῆ, πεποικιλμένα· ὀφθαλμοὶ σμικροῦ δεῖν ἀτενέες, μόλις περιδινεύμενοι· πνὶξ ἰσχυρή· ἀναπνοὴ κακή· χειρῶν καὶ σκελέων τάσις· μύες παλλόμενοι· πρόσωπα ποικίλως διάστροφα· μῆλα καὶ χείλεα τρομώδεα· γένυς παλλομένη· ὀδόντων ἄραβος. ἐπ' ἄλλῳ δ' ἄν τινι καὶ τὰ ὦτα, ἐγὼ δὲ ἐθηεύμην καὶ ἐθώυμαζον. Οὖρα ἐπισχόμενα μέχρι δυσουρίης καρτερῆς, ἢ αὐτομάτως ἐκχεόμενα θλιβομένης τῆς κύστιος. Τάδε μὲν οὖν ξὺν πάσῃ ἰδέῃ σπασμῶν.

Ἴδια δὲ ἑκάστης, τετάνου μὲν ἡ ἐς εὐθὺ ἀπότασις ὅλου ἀστραβὴς πάντη καὶ ἀκλινής· εὐθέα δὲ καὶ σκέλεα, καὶ χεῖρες.

Ὀπισθότονος δὲ κατόπιν ἀγκύλλει τὸν ἄνθρωπον, ὡς τὴν κεφαλὴν ἀνακεκλασμένην μεσηγὺ τῶν ὠμοπλατέων κέεσθαι. βρόγχος ἐξέχει· γένυς τὰ πολλὰ διΐσταται, σπάνιον δὲ εὖτε ξυνερείδει τῇ ἄνω· πόνοι ἁπάντων καρτεροί· φωνὴ κλαυθμώδης· ῥωχμὸς ἡ ἀναπνοή· προπετέες κοιλίην καὶ θώρηκα· οὖρον τουτέοισι μᾶλλον ἀκρατές· ἐπιγάστριον ἐντεταμένον καὶ, εἰ ἐπικρούοις, ἐνηχοῦν· χεῖρες ἐν ἐκτάσι κατόπιν κεκλασμέναι. σκέλεα ξυγκεκαμμένα· ἐναντίως γὰρ ἰγνύη κατόπιν κάμπτεται.

Ἢν δὲ ἐς τὸ ἔμπροσθεν ἕλκωνται, κυρτοὶ μὲν τὰ νῶτα· ἐπ' ἶσον τοῖσι μεταφρένοισι

ὑγρὸν, οὐ καταπίνουσι, ἀλλ' ἢ ἐκχέουσι, ἢ κ. τ. λ.] Edi solet ἐνστάξῃ τις, sed libri H. V. Pa. b. e. f. g. ἐνστάξῃ τι, unde ἐνστάξῃς τι transposita literula effeci. Tum vero de meo ἢ ante ἐκχέουσι intuli.

πρόςωπα ἐρευθῆ.] Ita H. V. A. et P omnes: itaque vereor, ne ἐρυθρά, quod vulgo editur, Goupyli sit emendatio, formam ἐρευθής, h. l. temere reiicientis. Haec obvia v. c. apud Oppian. Cyneg. III. 94. ῥινὸς ἐρευθής: — Vid. Lobeck Paralip. p. 162., ubi ex Arato laudatur. Aliis locis apud nostrum etiam legitur.

ὀφθαλμοὶ σμικροῦ δεῖν ἀτενέες.] Ionismum praebuit Pa. qui ὀφθαλμοῖς μικροῦ (sic). — Cett. μικροῦ. — Mox Pa. b.. περιδινεύμενοι: cett. περιδινούμενοι.

ὀδόντων ἄραβος.] Ex Homero desumtum: Il. X. 375. ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων.

ἐγὼ δὲ ἐθηεύμην καὶ ἐθώυμαζον.] Notandus Ionismus ἐθηεύμην. cf. Buttm. Gr. Gr. p. 196. vol. II. — Hippocratem nostrum imitatum esse, vidit Petitus, qui adscribit verba e lib. de Nat. pueri p. 386. Ed. Kühn: κἀκείνη δὲ ἰδοῦσα ἐθεῆτο καὶ ἐθαύμασεν.

βρόγχος ἐξέχει.] Libri omnes βρόχος, quod iam Petitus emendavit.

πόνοι ἁπάντων καρτεροί· φωνὴ κλαυθμώδης·] De hisce in hunc locum a me translatis dicam ad eum, unde ista huc revocavi.

ῥωχμός.] ῥογμός. F. Pc. in margine. Infra, cap. περὶ ἄσθματος, idem nomen occurrit.

οὖρον τουτέοισι μᾶλλον ἀκρατές.] Notemus ἀκρατές h. l. passive dici de urina, quae contineri nequeat, vulgo ἀκρατής notionem habet transitivam, *qui continere non valet*.

ἐπιγάστριον ἐντεταμένον.] Libri omnes ἐπιτεταμένον; error est librariorum praepositionem prioris compositi ad alterum etiam trahentium.

ἐναντίως γὰρ ἰγνύη κατόπιν κάμπτεται.] Vulgo ἐναντίως γὰρ ἰγνύϊ κακόν τι κάμπτεται. — Pc. d. e. f. g. ἰγνύη, sed Pg. ἰγνύη κατόπιν κόντι κάμπτεται. Reiskius voluit ἐναντίως γὰρ ἰγνύϊ κατόπιν κάμπτεται; Petitus ἐναντίως γὰρ ἰγνύϊ ἀγκών τι κάμπτεται. Illius coniectura ad verum proxime accedit; sed falluntur tamen tum Reiskius, tum ceteri ἰγνύη in ἰγνύϊ mutantes et iungentes ἐναντίως ἰγνύϊ. Nimirum ἐναντίως ἰγνύϊ si crus flectatur, non flectitur κατόπιν, sed ἔμπροσθεν; imo vero ne κάμπτεται quidem, sed profecto ἀνακλάζεται; itaque in verbis hisce ita scriptis repugnantia est non tolerabilis. Servandus ergo codicum nominativus ἰγνύη. Iam vero κάμπτεται κατόπιν ἰγνύη oppositum est superiori χεῖρες ἐν ἐκτάσι κατόπιν κεκλασμέναι. Nempe χεῖρες contrario modo, quam quo articuli flecti solent, κατόπιν κλάζονται; sed crura secundum articuli genu flexionem solitam κάμπτονται, ita ut horum κάμψις sit opposita τῇ κλάσι τῶν χειρῶν. — Hesych. ἰγνύα.. τὸ τοῦ γόνατος ὄπισθεν μέρος. cf. etiam Pollux.

ἐπ' ἶσον τοῖσι μεταφρένοισι τῶν ἰσχίων ἐξωθευμένων ῥάχις ὅλη ἐς εὐθύ.] Ita legitur locus in Ed. Oxon. et in codd. H. V. A. et P. omnibus. — Wiganus: « haec, inquit, profecto sana esse nequeunt, neque enim congruunt emprosthotono affectis, qui, ut supra dixit, sunt κυρτοὶ τὰ νῶτα et, uti mox eos describet, ἐς τὸ πρόσθεν οὐ τοξοῦνται μοῦνον, ἀλλὰ καὶ σφαιροῦνται." Huic adversatur Trillerus laudans locum e lib. Hipp. de diebus critt. p. 152., quem integrum apponere lubet: τέτανοι δύο ἢ τρεῖς, ἢν μὲν ἐπὶ τρώματι γένηται πάσχει τάδε· αἱ γνάθοι πήγνυνται ὥσπερ ξύλα καὶ τὸ στόμα ἀνοίγειν οὐ δύνανται καὶ οἱ ὀφθαλμοὶ δακρύουσι θαμινὰ καὶ ἕλκονται καὶ τὸ μετάφρενον πέπηγε καὶ τὰ σκέλεα οὐ δύνανται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας καὶ τὴν ῥάχιν. Haec an satis in locum nostrum quadrent dubito, sed quid de illo sentiam exponam. — Equidem vereor, ut Wiganus τὰ νῶτα apud nostrum bene intellexerit et ne confuderit duos veluti morbi gradus, quos depingit auctor noster. — Rufus, Ephes. p. 30. Ed. Clinch.: νῶτον δὲ τὸ ἐξόπισθεν ἀπὸ τοῦ αὐχένος μέχρι τοῦ μεταφρένου· μετάφρενον δὲ τὸ μεταξὺ τοῦ νώτου καὶ ὀσφύος κατὰ

τῶν ἰσχίων ἐξωθευμένων, ῥάχις ὅλη ἐς εὐθύ· κορυφὴ πρηνὴς, κεφαλὴ ἐς θώρηκα συννενευκυῖα· γένυς ἐπὶ τοῖσι στέρνοισι πεπηγυῖα· χεῖρες συνηρεισμέναι· σκέλεα ἐκτεταμένα. Στενάζουσι δὲ μύζοντες βύθιον. Ἢν μὲν οὖν τοῦ θώρηκος καὶ τῆς ἀναπνοῆς λάβηται τὸ κακὸν, ῥηϊδίως τοῦ ζῆν ἀπήγαγε· ἀγαθὸν μὲν τῷ νοσέοντι ἐς πόνων καὶ διαστροφῆς, καὶ αἰσχύνης ἀπαλλαγήν· ἀλυπότερον δὲ καὶ τοῖσι παρεοῦσι, κῆν υἱὸς, ἢ πατὴρ ἔῃ. Ἢν δὲ ἐς τὸ ζῆν ἔτι διαρκέῃ, τῆς ἀναπνοῆς, εἰ καὶ κακῆς, συντελουμένης δ'οὖν, ἐς τὸ πρόσθεν οὐ τοξοῦνται μόνον, ἀλλὰ καὶ σφαιροῦνται, ὡς τὴν κεφαλὴν ἐπὶ τοῖσι γούνασι ἔχειν καὶ τὰ σκέλεα καὶ τὰ νῶτα ἐς τὸ πρόσθεν κεκλάσθαι, ὡς δοκέειν ἐς ἰγνύην τὸ κατὰ γόνυ ἄρθρον ἐξῶσθαι.

Ἐξάνθρωπος ἡ ξυμφορὴ καὶ ἀτερπὴς μὲν ἡ ὄψις, ὀδυνηρὴ δὲ καὶ τῷ ὁρέοντι θέη· ἀνήκεστον δὲ τὸ δεινόν ἀγνωσίη δὲ ὑπὸ διαστροφῆς καὶ τοῖς φιλτάτοις. εὐχὴ δὲ τοῖσι παρεοῦσι ἡ πρόσθεν οὐχ ὁσίη, νῦν ἀγαθὴ γίγνεται, ἀπελθέμεναι τοῦ βίου τὸν κάμνοντα ἐς ἀπαλλαγὴν ξὺν τῷ ζῆν καὶ τῶν πόνων καὶ τῶν ἀτερπέων κακῶν. Ἀτὰρ οὐδὲ

τὴν τῶν νεφρῶν πρόςφυσιν. ὀσφὺς δὲ τὸ τελευταῖον τῆς ῥάχεως — Varias columnae vertebrarum divisiones apud veteres nunc non attingo, sed id unum urgeo, Aretaeum loco nostro *τὰ νῶτα* usurpare de superioribus vertebris, i. e. cervicis et paucis dorsi, quemadmodum nostri temporis medici loquuntur, eumque *τὴν ῥάχιν ὅλην* vocare ceteras i. e. plurimas vertebras dorsi et lumborum omnes. Sed praeterea Wiganus distinguere debuerat duos morbi vehementiae gradus: in priore Aretaeus ponit cervicem, adeoque caput, in anteriorem partem inflecti, ita ut superiores vertebrae dorsi itidem parum deflectantur de solita positura, reliquo corpore et cruribus in rectum extensis. In altero gradu totum corpus *σφαιροῦται*, neque vero in huius descriptione amplius affirmat *τὴν ῥάχιν ὅλην ἐς εὐθύ* extensam esse. — Itaque me quoque iudice vitiosi nihil in loci scriptura, nec quidquam, quod non rerum naturae respondeat, in Aretaei verbis inest.

κορυφὴ πρηνὴς, κεφαλὴ ἐς θώρηκα συννενευκυῖα.] Libri scripti et editi fere omnes *κορυφὴ, κεφαλὴ πρηνὴς κ. τ. λ.* — Sed in Pc. *κεφαλή* a prima manu in margine, tanquam glossema. Hesych. *κορυφή· κεφαλή· λόφος· ἀκρωτήριον.* Itaque Reiskius et Bernardus putarunt *κεφαλή* delendum esse. Petitus parum congrua habet: sed Wig. in notis *κορυφὴ πρηνὴς, κεφαλὴ ἐς θώρηκα συννενευκυῖα*: nimirum vir egregius *κορυφή* recte intellexit de parte cranii superiore, quam verticem hodie etiam dicimus. Mihi huius ratio placet, quum *κορυφή* in isto corporis habitu pectori adplicari non possit.

σκέλεα ἐκτεταμένα· στενάζουσι δὲ μύζοντες βύθιον.] Legebatur olim: *σκέλεα ἐκτεταμένα. Πόνοι ἁπάντων καρτεροὶ, φωνὴ ἁπάντων κλαυθμώδης· στενάζουσι κ.τ.λ.* In hac pristina lectione ante omnia alterum illud *ἁπάντων* delendum erat, utpote vitiose e priore repetitum. Sed paulo ante iam monui, me verba *πόνοι — κλαυθμώδης* ad Opisthotoni descriptionem retulisse, quod quare fecerim et quo iure, est dicendum. Semper miratus sum editores non offendisse ista verba h. l. scripta, quum paulo ante dixisset Aretaeus *κορυφὴ πρηνὴς, κεφαλὴ ἐς θώρηκα συννενευκυῖα· γένυς ἐπὶ τοῖσι στέρνοισι πεπηγυῖα*: nam quomodo, quaeso, in hac capitis positura, clauso ore (neque enim hiscere aeger potest), *φωνὴ κλαυθμώδης* edi valet? Iam vero in descriptione tetani, qualem habemus in libro *περὶ τῶν ἐντὸς παθῶν* p. 523. Kühnii et lib. *περὶ νούσων* III. p. 302., et lib. *περὶ κρισιμῶν* p. 152., nulla vocis editae fit mentio, sed *καὶ τὸ στόμα ἀνοίγειν οὐ δύνανται* dicitur. Verum in opisthotoni descriptione v. c. p. 303. lib. de Morbis III. legimus: *καὶ βοᾷ ἐνίοτε καὶ ὀδύναι ἴσχουσιν ἰσχυραί*, et mox: *καὶ βοᾷ καὶ φλυαρέει ἐνίοτε.* — et libro de Dieb. decret. p. 153. et de int. Aff. p. 524. *καὶ οἰμώζει* invenimus. Hinc ultro patet, verba supra laudata ad opisthotoni descriptionem pertinere, quorsum ego transtuli. Ratio, qua de sede sua migrarint, haec esse potest: librarius in vetustissimo aliquo codice ea omiserit, puto, et margini adscripserit, unde alter quis ipsa alieno loco rursum in textum intulerit. Ceterum cum *φωνὴ κλαυθμώδης* cf. *ὀξυφωνίη κλαυθμώδης* apud Hipp. in MSS., quorum mentio facta a Galeno: Vid. Foës. in Oecon. voce *κλαυθμυρίζειν.* Quod attinet ad *στενάζουσι δὲ μύζοντες βύθιον*, proxime cohaerent *στενάζουσι* et *βύθιον.* Charito p. 132. vs. 18. *μέγα δὲ καὶ βύθιον ἀνεστέναξεν ἡ Στάτειρα.*

ὡς δοκέειν ἐς ἰγνύην τὸ κατὰ γονὺ ἄρθρον ἐξῶσθαι.] Vulgo *ἐς ἰγνύην κατὰ γονὺ τὸ ἄρθρον*: ipse vocabula transponenda esse vidi et nunc Reiskium idem voluisse video.

καὶ ἀτερπὴς μὲν ἡ ὄψις, ὀδυνηρὴ δὲ καὶ τῷ ὁρέοντι θέη·] *Ταὐτολογίαν* quamdam in his inesse unusquisque facile videt, facit tamen haec ad auctoris animi motum in horrendi mali descriptione significandum. *Ἀτερπής* hoc sensu ab Homero non semel usurpatum, cuius *ἐν ἀτερπέϊ χώρῳ*, et *ἀτερπέα δαῖτα*, et *λιμὸς ἀτερπής* sunt notissima: Aeschyl. Prom. vs. 31. *ἀτερπῆ πέτραν*: Eurip. Electr. vs. 393. *λόγους ἀτερπεῖς.* Ipse Aretaeus paulo inferius *καὶ τῶν ἀτερπέων κακῶν*, initio cap. de Hydrope: *ἀτερπὲς μὲν ἐςιδεῖν πάθος.* lib. I. de M. chron. signis cap. 4. *ἀτερπὴς μὲν ἡ τοῦ παροξυσμοῦ θέη.*

καὶ τοῖς φιλτάτοις.] Vulgo *καὶ τοῖς φιλτάτοις ἀνθρώποισι*; postremum nomen, tanquam glossema, delevi: *οἱ φίλτατοι* et *τὰ φίλτατα* frequentissima. Ipse Aretaeus cap. de Curatione phrenitidis: *εἴςοδοι τῶν φιλτάτων.* cap. de Elephantiasi *καὶ ἐς ὄρεα τοὺς φιλτάτους ἐξέθεσαν.*

ἀτὰρ οὐδὲ ἰητρὸς παρεὼν, οὔτε ἐς ζωήν. κ. τ. λ.] Libri scripti fere omnes, itemque Edd. *οὐδὲ ἰητρὸς παρεὼν, ὁρέων*: unus Pg. *παρεὼν καὶ ὁρέων*, quod parum mihi placet; non credo in cett. libris copulam excidisse, sed potius *ὁρέων* repetitis literis postremis superioris *παρεών* ortum debere, postea librarium *καί* interposuisse.

ἰητρὸς παρεὼν οὔτε ἐς ζωὴν, οὔτε ἐς ἀπονίην, ἀτὰρ οὐδὲ ἐς μορφὴν ἔτι ἐπαρκέει· εἰ γὰρ καὶ ἐπευθῦναι ἐθέλοι τὰ μέλη, ζῶντα ἂν διατμήξαι καὶ κατάξαι τὸν ἄνθρωπον. Τοῖσι οὖν κεκρατημένοισι οὐκέτι ἐγχειρέων ξυνάχθεται μοῦνον. ἥδε ἐστὶ τοῦ ἰητροῦ μεγάλη ξυμφορή.

ΠΕΡΙ ΣΥΝΑΓΧΗΣ.

Κεφ. ζ'.

Ἡ συνάγχη κάτοξυ μέν τι πάθος· ἀναπνοῆς γὰρ ἡ πίεσις. Δύο δὲ τα εἴδεα· ἢ γὰρ τῶν ὀργάνων τῶν τῆς ἀναπνοῆς ἐστὶ φλεγμονὴ, ἢ μούνου τοῦ πνεύματος πάθος ἐφ' ἑωυτέου τὴν αἰτίην ἴσχοντος.

Ὀργάνων δὲ παρισθμίων, ἐπιγλωσσίδος, φαρυγγέθρου, κίονος, ἄκρης ἀρτηρίης· ἢν δὲ ἐπινέμηται ἡ φλεγμονὴ, καὶ γλώττης καὶ γνάθων τῶν εἴσω· εὖτε προβάλλουσι τῶν ὀδόντων τὴν γλῶσσαν ὑπερβολῇ μεγέθεος· πίμπλησι γὰρ τὴν χώρην τοῦ στόματος καὶ τὸ περιττὸν αὐτέης ὑπὸ τους ὀδόντας ἐκκεῖται. Κυνάγχη τόδε καλέεται,

ἀτὰρ οὐδὲ ἐς μορφὴν κ. τ. λ.] Cett. h. l. οὔτε, de meo οὐδέ dedi, ut responderet superiori ἀτὰρ οὐδέ. Nempe οὔτε e proxime antecedentibus voculis οὔτε — οὔτε ortum est.

ζῶντα ἂν διατμήξαι καὶ κατάξαι τὸν ἄνθρωπον.] Accipio quasi scriptum esset: ζῶντα ἂν κατάξας διατμήξαι τὸν ἄνθρωπον. — Διατμήγειν Homericum est et rarius *dissecare*, frequentius *disiungere* significat. Est et ubi fere vi *diffrangere* denotat: Il. XII. 460.

οὐδ' ἄρ' ὀχῆες
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη
λᾶος ὑπὸ ῥιπῆς.

Cf. cap. de Elephant. πρόσθεν ἢ ἐς μέλεα διατμηθῆναι τὸν ἄνθρωπον. Hic locus nostrum διατμήξαι firmat.

ξυμφορή.] Editur συμφορή, sed Pb. e. f. ξυμφ. Pg. συμφ. [ξ written above]

Cap. 7. ἡ συνάγχη κάτοξυ μέν τι πάθος.] Ita de meo scripsi pro vulgato ἡ συνάγχη κάτοξυ μὲν τὸ πάθος, quod ferri vix posse sum arbitratus, profecto vero ab Aretaeo non scriptum esse iudico.

ἢ μούνου τοῦ πνεύματος πάθος, ἐφ' ἑωυτέου τὴν αἰτίην ἴσχοντος.] Libri omnes μοῦνον, quod deterius certe h. l.: paulo inferius noster: ἐμοὶ δὲ δοκέει αὐτέου τοῦ πνεύματος μούνου τὸ κακὸν ἔμμεναι. Ἑωυτέου scripsi pro vulgato ὡυτέου, quia in Henisch. Ed. in marg. etiam ὠετέου ex A. adscribitur: familiarius nostro ἑωυτέου, quam ὡυτέου — Ad rem ipsam quod attinet, Petitus, quum auctoris sententiam, esse speciem anginae e vitio solius spiritus oriundam, improbaret: « verum enim vero, inquit, non ea est mens Aretaei, ut solius aëris vitium nulla immutatione in organis facta anginam pariat. Id solum vult, non semper anginam sequi inflammationes partium, quae in faucibus continentur, aut ipsarum faucium, sed interdum aërem teterrimis exhalationibus corruptum, cum intra fauces trahitur, anginam consciscere citra ullam corporis inflammationem, licet aliam pravam diathesin inflammationi analogam induci necesse sit: alioqui angina non fieret, neque respirationi incommodaretur.” Tali vero ratione, me iudice, interpretari veteres non licet; est hoc quod ipse non credas alium credidisse negare. Ipse Aretaeus sibi videri dicit speciem esse anginae, quae sit μούνου τοῦ πνεύματος πάθος ἐφ' ἑωυτέου τὴν αἰτίην ἴσχοντος: paulo inferius: ἐμοὶ δὲ δοκέει, inquit, αὐτέου τοῦ πνεύματος μούνου τὸ κακὸν ἔμμεναι, τροπὴν πονηρὴν ἐς τὸ θερμότατον καὶ ξηρότατον τρεπομένου ἄνευθεν τοῦ σώματός τινος φλεγμονῆς. Id autem ipsum dein, quare fieri posse credat, exponit; quibus rationibus expromtis; τοιήνδε οὖν, inquit, τῆς ἀναπνοῆς τὴν τροπὴν οὐκ ἀδύνατον γίγνεσθαι ἔνδοθεν. Itaque quod πνεῦμα initio vocavit, idem postea ἀναπνοήν vocat, adeo ut de nominis significatu dubitatio nulla esse possit. Aretaeus igitur aërem purum inspiratum intus in pectore mutari et corrumpi credidit, licet notionem probe definitam causae huius mutationis haberet nullam: quippe ratiocinio tantum analogico ex adlatis exemplis verosimiliter eiusmodi quid locum obtinere demonstrat.

ὀργάνων δὲ παρισθμίων.] Exspectaveram fere ὀργάνων μὲν κ. τ. λ.; in lectione vulgata δέ valet δή. Qua de re vide Greg. Cor. p. 78.

προβάλλουσι τῶν ὀδόντων τὴν γλῶσσαν ὑπερβολῇ μεγέθεος κ. τ. λ.] Formam γλῶσσαν praebent Pe. f. g. γλῶτταν cett. — De linguae in hoc morbo tumore vid. auctor partis spuriae lib. Hipp. de V. Acut., qui § 9. mihi: διὰ τοῦτο, inquit, πνίγονται τῆς γλώσσης ἀποπελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν· τῆς γὰρ ὑποταμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλεῦσι, ἑκατέρωθεν φλὲψ παχείη· ὁκόταν οὖν πλήρεις αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζωνται ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διά γε τὴν ξηρασίην, ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος, ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ κ. τ. λ.

καὶ τὸ περιττὸν αὐτέης.] Libri omnes ταυτέης, quod h. l. incongruum; de meo mutavi.

ὑπὸ τους ὀδόντας ἐκκεῖται.] Vulgo ὑπέρ editur; at ὑπὸ

ἤτοι τῷ ξυνεχέϊ πάθεϊ τῶνδε τῶν ζώων, ἢ τῷ ξυνήθεϊ τῆς προβολῆς τῆς γλώσσης καὶ ἐν ὑγείῃ.

Τῷ ἑτέρῳ δὲ εἴδεϊ τὰ ἐναντία ξύνεστι· ξύμπτωσις τῶν ὀργάνων καὶ ἰσχνότης ἐπὶ μᾶλλον τῆς ἑκάστου φύσιος καὶ πνὶξ καρτερὴ, ὡς δοκέειν σφίσι αὐτέοισι ἐς θώρηκα ἐς τὸ ἀφανὲς ἐγκεκρύφθαι τὴν φλεγμονὴν ἀμφὶ κραδίην καὶ πνεύμονα. Συνάγχην τήνδε καλέομεν, οἷον συννεύουσαν ἔνδον καὶ ἄγχουσαν. Ἐμοὶ δὲ δοκέει αὐτέου τοῦ πνεύματος μούνου τὸ κακὸν ἔμμεναι τροπὴν πονηρὴν ἐς τὸ θερμότατον καὶ ξηρότατον τρεπομένου, ἄνευθεν τοῦ σώματός τινος φλεγμονῆς. Ἔστι δὲ οὐ μέγα τὸ θωῦμα· καὶ γὰρ ἐν χαρωνηΐοισι αἱ πνίξιες οὐ σωμάτων πάθεϊ ὀξυτάτῳ γίγνονται, ἀλλὰ καὶ μιῇ εἰςπνοῇ θνήσκουσι ὤνθρωποι, πρὶν τὸ σῶμα κακόν τι παθέειν· ἀτὰρ καὶ ἀπὸ γλώσσης κυνὸς εἰςπνεύσαντος μοῦνον ἐς τὴν ἀναπνοὴν, οὔ τι μὴν ἐνδακόντος, λυσσᾷ ὁ ἄνθρωπος. Τοιήνδε οὖν τῆς ἀναπνοῆς τὴν τροπὴν οὐκ ἀδύνατον γίγνεσθαι ἔνδοθεν· ἐπεὶ καὶ ἄλλα μυρία τῶν ἐν ἀνθρώπῳ τὴν ὠυτὴν ἰδέην τοῖς ἔξωθεν αἰτίοισι ἴσχει· χυλοὶ φθείροντες ἔσωθεν καὶ ἔξωθεν· ἀτὰρ καὶ νοῦσοι φαρμάκοισι δηλητηρίοισι ἴκελαι καὶ ἀπὸ φαρμάκων ἐμέουσι, ὁκοῖα πυρετῶν εἵνεκα. Ὅθεν οὐδὲ ἀπεοικὸς ἐν τῷ λοιμῷ τῷ ἐν Ἀθήνῃσι μετεξετέρους δοκέειν εἰς τὰ φρέατα τὰ ἐν τῷ Πειραιεῖ ὑπὸ Πελοποννησίων ἐμβεβλῆσθαι φάρμακα· οὐ γὰρ ξυνίεσαν ὤνθρωποι τὸ ξυνὸν τοῦ κακοῦ τοῦ λοιμώδεος πρὸς τὰ δηλητήρια.

habent H. V. A. G. *v. l.* P omnes. Ferunt etiam editiones ἐκχεῖται, sed H. V. F. P omnes ἐκκεῖται, unus Pc. in margine ἐκχείται. — Quare Editores ἐκχεῖται praetulerint, non video; neque enim effunditur lingua, sed oculis exposita prominet sub dentibus superioribus.

Κυνάγχη τόδε καλέεται.] Libri scripti et editi συνάγχη καὶ κυνάγχη τόδε καλέεται. Priora ista delenda esse iam Petitus et Wiganus dudum viderunt, rerumque in hoc capite nexus ultro docet.

καὶ ἐν ὑγείῃ.] Eandem formam aliis etiam locis apud nostrum omnes tuentur. De ὑγιείᾳ et ὑγίεια vid. Lob. Paralip. Gr. Gr. p. 28. et ad Phryn. p. 493.

ἀμφὶ κραδίην.] Ita Pe. *f. g*: cett. καρδίην: eandem formam iidem libri praebuerunt infra in verbis θώρηξ καὶ κραδίη φλέγεται. Decrevi semper hanc scripturam recipere, quoties codd. praeberent. Cogita Homericum κραδίην ἠνίπαπε μύθῳ: noster autem Homericis et poëticis dictionibus et formis ubivis fere utitur.

καὶ γὰρ ἐν χαρωνηΐοισι αἱ πνίξιες οὐ σωμάτων πάθεϊ ὀξυτάτῳ γίγνονται, ἀλλὰ καὶ μιῇ εἰςπνοῇ θνήσκουσι ὤνθρωποι.] Vulgo in his χαρωνίοισι, sed Pa. *b.* χαρηνοίησιν *c. d.* χορονοίησιν. *e. f.* χαρονίησιν. *g.* χαρινοίησι V. χαρήνοισι. Omnes istae lectt. e Ionismo χαρωνηΐοισι pro vulgato χαρωνείοις, sicuti σημηΐοισι pro σημείοις, ortum duxere. Ὀξυτάτω A. V. O. Pg. ὀξύτατοι cett; vix discerno, quid praestet; — ὤνθρωποι dant P. omnes. — Sed iam de ipsa re videamus. Petitus ad nostri verba adfert Galeni locum e lib. VII. de Usu partium, ubi in Edd. antiquioribus: τοὺς ἐν χάρωνι βαράθρους, in Chartieriana vero et Kühniana p. 540. vol. III. τούς τ᾽ ἐν τοῖς Χαρωνείοις βαράθροις. Nomen saepius apud Gal. obvium: comm. in Epid. I. p. 10. vol. XVII.ª Kühnii: ἐνίοτε δὲ ἐκ βαράθρων τῶν καλουμένων Χαρωνείων. Corrupte in Comm. in lib. de Humorr. p. 359. vol. XVI.: μήτε ὁ ἐκ βαράθρου τινὸς ἐκπνεόμενος, ὅπερ ἐστὶν ἃ Χειρώνεια καλεῖται. Sed in primis advertit locus e comm 2º in lib. de Nat. hom. a. Foësio etiam in Oecon. laudatus et cum Aretaei loco collatus; p. 18. in Gal. Ed. Basil. vol. V. Hippocraticus auctor: αἱ δὲ νοῦσοι γίγνονται, αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ὑπὸ τοῦ πνεύματος, ὃ εἰςαγόμενοι ζῶμεν. Ad postrema autem Gal.: πολλάκις δέ, inquit, ἀπὸ τοῦ πνεύματος μόνου κατὰ τὴν εἰςπνοὴν ἡ βλάβη γίγνεται· καθάπερ ἐν τοῖς Χαρωνείοις ὀνομαζομένοις χωρίοις. Dubius haereas haec legens, an Aretaeus e Galeno sua hauserit, an contra hic sua e nostro. Mihi quidem illud vero similius est: nempe plures sunt rationes quae me impellunt, ut Aretaeum post Galenum vixisse arbitrer; qua de re suo loco dicetur.

ἀπὸ γλώσσης κυνὸς εἰςπνεύσαντος μοῦνον· ἐς τὴν ἀναπνοήν.] Frustra ἀπὸ λύσσης, quod in marg. exemplaris Henischeani adponitur, desideravit Reiskius; locus sanus est: ἀπὸ γλώσσης accipiendum de halitu e canis lingua adscendente et in os hominis ab illo inflato et ab hoc inspirato.

τὴν ὠυτὴν ἰδέην τοῖς ἔξωθεν αἰτίοισι ἴσχει· χυλοὶ φθείροντες ἔσωθεν καὶ ἔξωθεν.] Ὠυτήν et αἰτίοισι dant Pe. *f. g.*; αὐτήν et αἰτίοις cett. — Ad postrema nescio an non Aretaeo ob mentem obversarentur verba e lib. spurio Hipp. περὶ τροφῆς, p. 23. Kühn. vol. II. χυμοὶ ἴδιοι βλαβεροί· χυμοὶ ἀλλότριοι βλαβεροί.

ὅθεν οὐδὲ ἀπεικός κ. τ. λ.] Iam Petitus adscripsit Thucydidis locum e lib. II. 48: ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ᾽ αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐςβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι.

τὰ φρέατα τὰ ἐν τῷ Πειραιεῖ.] Τά pone φρέατα de meo addidi; ob similitudinem postremae syllabae vocis proxime antecedentis interiit.

οὐ γὰρ ξυνίεσαν ὤνθρωποι.] Ξυνίησαν cett., cui formae fidem non adhibui: cf. ἠφίεσαν Buttm. in Gr. Gr. I. p. 521

Ξύνεστι δὲ τοῖσι μὲν κυναγχικοῖσι φλεγμονὴ παρισθμίων, φαρυγγέθρου, παντὸς τοῦ στόματος· γλῶσσα προπετὴς ὑπὲρ τοὺς ὀδόντας καὶ τὰ χείλεα· σιελοχόοι· φλέγμα παχύτατον ἀποῤῥέον καὶ ψυχρόν· ἐρυθροὶ τὰ πρόσωπα καὶ ἐπηρμένοι· ὀφθαλμοὶ ἐξίσχοντες, ἀναπετέες, ἐξέρυθροι· τὸ ποτὸν ἐς τὰς ῥῖνας ἀνακόπτεται. Πόνοι καρτεροὶ, ἀλλὰ καὶ ὑπὸ τῆς πνιγὸς συνδιωκόμενοι ἀμαυροῦνται· θώρηξ καὶ κραδίη φλέγεται· ποθὴ ψυχροῦ ἠέρος· εἰσπνέουσι δὲ μικρὸν πάνυ, ἔς τε καὶ ἀπεπνίχθησαν, ἐμφραγείσης τῆς ἐς τὸν θώρηκα διόδου. Ἐνίοισι δὲ ἐς πνεύμονα ἡ ξύνδοσις ῥηϊδίως, οἱ δὲ μεταστάσι θνήσκουσι· πυρετοὶ νωθροὶ, μαλακοὶ, οὐδὲν ὠφελέοντες. Εἰ δέ τῳ ἐς ἀγαθὸν τρέποιτο, ἀποστάσιες γίγνονται ἔνθα καὶ ἔνθα παρ' οὖς ἔξω, ἢ ἔνδον ἐς τὰ παρίσθμια· κῆν μὲν ξὺν νάρκῃ μὴ κάρτα βραδέως, περιγίγνονται μὲν, ξὺν πόνῳ δὲ καὶ κινδύνῳ. Ἢν δὲ τρεπομένων ἐς ἀπόστασιν ὄγκος μέζων ὑπογίγνηται, ἐς κορυφὴν τῆς ἀποστάσιος ἀνισταμένης, ἀθρόον πνίγονται. Τάδε μὲν τὰ κυνάγχης ἴδια.

Ξυνάγχης δέ· σύμπτωσις, ἰσχνότης, ὠχρότης σύνεστι· ὀφθαλμοὶ εἴσω δεδυκότες· φάρυγξ καὶ γαργαρεὼν ἀνεσπασμένοι· παρίσθμια ἐπὶ μᾶλλον προσίζοντα· ἀφωνίη. Πνὶξ ἡ τοῦδε τοῦ εἴδεος τῆς πρόσθεν πολλόν τι κραταιοτέρη, ἐν θώρηκι ἐόντος τοῦ κακοῦ, ἔνθα ἡ ἀρχὴ τῆς ἀναπνοῆς. Οἱ δὲ ὀξύτατοι θνήσκουσι αὐτῆμαρ· ἔσθ' ὅπη καὶ πρὶν καλέσασθαι τὸν ἰητρόν· οἱ δὲ καὶ ἐσκαλεσάμενοι οὐδὲν ὤναντο· ἀπέθανον γὰρ πρὶν ἢ τὸν ἰητρὸν ἐπὶ τέχνῃ χρήσασθαι. Ὁκόσοις δὲ ἐς ἀγαθὸν τρέπεται, ἐπιφλεγμαίνει πάντα, ἐς ἅπερ ἐς τὸ ἔξω ἡ φλεγμονὴ ἐξώκειλε, ὡς κυνάγχην ἀπὸ ξυν-

ἀπίεσαν Lex. Herod. Schweigh. voce ἀπιέναι, pro ἀφιέναι. Ibid. voce παριέναι (a παρίημι) παρί.σαν. Ceterum ὤνθρ. Oxon. Ed.; ἄνθρ. libri cett.

φλέγμα παχύτατον ἀποῤῥέον καὶ ψυχρόν.] Libri omnes ψῦχον, vel ψύχον: sed Crassus «et frigida," itaque dedi quod Wiganus et Reiskius desiderarunt.

ὀφθαλμοὶ... ἀναπετέες.] Ἀναπετής ab ἀναπετάω i. q. ἀναπίτνημι. — Nicand. Alexiph. 435. τὰ δ' οὐκ ἀναπίτναται ὄσσε, ad quem versum Schol.: οὐκ ἀνοίγονται οἱ ὀφθαλμοί. — Lucian. quomodo Hist. conscr. sit. p. 8.: ἢν ἅπασιν αὐτοῖς ἀναπετάσῃς τὰ ὦτα. Eurip. Phoen. 304. ἀναπέτασον πύλας. Alcest. 597. δόμον ἀμπέτασας δέξεται ξεῖνον. Nomen ipsum obvium in Hipp. de Gland. p. 497. Kühnii: συχναὶ γάρ τοι ἀδένες καὶ ἀναπετέες καὶ οὐ κοῖλαι.

ἐνίοισι δὲ ἐς πνεύμονα ἡ ξύνδοσις ῥηϊδίως, οἱ δὲ μεταστάσι θνήσκουσι.] Libri omnes οἱ δὲ μ. θν. — Crassus: «hi vero permutatione moriuntur." Vide Schweigh. Lex. Herod. in ὁ, ἡ, τό. no. 2.: «ὁ et plur. οἱ. ante δέ et γέ, Homerico more, nec tamen sine emphasi, adponitur." — Ceterum vide quae ad Cap. 6. de ξυνδιδόναι dixi: ξύνδοσις h. l. valet omnino μετάδοσις. Infra cap. de pleuritide: ἐς πνεύμονα πάντων ξύνδοσις γίνεται... εὖτε ἀθρόον ἀπεπνίγη ὥνθρωπος μεταστάσι τοῦ πάθεος. — Frustra Bern. in vita Reiskii p. 269. ῥηΐδιος desiderat: saepius simili quodam modo adverbia cum substantivis componuntur.

εἰ δέ τῳ ἐς ἀγαθὸν τρέποιτο ἀποστάσιες γίγνονται ἔνθα καὶ ἔνθα παρ' οὖς ἔξω κ. τ. λ.] De tumoribus ad aures in angina laborantibus sermo est Praen. Coac. 268., quam prave scriptam relictam habemus: τὰ κατὰ φάρυγγα ἰσχυρὰ ἀλγήματα, τὸ παρ' οὖς ἔπαρμα κ. τ. λ. — Illud ἔνθα καὶ ἔνθα Homero frequens ab hoc ad recentiores, poetas maxime, demanavit et ad libros spurios Hippocratis pervasit: v. c. lib. de Gland: κατὰ τοῖν οὐάτοιν ἔνθα καὶ ἔνθα, alio loco ibid. τράχηλος, κατὰ τὰ μέρεα αὐτοῦ ἑκάτερα ἔνθα καὶ ἔνθα, vid. etiam libri chirurgici argumenti.

τάδε μὲν οὖν τὰ κυνάγχης ἴδια.] Libri omnes, quos vidi εἴδεα: verum Aretaeus non species Cynanches enumeravit, sed signa huic morbo propria: idemque mox progreditur ad signa synanchae peculiaria; itaque ἴδια dandum fuit. Paulo ante cap. de Tetano: τάδε μὲν οὖν ξύν πάσῃ ἰδέῃ σπασμῶν. Ἴδια δὲ ἑκάστης... In seqq. pone ὀφθαλμοί delevi glossam κοῖλοι.

ἔσθ' ὅπη καὶ πρὶν καλέσασθαι τὸν ἰητρόν· οἱ δὲ καὶ κ. τ. λ.] Ex Hipp. haec fere descripta esse iam Petitus vidit: en Divini senis ex Progn. initio verba: ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσι, οἱ μὲν πρὶν καλέσαι τὸν ἰητρὸν ὑπὸ ἰσχύος τῆς νόσου, οἱ δὲ καὶ ἐσκαλεσάμενοι παραχρῆμα ἐτελεύτησαν, οἱ μὲν ἡμέρην μίην ζήσαντες, οἱ δὲ ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι.

ἐς ἅπερ ἐς τὸ ἔξω ἡ φλεγμονὴ ἐξώκειλε.] Vulgo ἐξωκείλει, unde Kühn ἐξοκείλει, quasi praesens esset: at ἐξωκείλει ortum est ex ἐξώκειλεν, nam ι et ν saepius in fine vocabulorum a librariis permutantur; itaque omisso ν finali ἐξώκειλε scripsi. Sed praeterea ἐς ante ἅπερ de meo addidi, quoniam ἐξώκειλε h. l. certo certius intransitivum est: — ipse noster cap. 9. huius libri καὶ ἐς τὸν τράχηλον ἡ φλεγμονὴ ἐξώκειλε. Hipp. in Progn.: ἀσφαλέστατον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι.

ὡς κυνάγχην ἀπὸ ξυνάγχης γίγνεσθαι.] Ξυνάγχης praebet Pb. συνάγχην cett. — In libris plurimis ὡς συνάγχην ἀπὸ κυνάγχης γίγνεσθαι: verus ordo in Oxon. Ed. — Petitus et Reiskius etiam quod Wiganus dedit requisiverunt.

ἄγχης γίγνεσθαι. Ἀγαθὸν δὲ καὶ ἐν θώρηκι οἴδημα καρτερὸν, ἢ ἐρυσίπελας ἐμφανέως. Καὶ ἰητρὸς δὲ ἀγαθὸς ἢ σικύη ἐς τὸν θώρηκα τὸ κακὸν ἀνήγαγε, ἢ σίνηπι ἐς τὰ στέρνα καὶ ἐς τὰ παρὰ γνάθους μέρεα ἐπιθεὶς εἵλκυσε ἔξω καὶ διέπνευσε. Μετεξετέροισι δὲ ἐς μὲν βραχὺ τὸ κακὸν ὑπὸ τουτέων ἀπηλάθη ἔξω, ἀπελαθὲν δὲ ἀθρόως ἐπαλινδρόμησε καὶ ἔπνιξε.

Προφάσιες δὲ μυρίαι· ψύξιες μᾶλλον, ἧσσον ἐκκαύσιες, πληγαὶ, ὀστέων ἰχθύων διαπάρσιες ἐς τὰ παρίσθμια, ψυχροποσίαι, μέθαι, πλησμοναὶ, καὶ τὰ ἀπὸ τῆς ἀναπνοῆς κακά.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΚΙΟΝΙΔΑ ΠΑΘΩΝ.

Κεφ. η′.

Τὸ ἀπὸ τῆς ὑπερώης ἐκκρεμὲς σῶμα στεῤῥὸν μεσηγὺ τῶν παρισθμίων κίων καὶ γαργαρεὼν καλέεται· σταφυλὴ γὰρ πάθεός ἐστι οὔνομα. Νεῦρον δέ ἐστι ἡ κιονὶς

μετεξετέροισι δὲ ἐς μὲν βραχὺ τὸ κακὸν ὑπὸ τουτέων ἀπηλάθη ἔξω, ἀπελαθὲν δὲ ἀθρόως ἐπαλινδρομησε καὶ ἔπνιξε.] — Vulgo *ἀπετάθη ἔξω, ἀπολυθὲν δὲ κ. τ. λ.* V. *ἀπεστάθη.* — Primo quidem longe est verosimilimum Aretaeum participium scripsisse eiusdem verbi, quod paulo ante usurpavit: iam vero quaeritur quodnam verbum dederit; nam illud sive *ἀπετάθη*, sive *ἀπεστάθη* procul dubio est corruptum. — Equidem *ἀπελαύνω* illum scripsisse quovis pignore contendo: initio libri I. de M. chron. noster: *ἢ γὰρ οὐδ' ἐξηλάθησαν ἐς τὸ πάμπαν, ἢ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλινδρομέουσι αἱ νοῦσοι.* — Procli Hymn. V. 5:

... κακὰς δ' ἀπελαύνετε νούσους
ἐκ ῥεθέων,

et VI. 44:

σαρκοτάκων δ' ἀπέλαυνε πικρῶν ἀκελάσματα νούσων.

Porro *ἔπνιξε* habent G. *v. l.* Cr. in marg. A. Oxon. Ed. — *ἐπάνηξε* cett., quod ex illo ortum. — Hipp. Coaca 365. *καὶ μάλιστα ἐξ αὐτῶν σώζονται, ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα· ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου πρηέως καὶ ἀπόνως ἐν ἡμέρῃσι κρισίμῃσι, ὀλέθρια γίνεται.* Haec, vel consimilia e Progn., loco nostro respiciuntur.

ἀπὸ τῆς ἀναπνοῆς κακά.] Τῆς h. l. non habent Pa. *b. e. g.*

Cap. 8. *περὶ τῶν κατὰ τὴν κιονίδα παθῶν.*] Παθῶν Pb. c. O. *κακῶν* Edd. cett — Bern. in vita Reiskii p. 269. *παθῶν* glossema esse putat in *κακῶν*: — secus sentio; cum Wigano vel propter euphoniam *παθῶν* praefero: tum vero idem vocabulum aliis etiam locis a nostro frequenter usurpatur.

κίων καὶ γαργαρεὼν καλέεται.] Petitus: «lege, inquit, *κιονὶς καὶ γαργαρεών*, ut constet sibi Aretaeus, nam ipsam partem mox *κιονίδα* appellat, *νεῦρον δέ ἐστι ἡ κιονὶς τὴν φύσιν.* Sed et in titulo hanc vocem usurpat. *Κίων* vero eidem nomen morbi est, ut ipse indicat his verbis: *κίων δὲ τοῦδε τοῦ πάθεος ἡ ἐπίκλησις* et infra *ἐπὶ δὲ τῇ σταφυλῇ καὶ τῷ κίονι δύσπνοια ἐπὶ μᾶλλον* et mox apertissime *γηραιοῖσι ὁ Κίων συνήθης*" Minus quidem recte hic: nulla opus est emendatione, tum uvula ipsa, tum eius inflammatio ab Aretaeo et *κίων* et *κιονίς* appellatur. Capite superiori: *ὀργάνων δὲ, παρισθμίων, ἐπιγλωσσίδος, φαρυγγέθρου, κίονος, ἄκρης ἀρτηρίης*; itaque h. l. perinde ac nostro gurgulio *κίων* audit; item cap. 7. lib. I. de M. chron. *σπᾶται δὲ καὶ κίων.* Verum in cap. de Cur. morborum columellae: *τοιάδε (πάθεα) μέντοι ἐστὶ, ἣν καλέομεν σταφυλήν τε καὶ κιονίδα*; hic igitur *κιονίς* de morbo, non de parte, quae morbi sedes; nam utrum ibi *κίονα*, quod libri nonnulli praebent quodque Wiganus exhibuit, potius scripserit noster, quam *κιονίδα*, diiudicare haud ausim. — (cf. adn. ad libros therapeuticos.) Neque vero mirum nostrum ista nomina promiscue usurpare; nam *κιονίς* non nisi deminutiva forma est alterius, quemadmodum *ἁμαξὶς*, *νησὶς*, *ἀλωπεκὶς*, *πινακίς*. (Matth. Gr. Gr. p. 217.) — Rufus Ephes. p. 28. *κίων δὲ καὶ γαργαρεὼν ἡ ἐκ τῆς ὑπερώας πρόςφυσις*: idem autem p. 49: *τὸ δ' ἐντεῦθεν κατὰ τὰ ἄνω μέρη ἐκκρεμαμένον σαρκίον κιονὶς, οἱ δὲ γαργαρεῶνα, οἱ δὲ σταφυλήν.* — Itaque Rufus etiam promiscue *κίονα* et *κιονίδα* appellat partem; eandem vero etiam *σταφυλήν* vocavit, non solum morbum: noster vero dicens *σταφυλὴ γὰρ πάθεός ἐστιν οὔνομα* omnino reprehendere videtur illos, qui *σταφυλῆς* nomine ipsam partem nuncuparent. Quod aperte facit Gal. p. 959. lib. VI. cap. 8. de Comp. med. sec. locos, ubi etiam docet *κιονίς* recentiorum esse: en Galeni verba: *Σαρκῶδές τι μόριον ἐν τῷ τοῦ στόματος ὑψηλῷ φαίνεται κρεμάμενον, ἐὰν διανοίξας τις ἐπιπλεῖστον ὅλον τὸ στόμα τὴν γλῶτταν καταστείλῃ· τοῦτο τὸ σαρκίον ὀνομάζεται δύο ὀνόμασιν πρὸς τῶν παλαιῶν Ἑλλήνων γαργαρεών τε καὶ κίων, οἱ δὲ μετὰ τούτους ἰατροὶ σχεδὸν ἅπαντες οὐχ οὕτως, ἀλλὰ κιονίδα καλοῦσιν αὐτό· τῶν γὰρ σταφυλὴν ὀνομαζόντων αὐτὸ βέλτιόν ἐστι μηδ' ὅλως μνημονεύειν, οὐ γὰρ τὸ μόριον ἀλλ' ἕν τι τῶν παθῶν αὐτοῦ σταφυλὴν ὀνομάζομεν.* Medici fere fuerint, quos Gal. hic *παλαιοὺς Ἕλληνας* vocat, qui quum plurimi perierint, difficile est num vere haec disputet Pergamenus, nec ne, discernere: nam in similibus aliis eum haud semper satis prudenter iudicare comperi. Cf. ceterum Foës. in Oecon. voce *σταφυλή* et interprett. ad Hesychium in eadem voce.

ἐν γὰρ ὑγρῷ κέεται χωρίῳ.] Cerebrum *τῶν καταῤῥόων*

τὴν φύσιν, ἀλλ' ὑγρόν· ἐν γὰρ ὑγρῷ κέεται χωρίῳ. Ὅδε οὖν ὁ γαργαρεὼν πλεῦνα πάσχει πάθεα· καὶ γὰρ ἐπὶ φλεγμονῇ παχύνεται, ἴσως ἀπὸ τῆς βάσιος ἄχρι τοῦ πέρατος ἄκρου ἐπιμήκης γιγνόμενος, καὶ ἐρύθημα ἴσχει. Κίων δὲ τοῦδε τοῦ πάθεος ἡ ἐπίκλησις. Εἰ δὲ κατὰ πέρας μοῦνον στρογγύλλεται καὶ μεγέθεϊ πελιδνὸς γίγνεται καὶ ὑπομελανίζει, σταφυλῇ ἐπώνυμον τόδε τὸ πάθος· πάντα γὰρ ἴκελα αὐτέῃ καὶ σχῆμα καὶ χροιὴ, καὶ μέγεθος. Τρίτον πάθος ἐστὶ ὑμένων, εὖτε ἔνθα καὶ ἔνθα, οἷόν τι λαίφεα πλατέα, ἢ νυκτερίδων πτέρυγες ἐκφαίνονται. Ἱμάντιον τόδε καλέεται· ἱμᾶσι γὰρ ἴκελαι αἱ τῶν ὑμένων ἐς πλάτος ἐξαπλώσιες. Ἢν δὲ ἐς λεπτὸν καὶ εὐμήκη ὑμένα τελευτᾷ ἡ κιονὶς, οἷόν τι οὐρίαχον κατὰ πέρας ἴσχουσα, κράσπεδον τὴν ἐπωνυμίην ἴσχει. Γίγνεται δὲ τόδε καὶ αὐτομάτως μὲν ἐκ ῥεύματος, ὅκωςπερ καὶ τὰ ἕτερα· ἀτὰρ καὶ ἀπὸ τομῆς ἐπικαρσίης, ἐγκαταλιπόντος τοῦ ἰητροῦ ὑμένα κατὰ μίαν πλευρήν. Ἢν δὲ δίκραια ὑμέσι διςσοῖσι ἐκκρεμέσι ἔνθα καὶ ἔνθα γίγνηται, οὔνομα μὲν οὐκ ἴσχει τόδε πάθεος ἔκδηλον, ἅπαντι δὲ ῥηΐδιον θεησαμένῳ γιγνώσκειν.

Πνὶξ δὲ ἐπ' αὐτέοισι πᾶσι καὶ ἥκιστα ῥηϊδίως καταπίνουσι· βὴξ ἐπὶ πᾶσι μὲν, μάλιστα δὲ ἐπὶ τοῖσι ἱμαντίοισι καὶ ἐπὶ τοῖσι κρασπέδοισι· γαργαλισμὸς γὰρ τῆς ἀρτηρίης ἀπὸ τῶν ὑμένων γίγνεται· ἔσθ' ὅπη δὲ καὶ ἐνστάζει τι τοῦ ὑγροῦ λάθρη ἐς τὴν ἀρτηρίην, ὅθεν ἀναβήσσουσι. Ἐπὶ δὲ τῇ σταφυλῇ καὶ τῷ κίονι δύςπνοια ἐπὶ μᾶλλον

fontem esse crediderunt veteres, — e cerebro destillationes fieri in guttur, pulmones, partes ceteras. Hinc noster *τὴν κιονίδα ἐν ὑγρῷ κεῖσθαι χωρίῳ* dicit. Aëtius VIII. 48. de paristhmiis: *θερμοὶ γὰρ καὶ ὑγροὶ οἱ τόποι.*

ἴσως ἀπὸ τῆς βάσιος κ. τ. λ.] Libri, quos vidi, omnes *ἶσος*. Me iudice adverbium requiritur, sive *ἴσως* ad *παχύνεται*, sive ad *ἐπιμήκης* referas. Equidem malui coniungere *ἴσως ἀπὸ τῆς βάσιος ἄχρι τοῦ πέρατος ἄκρου ἐπιμήκης γιγνόμενος.*

Εἰ δὲ κατὰ πέρας μοῦνον στρογγύλλεται] *Δέ* praebent V. Pa. *b.* — omittunt cett; — *στρογγύλεται* libri fere omnes, vulgari librariorum errore, *στρογγυλαίνεται* H. — Ad hunc locum conf. Hipp. in Progn.: *ὁκόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον κ. τ. λ.*

σταφυλῇ ἐπώνυμον τόδε τὸ πάθος.] *Σταφυλῇ* dederunt P. *e. f. g.* *σταφυλή.* cett. — Non dubito quin illud scripserit Aretaeus; nam licet *ἐπώνυμος* fere cum Genitivo construatur; cujus rei exempla ubivis obvia, ita ut nunc unum illud *τᾶσδ' ἐπώνυμον γᾶς* e Soph. Oed. Tyr. adponam, cum Dativo etiam construitur: Dioscor. III. 25: *ἔστι δὲ καὶ τρίτον εἶδος ἀψινθίου, ... ὃ ἐπιχωρίως Σαντόνιον, ἐπωνύμως τῇ γεννώσῃ αὐτὸ Σαντονίδι χώρᾳ.*

εὖτε ἔνθα καὶ ἔνθα.] *Εὖτε* de Wigani coniectura adscripsi, qui: « sententia, inquit, alioqui manca est; hac autem loquendi forma ubique fere utitur. Ista vox autem facile omitti potuit, propterea quod eius initium sequentis voculae initio non absimile est.” Facilitas orationis Aretaei facit, ut cum Wigano hanc particulam requiram.

ἱμάντιον τόδε καλέεται.] Hesych. *ἱμάντιον· τῆς ἐν τῷ στόματι κιονίδος ἔκτασις.* — Paulo inferius noster *ἐπὶ τοῖσι ἱμαντίοισι.* Aretaei loci latuisse videntur summum Hemsterh., quum ad Hesychii verba adnotationem suam adscriberet *ἱμάς* ex Erot. et *ἱμάντωσις* ex Actuario excitans.

ἐς πλάτος ἐξαπλώσιες.] Ἐς Pg. *εἰς* cett.

τελευτᾷ ἡ κιονίς.] Sic. V. P. *a. b.* — Articulum omittunt cett.

οἷόν τι οὐρίαχον κατὰ πέρας ἴσχουσα.] Recepi verissimam Petiti emendationem *οὐρίαχον* pro librorum lect. *οὐραχόν.* Cum *οὐραχῷ* comparationi hic locus non est, quia nulla est similitudo. Egregie quadrat vocabulum Homericum: — *ἐπὶ δ' οὐρίαχος πελεμίχθη ἔγχεος.* Il. XVI. 612.

κράσπεδον.] Hesych: *κράσπεδα· τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου κεκλωσμένα ῥάμματα καὶ τὸ ἄκρον αὐτοῦ.* Nomen apud ceteros de rebus medicis scriptores legere me non memini.

ὅκωςπερ καὶ τὰ ἕτερα.] Τά de meo adposui.

ἐπικαρσίης.] P omnes *ἐπικρασίης*; quod forte dubium facit, an non *κραδίη* librariis debeatur.

δίκραια ὑμέσι διςσοῖσι.] *δικρόα* vulgo editur; sed *δίκροα* H. V. P. omnes. Hinc *δίκραια* dedi. cf. Foës. in Oecon. voce *δίκραια.* Heringa Obss. Critt. p. 106. Koen ad Greg. Cor. p. 564. — Ceterum *διςσοῖσι* de meo dedi, libris *διςσέοισι* ferentibus, quod, quamquam Maittairium de Dialectis e nostro citare videam, vereor ne librariis debeamus, quos saepius vitiose *ε* inferre et supra vidimus et post videbimus.

οὔνομα μὲν οὐκ ἴσχει τόδε πάθεος ἔκδηλον· ἅπαντι δὲ ῥηΐδιον θεησαμένῳ γιγνώσκειν.] *πάθεος* V. P omnes. *πάθος* cett. — Iunge *οὔνομα ἔκδηλον πάθεος*, i. e. *οὔνομα, ὃ τὸ πάθος δηλοῖ*; nam *ἔκδηλον* transitive sumi debet h. l. — Ceterum libri *ἅπαντα δὲ ῥηΐδιον θεησάμενον γιγνώσκειν*, quod ego certe Aretaeum scripsisse mihi persuadere non possum. In scriptura, quam exhibeo, *ἅπαντι* significat *cuivis*, sicuti apud Thucyd. II. 45. *τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν.* Herod. VII. 153. *οὐ πρὸς τοῦ ἅπαντος ἀνδρὸς νενόμικα γενέσθαι,*

καὶ κάρτα θολερὴ κατάποσις.] Vulgo editur *κάρτα πονηρή.* Sed H. V. Pa. *c. d. e. f. g.* *κατὰ πολερή.* Unus Pb. *καταβολερή.* Haec litera *θ* correctori alicui debetur

καὶ κάρτα θολερὴ κατάποσις· καὶ γὰρ ἐς τὰς ῥῖνας ἐπὶ τῶνδε τὸ ὑγρὸν ἀναθλίβεται συμπαθείῃ τῶν παρισθμίων. Γηραιοῖσι ὁ κίων ξυνήθης, σταφυλὴ δὲ νέοισι καὶ ἀκμάζουσι· πολύαιμοι γὰρ καὶ ἐπιφλεγμαίνει μᾶλλον· ἡβάσκουσι δὲ καὶ παισὶ τὰ ὑμενώδεα. Τάμνειν δὲ πάντα μὲν ἀσινέα· ἐπὶ δὲ τῇ σταφυλῇ ἔτι ἐρυθριώσῃ αἱμοῤῥαγίη καὶ πόνοι καὶ φλεγμονῆς ἐπίδοσις.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΑ ΠΑΡΙΣΘΜΙΑ ΕΛΚΩΝ

Κεφ. θ′.

Ἕλκεα ἐν τοῖσι παρισθμίοισι γίγνεται, τὰ μὲν ξυνήθεα, εὐήθεα καὶ ἀσινέα· τὰ δὲ ξενὰ, λοιμώδεα καὶ κτείνοντα. Εὐήθεα μὲν, ὁκόσα καθαρά ἐστι καὶ σμικρὰ καὶ ἀβαθῆ οὐδὲ ἐπιφλεγμαίνει καὶ ἀνώδυνα. Λοιμώδεα δὲ ὁκόσα πλατέα, κοῖλα, ῥυπαρὰ, ἐπιπάγῳ λευκῷ, ἢ πελιδνῷ, ἢ μέλανι συνεχόμενα· ἄφθαι τοὔνομα τοῖσι ἕλκεσι. Ἢν δὲ καὶ ὁ ἐπίπαγος ἴσχῃ βάθος, ἐσχάρη τὸ πάθος καὶ ἔστι καὶ καλέεται· ἐν κύκλῳ δὲ τῆς ἐσχάρης ἐρύθημα γίγνεται καρτερὸν καὶ φλεγμονὴ, καὶ πόνος φλεβῶν, ὡς ἐπ' ἄνθρακος· καὶ μικρὰ δὲ ἐξανθήματα ἀραιὰ γιγνόμενα πρῶτον καὶ ἕτερα καὶ ἕτερα

nam charta abrasa est et litera superscripta alia manu, quam Vergetii, nisi vehementer falsus sum. Hoc vero utut est, *κάρτα θολερή* unice verum esse facile perspicis. *Θολερὸν πνεῦμα* Hippocraticum est, quamquam adeo Galenum offendit, ut vel neget Hippocratem scripsisse. Cf. Foës. in Oecon. voce *θολερόν*. Huc pertinet illud *θολερῶς προβαίνει* Hesychii et *λόγοι θολεροί* Aeschyli, quae in Lexx. circumferuntur. Eurip. Suppl. *λαμπρὸν θολερῷ δῶμα σύμμιξας*. His locis *τὸ θολερόν* significat *τὸ τεταραγμένον*, sicuti apud nostrum. Vid. Hesych. in voce cum interprett.

ἐπὶ δὲ τῇ σταφυλῇ ἔτι ἐρυθριώσῃ.] Ita lego de coniectura Reiskii et mea: cett. *ἐρυθριῶσι*. — Coniecturam firmat locus ex Hipp. Progn. a Petito iam laudatus: *οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἔς τ' ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι.*

Cap. 9. *εὐήθεα.*] *Ἕλκος εὔηθες*, i. e. *benignum*, habet Hipp. de Victu acut. § 46. mihi. Vocem ad alios locos divini Senis abunde interpretatus est Gal.; vid. Foës. in Oecon.

τὰ δὲ ξενὰ, λοιμώδεα καὶ κτείνοντα.] Vulgo *ξένεα*, quod e confusione terminationum adiectivorum sibi subsequentium ortum esse arbitror. Ionice enim si vocem scribere voluisset Aretaeus *ξεῖνος* puto dedisset. Possit etiam e *ξένιος* illud *ξένεος* ortum ducere, verum illud pariter reiecerim. cf. Koen. ad Greg. Cor. p. 556. Verba *ξενὰ, λοιμώδεα καὶ κτείνοντα* opponuntur superioribus *ξυνήθεα, εὐήθεα καὶ ἀσινέα*. Itaque *ξενός* h. l. idem valet de hoc aphtharum genere, quod Cap. 6. vocavit *νούσων ἀλλοδαπῶν ἐπιδημίη*: nam infra *Αἰγύπτια* et *Συριακά* ulcera vocari refert.

εὐήθεα μὲν, ὁκόσα καθαρά ἐστι καὶ σμικρὰ καὶ ἀβαθῆ.] Libri, quos vidi, omnes *ὁκοῖα*, sed Crassus interpretatur *quotquot*: hinc *ὁκόσα* scripsi. Quod ad res ipsas: Gal. de Comp. med. sec. locos VI. 9. *τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι γινομένας ὀνομάζουσιν ἄφθας, ἐχούσας τι καὶ θερμότητος πυρώδους... εὐίατοι δ' εἰσὶ τοὐπίπαν ἐπὶ τοῖς μετρίως στύφουσι καθιστάμεναι.* Idem comm. in Aph. 24. III. de aphthis: *καλοῦσι δὲ οὕτως τὰς ἐπιπολῆς ἑλκώσεις κατὰ τὸ στόμα.* Auctor Defin. med.: *ἄφθα ἐστὶν ἕλκωσις ἐπιπόλαιος ἐν στόματι γιγνομένη.* Pollux IV. 25. *ἄφθα ἕλκωσις καὶ ἀπόστασις ἐπιπολῆς λευκαίνουσα γλῶτταν, ἢ παρίσθμια, ἢ κίονα, ἢ φάρυγγα· ἔσθ' ὅτε μὲν καὶ μελαίνουσα.* — Videmus *τὸ ἀβαθές* ulceris plurimum advertisse antiquos scriptores.

λοιμώδεα δὲ ὁκόσα κ. τ. λ.] Henisch. *λοιμώδεα δὲ ἐστὶν ὁκόσα.*

ῥυπαρά.] Unice veram unius cod. H. lectionem iam Wiganus recepit et exemplis e nostro collectis in adn. munivit. Cett. *λιπαρά.*

ἐπιπάγῳ λευκῷ.] Apposite Petitus contulit Hipp. de Morbis II. p. 478. *καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρὰ, οἷον μύκης, ἀφ' ἕλκεος.* — Soluto nempe isto *ἐπιπάγῳ*, quem libri auctor cum *μύκητι* comparat. Quod ad colorem, cf. locus e Polluce paulo ante laudatus.

καὶ μικρὰ δὲ ἐξανθήματα ἀραιὰ γιγνόμενα πρῶτον καὶ ἕτερα καὶ ἕτερα ἔπειτα προςεπιγιγνόμενα συνήφθη τε ἂν καὶ πλατὺ ἕλκος ἐγένετο.] Libri omnes *καὶ μικρὰ διεξανθήματα ἀραιὰ γιγνόμενα ἔπειτα προςεπιγιγνόμενα συνήφθη τε ἂν καὶ πλατὺ ἕλκος ἐγένετο.* — Primum advertit illud *διεξανθήματα*, quod nusquam, quod sciam, legitur et a Schneidero dubitanter in lex. est receptum: equidem id non fero, sed e *δέ* et *ἐξανθήματα* perperam coniunctis ortum iudico. Sed praeterea in vulgata scriptura offendunt *ἐξανθήματα ἀραιὰ γιγνόμενα ἔπειτα προςεπιγιγνόμενα*; nam *γιγνόμενα* et *ἔπειτα προςεπιγιγνόμενα* ad idem subiectum relata loci sensum omnem pessumdant: itaque aliquid excidit, quod quale fuisse putem ex emendatione loci vides. Nec tamen affirmo Are-

ἔπειτα προςεπιγιγνόμενα συνήφθη τε ἂν καὶ πλατὺ ἕλκος ἐγένετο. Κῆν μὲν ἔξω ἐς τὸ στόμα νέμηται, ἐπὶ τὴν κιονίδα ἧκέ τε καί μιν ἀπέταμε καὶ ἐς τὴν γλῶσσαν ἐσκεδάσθη καὶ ἐς οὖλα καὶ ἐς χαλινούς· καὶ ὀδόντες ἐκινήθησαν καὶ ἐμελάνθησαν καὶ ἐς τὸν τράχηλον ἡ φλεγμονὴ ἐξώκειλε· καὶ οἵδε μὲν οὐ πολυήμεροι θνήσκουσι φλεγμονῇ καὶ πυρετοῖσι καὶ κακωδίῃ καὶ ἀποσιτίῃ. Ἢν δὲ ἐς τὸν θώρηκα νέμηται διὰ τῆς ἀρτηρίης, καὶ αὐθῆμαρ ἀπέπνιξε· πνεύμων γὰρ καὶ κραδίη, οὔτε ὀδμῆς τοιῆςδε, οὔτε ἑλκέων, οὔτε ἰχώρων ἀνέχονται, ἀλλὰ βῆχες καὶ δύςπνοιαι γίγνονται.

Αἰτίη μὲν οὖν τοῦ ἔργου τῶν παρισθμίων, κατάποσις ψυχρῶν, τρηχέων, θερμῶν, ὀξέων, στυφόντων· τάδε γὰρ τὰ μέρεα καὶ θώρηκι ἐς φωνὴν καὶ ἀναπνοὴν, καὶ κοιλίῃ ἐς τροφῆς διαπομπὴν, καὶ στομάχῳ ἐς κατάποσιν διακονέεται. Εἰ δὲ καὶ τοῖσι ἔνδον τι συμβαίη πάθος, κοιλίῃ καὶ στομάχῳ καὶ θώρηκι ἐς τὸν ἰσθμὸν καὶ τὰ παρίσθμια καὶ τὰ τῇδε χωρία τοῦ κακοῦ ἡ ἀναφορὴ καὶ αἱ ἀπερεύξιες. Διὰ τόδε παιδία μάλιστα πάσχει ἄχρις ἥβης· μάλιστα γὰρ τὰ παιδία καὶ μέγα καὶ ψυχρὸν ἀναπνέει· πλεῖστον γὰρ τὸ θερμὸν ἐν τουτέοισι· ἀκρατέα δὲ καὶ ἐδωδῆς· καὶ ποικίλων ἐπιθυμίη, καὶ ψυχροποσίη, καὶ βοῆσαι μέγα καὶ ἐν ὀργῇ καὶ ἐν παιδιῇ. Καὶ κούρῃσι δὲ, μέχρι καθάρσιος ἐπιμηνίων

taeum ipsum illud scripsisse, quod ego supplevi, sed aut id, aut aliquid huic simile. Coniecturam monito lectore in textu describendam curavi, ne locus sensu cassus illum moraretur.

Κῆν μὲν ἔξω ἐς τὸ στόμα νέμηται, ἐπὶ τὴν κιονίδα ἧκέ τε καί μιν ἀπέταμε καὶ ἐς τὴν γλῶσσαν ἐσκεδάσθη.] Libri *ἐπὶ τὴν κιονίδα ἧκέ τε μὴν καὶ τὴν ἀπέταμε*, quae sana scriptura non est. Recepi coniecturam, quae probabilior videbatur; nec tamen nego alio modo haec tentari posse. Ex *ἐπὶ τὴν κ. ἧκε τε καί μιν ἀπέ-* (μὶν) *ταμε*, dittographia *τὴν* vitiosa lectio nata esse mihi visa est. — Quod attinet ad *ἔξω ἐς τὸ στόμα* Crassus *interius* habet, sed in marg. *exterius*: patet *ἔξω ἐς τὸ στόμα* opponi seqq.: *ἢν δὲ ἐς τὸν θώρηκα νέμηται διὰ τῆς ἀρτηρίης*.

καὶ ἐς χαλινούς.] Petitus: «supple, inquit, *γλώσσης*.” Crassus: «frena i. e. dentium alveolos.” Hunc sequitur Wiganus; unde suam hauserit interpretationem, nescio: ille manifesto «frenulum linguae” cogitavit. Ambo a vero aberravere. Coel. Aurel. p. 358: «circa labiorum confinia, quem Graeci *χαλινόν* vocant.” Idem p. 367: «in utriusque labii ultimo fine, sive oris angulo, quem Graeci *χαλινόν* vocant.” De Nicandri locis, ubi hoc nomen occurrit, Schneid. ad Nic. Theriaca monuit. p. 226. Rufus Ephes. p. 27.: *ἡ δὲ σύνδεσις τῶν γνάθων, χαλινός.* Pollux II. 4. *ἡ δὲ εἰς ἄλληλα τῶν χειλῶν συμβολὴ, προστόμιον, ἢ προστόμια, τὰ δὲ ἑκατέρωθεν αὐτῶν ἐπὶ τὰς γνάθους καταλήγοντα χαλινοί.* — Oris angulos aphthis saepe tegi, unusquisque quotidie videt.

ἥν ἀπό του τῶν ἐπικαίρων ἐκραγέντων ἴῃ] Libri fere omnes τούτων: sed O ex H. του τῶν. Pc. in marg. τοῦ τῶν. Cr. « ab aliquo principe membro." Wiganus Ionicum τευ desiderat, quod saepius noster usurpat. Hic quoque vulgo ἔῃ edunt, εἴη H. V. A. Pa. b.; Crassus etiam ἴῃ legisse videtur.

ἢ κοίλης Φλεβὸς, τῆς ἐν κραδίῃ ἀπὸ τοῦ ἥπατος διακονευμένης τὸ αἷμα] Hoc loco etiam P. e. f κραδίῃ. — Cett. καρδίῃ. Ad διακονευμένης adpono Sorani locum e p. 162. τῶν ἐντεῦθεν ἀγγείων τὸ ἀπὸ τῆς κυούσης αἷμα καὶ πνεῦμα διακονικῶς ἐπικεχορηγηκότων τῷ σώματι τοῦ βρέφους.

καὶ δυςπνοίῃ ὤκιστος ὄλεθρος.] Vulgo δυςπνοῇ (sic): aliis locis noster δυςπνοίη, ita ut hic etiam ita scripserim; permutatio in eiusmodi rebus facilis: ἀναπνοὴ, διαπνοὴ, ἐκπνοὴ, ἐμπνοή et ἔμπνοια; sed ἄπνοια, δυςπνοια — Ceterum ὤκιστος ὄλεθρος, quod passim usurpat Aretaeus, Homericum est: exempli loco sit Il. XXII. 325. ἵνα δὲ ψυχῆς ὤκιστος ὄλεθρος.

οὐχ ἥκιστα δὲ ἔμπυοι γίγνονται.] Libri scripti et editi οὐχ ἥκιστα δὲ ἔμπυοι καὶ φθίσιες γίγνονται. Wiganus ἐμπύαι coniecit, collato initio cap. 8. libri sequentis ἐμπύη ἧδε τοὔνομα, de quo loco postea. Mihi potius eiicienda visa sunt verba καὶ φθίσιες, utpote paene superflua et profecto inepta. — Ad ἔμπυοι, vocem Hippocraticam cf. Oecon. Foësii.

ἐς γὰρ τὴν κοιλίην καὶ τὰ ἔντερα.] Τά de meo interposui.

οὐ μὴν οὐδὲ ἡ ἄνωθεν διὰ πνεύμονος καὶ ἀρτηρίης ἀδύνατος, ἢ ἄπιστος.] Huc pertinet locus e Praenn. Coacis. (450.) ubi: ὅσοι δὲ ἀφρῶδες αἷμα πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι καὶ θνήσκουσι. — Conf. quae e Prosp. Martiano adscripsi ad Specimen meum de Hipp. doctr. a Prognostice oriunda p. 132. nota 52.

καὶ γὰρ ἐν πυρετοῖσι ἀπὸ σπληνὸς καὶ ἥπατος διὰ ῥινῶν αἱμοῤῥαγέουσι, κατ' ἴξιν τοῦ σπλάγχνου τοῦ μυκτῆρος ῥέοντος.] Πυρετοῖσι praebent Pb. e. f. πυρετοῖς cett. — Res ipsa medicis veteribus Cois iam cognita, qui contrarium atro carbone notarunt: Coaca 327. Τὸ ἀνάπαλιν αἱμοῤῥαγέειν πονηρὸν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῶν δεξιῶν· καὶ κατὰ ὑποχόνδρια ὡςαύτως.

ἀφ' ὧνπερ ἡ ἀγωγή.] Ἀγωγή h. l. notandum et infra in verbis τόδε τὸ εἶδος τῆς ἀγωγῆς: ponitur utroque loco pro ἀναγωγή: in lib. 6. seqq. videbimus nostrum saepius tali modo simplicia usurpare pro compositis.

οἱ δὲ τρόποι τρεῖς ἔασι· ἢ γὰρ ἀπὸ ῥήξιος ἀγγείου, ἢ διαβρώσιος, ἢ ἀραιώσιος ἀνάγεται.] Gal. de Meth. med. V. 2.: ἐκχεῖται τοίνυν, inquit, αἷμα φλεβὸς καὶ ἀρτηρίας ἤτοι κατὰ τὸ πέρας ἀνεστομωμένων τῶν ἀγγείων, ἢ τοῦ χιτῶνος αὐτῶν διαιρεθέντος, ἢ ὡς ἄν τις εἴποι διηθούμενον, ἢ διϊδρούμενον· ὁ μὲν οὖν χιτὼν διαιρεῖται τιτρωσκόμενός τε καὶ θλώμενος καὶ ῥηγνύμενος καὶ διαβρωσκόμενος. ἀναστόμωσις δὲ γίνεται διά τε ἀτονίαν ἀγγείου καὶ πλῆθος αἵματος ἀθρόως ῥεύσαντος ἐπὶ τὸ στόμιον αὐτοῦ καί τινα ποιότητα προςπίπτουσαν ἔξωθεν αὐτῷ δριμεῖαν· ἡ δὲ διαπήδησις ἀραιωθέντος μὲν τοῦ χιτῶνος, λεπτυνθέντος δὲ τοῦ αἵματος ἀποτελεῖται· γένοιτο δ' ἂν ποτε καὶ δι' ἀναστόμωσιν ἀγγείων μικρῶν. Conf. idem de Sympt. Differ. cap. 6. — Vid. Auctor Defin. med. p. 457. Kühn. — Anastomosin silentio praeteriit noster.

ῥήγνυται μὲν ὦν ἐξαπιναίως, ἢ πληγῇ, ἢ ἐντάσι ἄχθεος ἀναθέσι, ἢ ἀπὸ ὕψους ἅλματι κ. τ. λ.] Ὧν in his praebent P. e. f. οὖν cett. — Tum vero libri ἢ ἐντάσι ἄχθεος, ἢ ἀναθέσι, quod ferri prorsus nequit; nam ἔντασις ἄχθεος sensu cassum est: bene habet ἄχθεος ἀναθέσι, adeo ut vel ἢ ἐντάσι, ἢ ἄχθεος ἀναθέσι legendum videatur, vel ἢ ἐντάσι ἄχθεος ἀναθέσι, ἢ — ἅλματι κ. τ. λ. ita ut ἀναθέσι, ἅλματι ad ἐντάσι referantur. — Posterior ratio mihi maxime arridet.

ἢ τεῳ ἄλλῃ ὁμοίῃ αἰτίῃ.] Ἢ τευ cett. De meo Dativum dedi.

διὰ τόδε οὔτε πολλὴ, οὔτε ἀθρόη, οὔτε παχέος αἵμα-

εἴ κοτε πρόσθεν ἔβηξε ὥνθρωπος, ἢ δύσπνους γέγονε, ἢ ναυτίη, ἢ ἔμετος ἦγχε πάρος· ἐκ γὰρ τοιῶνδε πολυχρονίων διεσθίεται τὰ ἀγγεῖα ῥεύματι ξυνεχέϊ καὶ πολλῷ, καὶ δριμέϊ· ἐπὴν οὖν πολλὸν ξυντακέντα καὶ λεπτυνθέντα ἐς τέλος ἀπαναλωθῇ τὰ ἀμπέχοντα ὑμένια, τὸ αἷμα ἐκχέει. Ἡ δὲ ἐξ ἀραιώσιος ἀῤῥαγὴς μέν· διὰ τόδε οὔτε πολλὴ, οὔτε ἀθρόη, οὔτε παχέος αἵματος, ἀραιώσι δὲ τῶν ἀγγείων τὸ λεπτὸν ἀποτίθεται· ἢν δὲ πολλὸν αὐλισθὲν ἐν κοίλῃ χώρῃ αὖθις ἀνάγηται, παχύτερον μὲν ἑωυτοῦ γίγνεται, οὐ μὴν παχὺ κάρτα, οὐδὲ μέλαν, ὁκοῖον αἱμάλωψ· πλεῖον δὲ τῷ πλήθεϊ, ὡς ἀπὸ ἀθροίσιος, εὐθὺς ἀναφέροιτο. Τόδε τὸ εἶδος τῆς ἀγωγῆς γυναιξὶ ὡς ἐπίπαν οὐ καθαιρομένῃσι τὰ ἐπιμήνια γίγνεται, καὶ ἐν τῇσι αὐτῇσι περιόδοισι τῆς καθάρσιος ἐπιφαίνεται, καὶ ἐπὶ τῇσι προθεσμίῃσι τῆς ἀποπαύσιος ἴσχεται· κἢν μὴ ἰηθῇ ἡ γυνὴ, ἐς πολλὰς περιόδους ἀντιπεριεῖσι ἡ ἀναγωγή· μετεξετέρῃσι δὲ καὶ ἀπεῤῥάγῃ τὰ ἀγγεῖα τῷ πλήθεϊ.

Διαφορὴ δὲ τῆς ἀναγωγῆς καὶ εἰ ἐξ ἀρτηρίης ἢ φλεβὸς ἀνάγοιτο. Μέλαν μὲν γὰρ, καὶ παχὺ, καὶ ῥηϊδίως πηγνύμενον, ἢν ἀπὸ φλεβὸς, καὶ ἧσσον ἐς κίνδυνον ῥέπει καὶ ἐπίσχεται θᾶσσον. Ἢν δὲ ἀπὸ ἀρτηρίης, ξανθὸν καὶ λεπτὸν, καὶ οὐ μάλα πήγνυται, καὶ ὁ κίνδυνος ὠκύτερος, καὶ ἡ ἐπίσχεσις οὐ μάλα ῥηϊδίη· αἱ γὰρ διασφύξιες τῆς ἀρτηρίης αἱμοῤῥαγίης πρόκλησιν ποιέονται, καὶ τὸ τρῶμα οὐ συμφύει τῇ πολυκινησίῃ.

Ἄλθεξις δὲ, ἢν μὲν ἀπὸ διαβρώσιος, μακρὴ, καὶ οὐ ῥηϊδίη, καὶ σφαλερή· ὑπὸ γὰρ ἐλλείψιος ἐς σύμφυσιν τὸ ἕλκος οὐκ ἀφικνέεται· ἕλκος γὰρ, οὐ τρῶμα γίγνεται. Ἐπὶ δὲ τῇσι ῥήξισι ἡ σύμφυσις ἑτοιμοτέρη· ψαύει γὰρ ἀλλήλων τοῦ τρώματος τὰ χείλεα· ἔστι ἥδε ὧν ἡ διαφορὴ δευτέρη ἐς κίνδυνον. Ἀσινεστάτη δὲ ἡ ἐπὶ τῇσι ἀραιώσισι· ἴσχεται γὰρ αὐτομάτως, καὶ ἰητρείη στύψις καὶ ἔμψυξις ἱκανή.

Σημαντέοι δὲ καὶ οἱ τόποι, ἀφ' ὧνπερ ἀνάγεται, ξυνὰ γὰρ πολλὰ σημεῖα, καὶ ἡ ἀπάτη ῥηϊδίη, καὶ ἡ ἰητρείη ἑτέρη. Ἀπὸ στομάχου μὲν οὖν οὔτε λίην ἐξ ἀραιώσιος ἀνάγεται· ἡ γὰρ

τος, ἀραιώσι δὲ τῶν ἀγγείων τὸ λεπτὸν ἀποτίθεται.] V. A. Pa. dant ἀποτίθεται, ceteri omnes ἀποτιθέεται. Reiskius desideravit ἀποηθέεται, dissentiente Bernardo. Mihi quidem non satis placet Reiskii coniectura, ferri posse credo vulgatam. Et vero potius διηθεῖσθαι in hac re exspectaveris. Cf. Galeni verba supra laudata. Praeterea vitium in ἀποτιθέεται unice ortum est ex ε vitiose repetito.

πλεῖον δὲ τῷ πλήθεϊ, ὡς ἀπὸ ἀθροίσιος, εὐθὺς ἀναφέροιτο. Τόδε τὸ εἶδος τῆς ἀγωγῆς γυναιξὶ .... γίγνεται.] Vulgo: πλεῖον δὲ τῷ πλήθεϊ, ὡς ἀπὸ ἀθροίσιος. Οἷσι δ' εὐθὺς ἀναφέροιτο τόδε τὸ εἶδος τῆς ἀγωγῆς, γυναιξὶ... γίγνεται. — Haec corrupta esse unusquisque semel monitus statim perspicit: corruptelae ratio posita in vitiosa repetitione finis vocis ἀθροίσιος, unde οἷσι δ' exstitit, quo deleto si pone ἀναφέροιτο distinguas, omnia bene procedunt. De ἀγωγῆς h. l. pro ἀναγωγῆς posito cf. quae paulo ante adscripsi.

ἀντιπεριεῖσι.] Ἀντιπερίῃσι O. H. V. G. v. l., P omnes. ἀντιπερίοισι cett. Edd. Ἀντιπεριεῖσι legendum esse, vidit Reiskius.

μετεξετέρῃσι δὲ καὶ ἀπεῤῥάγῃ τὰ ἀγγεῖα τῷ πλήθεϊ. Διαφορὴ δὲ τῆς ἀναγωγῆς καὶ εἰ ἐξ ἀρτηρίης, ἢ φλεβὸς ἀνάγοιτο.] Vulgo in hisce τὰ ἀγγεῖα. Τῷ πλήθεϊ δὲ ἡ δ. τῆς ἀ. καὶ εἰ κ. τ. λ. — Unde sanus sensus elici nequit. Itaque ad eum, quo descripsi, modum locum correxi. Nimirum, quum in διαφορὴ δὲ τῆς ἀναγωγῆς κ. τ. λ. tantum sermo sit de differentia prouti vel e vena, vel ex arteria sanguis erumpat, τῷ πλήθεϊ eo pertinere nequit: verum apte coniunxeris ἀπεῤῥάγῃ τὰ ἀγγεῖα τῷ πλήθεϊ i. e. τῷ πλήθεϊ τοῦ ἐπιῤῥυέντος αἵματος. Cf. verba Galeni mox laudata: ἀναστόμωσις δὲ γίνεται διά τε ἀτονίαν ἀγγείου καὶ π λ ῆ θ ο ς αἵματος ἀθρόως ῥεύσαντος ἐπὶ τὸ στόμιον αὐτοῦ.

καὶ τὸ τρῶμα οὐ συμφύει τῇ πολυκινησίῃ.] Libri variant: H. V. A. O. Pa. b. e. f. συμφύει, cett. συμφέρει. Illud profecto verum, aut vero proximum.

Φύω intransitivum est Il. ζ. 149.

ὣς ἀνδρῶν γενεὴ, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

Potuit ergo, puto, noster ὁμηρικῶς τὴν φράσιν praesens συμφύει intransitive usurpare, modo ne sit vitium e seq. τῇ ortum: sed aliis locis plura similia occurrent. Buttm. II. p. 321.: „auch das Praesens φύω hat bisweilen die immediative Bedeutung. S. zu Aiax p. 90."

ἄλθεξις δὲ, ἢν μὲν ἀπὸ διαβρ.] Ἄλθεξις δὲ ἡ μὲν ἀπὸ δ. V. Pa. b. d.

ὑπὸ γὰρ ἐλλείψιος.] Ita P. e. f. ἐλλείψεως cett.

ἔστι ἥδε ὧν ἡ διαφορὴ δευτέρη ἐς κίνδυνον] In hisce ἥδε, sensu id flagitante, e codd. lect. δέ effeci.

καὶ ἰητρείη στύψις καὶ ἔμψυξις ἱκανή.] Vulgo legitur ἰητρίης: Pe. f. ἰητρείης, utrique lectioni litera prima vocabuli sequentis adhaeret, quam delevi.

τῶν βρωμάτων τε καὶ τῶν πομάτων ψύξις τε καὶ στύψις ἐς πύκνωσιν ἄγει τὰ μέρεα· ἀτὰρ οὐδὲ διαβρώσιες ξυνεχέες εἰσὶ, καίτοι μᾶλλον τῆς προτέρης· τὰ γὰρ ἀναδάκνοντα τῶν ῥευμάτων οὐ προςίσχεται πολλὸν χρόνον, ἀλλ' ἢ ἀνεπτύσθη, ἢ διηλάθη κάτω. Συνηθεστέρη δὲ στομάχῳ ἐστὶ ἡ ῥῆξις· ἢν οὖν ἀποῤῥαγῇ κοτε, αἱμοῤῥαγίαι οὐ κάρτα μεγάλαι, ὁκοῖαι ἀπὸ θώρηκος· ἰσχνὰ γὰρ τῇδε τὰ φλέβια, σμικραὶ δὲ καὶ αἱ ἀρτηρίαι. Ἰδέῃ δὲ τὸ αἷμα οὐ κάρτα μέλαν, ἢ ὑπόξανθον οὐ κατακορέως, λεῖον, ἢ σιάλοισι μεμιγμένον, ξὺν ναυτίῃ καὶ ἐμέτῳ ἀναφερόμενον. Βὴξ σμικρὴ, ἄλλοτε μὲν ξύν τῳ, ἄλλοτε δὲ μούνη, ἄνευθεν ἀναγωγῆς· ξυνταλαιπωρέει γὰρ ἡ ἀρτηρίη τῷ στομάχῳ παρατεταμένη καὶ ξυνημμένη. Δῆξις, ἢ στύψις τοῦ ἕλκεος ἐπὶ τοῖσι καταπινομένοισι, πολλὸν δὲ μᾶλλον, ἢν ψυχρὰ κάρτα ἢ θερμὰ, ἢ στρυφνὰ ἔῃ. Ἐγγίγνεται δὲ καὶ πόνος τοῦ στομάχου, μετεξετέροισι δὲ καὶ μέσφι μεταφρένου· ἔμετοι φλεγματώδεες· ἐπαναφέρουσι δέ κοτε, ἐπὴν ἐς μῆκος ἡ νοῦσος ἐπιταθῇ καὶ μέζων ἔῃ ἀποσιτίη, τουτέων πλῆθος πολύ· πυρετοὶ οὐ μάλα ξυνεχέες, ἀλλὰ ῥεμβώδεες.

Ἀπὸ δὲ κοιλίης ἂν ἀνάγοιτο μέλαν καὶ πηγνύμενον, κἢν ἀπὸ ἀρτηρίης ᾖ· ἢν δὲ ἀπὸ φλεβὸς, πολλόν τι μελάντερον, πολλὸν δὲ καὶ παγερώτερον· ναυτίη πολλὴ καὶ ἔμετος φλεγμάτων καὶ χολωδέων, κἢν προβεβρώκῃ ὥνθρωπος, τοῖσι σιτίοισι συμμιγνύμενον τὸ αἷμα· ἐν γὰρ τῇ αὐτῇ χώρῃ ἄμφω ἅμα ἀλίζεται καὶ ἡ τροφὴ καὶ τὸ αἷμα· ἐξερεύξιες πολλαὶ βρωμώδεες· κἢν μὲν πολὺ ξυλλεγῇ, ἀπορίη, σκοτόδινος· ἢν δὲ ἐμεθῇ τάδε, ῥιπίζουσι· ἔκλυτοι, καυσώδεες τὸ σύμπαν· πόνος ξυνεχὴς τῆς κοιλίης.

καὶ ἡ ἰητρείη ἑτέρη] Vulgo *ἰητρίη*: sed *ἰητρείη* Pa. c. e. f.

ἀτὰρ οὐδὲ διαβρώσιες ξυνεχέες εἰσὶ, καίτοι μᾶλλον τῆς προτέρης.] Libri in his *καὶ μαλλον*; de meo *καίτοι μᾶλλον* dedi. Ceterum advertit quam *ξυνεχής* et *ξυνήθης* apud scriptorem nostrum sibi valde sint sensu similia. Nam tum h. l., tum aliis nonnullis alterum alteri fere substitueris salvo sensu.

ἀλλ' ἢ ἀνεπτύσθη, ἢ διηλάθη κάτω.] Ἀνεπτύσθη e Cod. H. in Oxon. Ed.: *ἀπεπτύσθη* cett. — Longissime praestat *ἀνεπτύσθη*, nempe opponitur sequenti *διηλάθη κάτω*.

ἢν οὖν ἀποῤῥαγῇ κοτε.] Codd. *εἰ*: de meo *ἢν* dedi.

σμικραὶ δὲ καὶ αἱ ἀρτηρίαι.] Ita V. Pa. b. — *αἱ* omittunt cett.

ἰδέῃ δὲ τὸ αἷμα οὐ κάρτα μέλαν, ἢ ὑπόξανθον οὐ κατακορέως.] Particulam disiunctivam inter *μέλαν* et sequens epitheton de meo interposui: nam ultro patet *οὐ κάρτα μέλαν* ad sanguinem de vena prodeuntem referri, *ἢ ὑπόξανθον* ad eum, qui ex arteria proruperit. Et vero *η* ante *υ* omitti, nemo facile mirabitur.

ἄλλοτε μὲν ξύν τῳ, ἄλλοτε δὲ μούνη, ἄνευθεν ἀναγωγῆς.] Wiganus: «Vocem, inquit, aliquam potius deficere crediderim, ut *σιάλῳ*, quam *τῳ* hic pro *τινι* usurpari; neque enim aut commune aut sanum genus loquendi videtur. Substantivo certe alibi semper utitur in occasione simili, ut (68. 25.) *τάδε καὶ ξὺν τῇ τροφῇ* et (68. 29.) *ἄλλοτε μὲν ἰδίῃ τάδε, ἄλλοτε δὲ ξὺν τοῖσι κοπρίοισι.*" — Equidem locum sanissimum esse arbitror: *ξύν τῳ* est *ξύν τινι ἀναγωγῇ*: ceterum exempla a Wigano prolata nihil faciunt ad eam rem, quam illis demonstrare cupit, probandam.

μετεξετέροισι δὲ καὶ μέσφι μεταφρένου· ἔμετοι φλεγμ.] Ita verissime e cod. H. edidit Wiganus; ceterorum scriptura *μετεξετέροισι· οἱ δὲ μέσφι μ. ἔμετοι φλ.* procul dubio est corrupta. — Verum valde displicet Wigani coniectura *μετεξετέροισι δὲ καὶ μέσφι μεταφρένου· οἱ δὲ ἔμετοι φλεγματώδεες.* — Illud *οἱ δέ* valde ineptum h. l.

ἐπαναφέρουσι δὲ κοτε, ἐπὴν ἐς μῆκος ἡ νοῦσος ἐπιταθῇ, καὶ μέζων ἔῃ ἀποσιτίη, τουτέων πλῆθος πολύ.] Ante omnia moneo, verba *ἀποσιτίη τουτέων* inverso ordine in libris circumferri, me vero transposuisse e Wigani coniectura. — Sed forte pro *ἐπιταθῇ* potius exspectaveris *ἀποταθῇ*, quod si libri largirentur, haud ego reiecerim; attamen sanum esse iudico *ἐπιταθῇ*. — Hesychius: *ἐπιτεῖναι· μεγαλῦναι· μακρῦναι.* — Huc pertinet locus Xenoph. de rep. Laced. a Schneidero citatus: *νομίζων τοὺς οὕτω παιδευομένους... ἀπὸ τοῦ αὐτοῦ σιτοῦ πλείω χρόνον ἐπιταθῆναι.*

πυρετοὶ οὐ μάλα ξυνεχέες, ἀλλὰ ῥεμβώδεες.] Illud *ῥεμβώδεες* de febribus dictum Aretaeo proprium est: Hippocrates eodem sensu *πυρετοὺς πλανώδεας* dixit. Cf. Oecon. Hipp. in *πλανᾶσθαι* et *ῥέμβην*.

ἀπὸ δὲ κοιλίης ἂν ἀνάγοιτο μελαν.] De meo *ἂν* interposui; voculam interiisse opinor propter sequentis initium ipsi simile.

πολλὸν δὲ καὶ παγερώτερον.] Wiganus e codd. lectione *παγετώτερον* reponendum esse *παγερώτερον* dudum monuit, collato loco e cap. de curatione *αἵματος ἀναγωγῆς*, ubi *τὸ παγερὸν ἴσχει*. — Παγερός, ut *τακερὸς*, *νοτερὸς*, *στυγερὸς*, *θαλερός*, alia multa.

ἔμετος φλεγμάτων καὶ χολωδέων, κἢν προβεβρώκῃ ὥνθρωπος, τοῖσι σιτίοισι συμμιγνύμενον τὸ αἷμα.] Libri omnes *φλεγμάτων*; saepius *φλέγματα* apud nostrum obvium. Vulgo inverso ordine *τοῖσι σιτίοισι συμμιγνύμενον τὸ αἷμα κἢν προβ. βρώκῃ ὥνθρωπος.* Haec transponenda fuisse, unusquisque videbit.

Ἀπὸ δὲ τῆς τρηχείης ἀρτηρίης σμικρὸν, καὶ σφόδρα ξανθὸν τὸ αἷμα, καὶ ξὺν βηχὶ ἀνάγουσι· κἢν μὴ ἀνάγωσι δὲ, διηνεκέως βήσσουσι· αἴσθησις δὲ καὶ πόνου, ἔνθα ὁ βρόγχος, ἢ σμικρόν τι νέρθεν, ἢ ὕπερθεν· φωνὴν βραγχώδεες, ἀσαφέες.

Ἢν δὲ ἀπὸ πνεύμονος ᾖ, ἀθρόως ἡ ἀναγωγὴ, ἐπὶ δὲ μᾶλλον, εἰ ἐκ διαβρώσιος, ξὺν βηχὶ πολλῇ ξανθὸν κατακορέως, ἀφρῶδες, στρογγύλον, ὡς ἄλλην ἀπ' ἄλλης ἀναγωγὴν διακεκρίσθαι· ἀλλὰ καὶ ἡ ἐν ξυνῷ ἀγγείῳ φορὴ τῶν ἀπὸ τοῦ θώρηκος ἀναγομένων ἄλλη· καὶ διαστήσαις ἂν τὰ ξυμμεμιγμένα ἐκ παραθέσιος, ὡς ὄντα μέρεα θώρηκος· τὰ δὲ ἰδέην σαρκοείδεα δοκοίης ἂν πνεύμονος ἔμμεναι μέρεα. Θώρηκος βάρος, ἀπονίη, ἐρύθημα προσώπου πολλόν τι μᾶλλον τουτέοισι.

Ἢν δὲ ἀπὸ θώρηκος ἐπανίῃ, ἐς τὸ πρόσθεν πόνος διασημαίνει τοῦ ἐῤῥωγότος μέρεος· βὴξ σύντονος, καὶ μόλις ἀνάγουσα· τὸ δὲ αἷμα ξανθὸν, οὐ κάρτα παχὺ, ἄναφρον· ἢν δὲ καὶ πνεύμων ἐκ τῆς παρόδου ξυμπαθήσῃ, προςδιδοῖ τοῦ ἀφρώδεος· ὁδὸς γὰρ ἐκ θώρηκος ἐς ἀρτηρίην πνεύμων.

βρωμώδεες,] Praeter codd. auctoritatem *βρωμώδεες* dedi; hi enim *βρομώδεες*. Perpetua in MSS. inter *ω* et *ο* est fluctuatio. Βρομώδης a *βρέμω* nihil huc facit; verum a *βρῶμος* (*foetor*) *βρωμώδης*.

ἔνθα ὁ βρόγχος, ἢ σμικρόν τι νέρθεν, ἢ ὕπερθεν.] Particulam ἢ ante *σμικρόν τι* de meo adscripsi: loci sensus eam sibi efflagitat.

ὡς ἄλλην ἀπ' ἄλλης ἀναγωγὴν διακεκρίσθαι.] Praepositionem *ἀπό* de meo interposui. Alio loco noster: *διάκρισις τῶν οὔρων ἀπὸ αἵματος*. Thucyd. I. 105. *μάχης γενομένης ἰσοῤῥόπου.., διεκρίθησαν ἀπ' ἀλλήλων*. Lucian. Pisc. 33. *ἤλεγχον αὐτοὺς καὶ διέκρινον ἀφ' ὑμῶν*.

ἀλλὰ καὶ ἡ ἐν ξυνῷ ἀγγείῳ φορὴ τῶν ἀπὸ τοῦ θώρηκος ἀναγομένων ἄλλη· καὶ διαστήσαις ἂν τὰ ξυμμεμιγμένα ἐκ παραθέσιος, ὡς ὄντα μέρεα θώρηκος· τὰ δὲ ἰδέην σαρκοείδεα δοκοίης ἂν πνεύμονος ἔμμεναι μέρεα.] In his libri *φθορή*, quod quid sibi velit, non intelligo, ita ut de coniectura et mea et Reiskii *φορή* exhibeam; quippe hoc tum cum superiore *ἀναγωγήν*, tum cum sequente *ἀναγομένων* satis apte congruere videtur. — De coniectura, ut locum, in quo aliquid desiderabam, explerem *καί* ante *διαστήσαις* interposui et *ἀπό* ante *τοῦ θώρηκος*. Porro libri ferunt *ὡς ἐκ παραθέσιος*, quo quidem loco *ὡς* perperam e seqq. *ὡς ὄντα μ. θ.* repetitum iudico. Tandem libri *τὴν δὲ ἰδέην σαρκοείδεα*, quod certo certius in *τὰ δὲ ἰδέην σαρκοείδεα* mutandum est. — Haec in universa periodo, me iudice, Aretaei mens est: « Ubi sanguis e pulmone prodit, confertim erumpit, inprimis si *διάβρωσις* eruptionis causa sit; redditur autem cum multa tussi, sanguis flavens, spumosus, globulorum formam referens, ita ut singulae sputationis species ex ipsa materia eiecta facile distinguantur: verum etiam materies a thorace ipso prodiens a materie e pulmone profecta diversa est, ita ut etiamsi communi vase contineantur, facile utramque discernas; nempe eas partes, quae carnis speciem referunt, pulmonis partes esse censebis. Iis, qui e pulmone sanguinem reiiciunt, gravitas thoracis contingit, doloris absentia et faciei rubor." *Διαστῆσαι ἐκ παραθέσιος* est *partes iuxta positas a se invicem dimovere.* Nisi malis *ἐκ παραθέσιος* interpretari *comparatione.* — Ceterum monitum cupio lectorem me haec, tanquam prae reliquis, quae excogitaveram, maxime probabilia proposuisse. Loci diligentem explorationem Aretaei lectoribus magnopere commendo et inprimis eos hortor, ne sine accurata investigatione mea arripiant, quae ipse dubius in medium profero.

ἢν δὲ ἀπὸ θώρηκος ἐπανίῃ κ. τ. λ.] Wiganus ad vulg. l. *καταπίνῃ*: « certe, inquit, vox mendosa. Crassus: *si in pectore noxa sit*; quid legerit voci *καταπίνῃ* simile coniicere nequeo. Inter varr. lectt. legendum monet *si a pectore absorbeat.* [Imo Crassus codd. lectionem in margine adscripsit, quod sensus flagitare videbatur in interpretationem suam recepit E.] An *ἐπανίῃ?* his enim praepositionibus verba in simili casu decomponit, ut *ἐπανάγηται διὰ τοῦ πνεύμονος* (41. 32.)" Bernardus coniicit *καταβαίνῃ*: verum eiusmodi quid si noster voluisset *ἀναβαίνῃ*, puto, scripsisset. — Petitus *καταπίνῃ* servat et *ὁ πνεύμων*, tanquam subiectum, subintelligit. Fortasse ob mentem ei obversabatur locus e capite de pleuritide: *ἕλκει γὰρ πνεύμων ἐς ἑωυτὸν καὶ μανὸς καὶ θερμὸς ἐὼν καὶ ἐς ὁλκὴν τῶν πέλας κινεύμενος*: quamquam adponit tantum seqq.; *ὁδὸς γὰρ ἐκ θώρηκος ἐς ἀρτηρίην πνεύμων*. Verum hisce tantum demonstratur, Aretaeum pulmonem e latere vel thorace toto s. sanguinem, s. aliam materiem absorbere posse opinatum esse: nondum demonstras, *καταπίνῃ* h. l. eo sensu, quo vult Petitus, recte dici; neque vero certo doces, subiectum *ὁ πνεύμων* apte h. l. subintelligi. Et primo quidem certe *ἀναπίνῃ* potius exspectaverim; tum vero quo minus *ὁ πνεύμων* subintelligam, vetat sequentis periodi initium: *ἢν δὲ ἀπὸ πλευρῆς*, ubi *ἀνίῃ τὸ αἷμα* omnino supplendum cogitatione, et vero vetat longum intervallum, quo a verbis *ἢν δὲ ἀπὸ πνεύμονος ᾖ* nostra absunt, et ipsa haec, in quibus *τὸ αἷμα* subiectum est subintelligendum. Itaque Wigani coniecturam recepi.

ἐς τὸ πρόσθεν πόνος διασημαίνει τοῦ ἐῤῥωγότος μέρεος.] Ceteri *ἐς τὸ πρόσθεν κατὰ τὸ στέρνον πόνος δ.* — Bernardus glossema esse *κατὰ τὸ στέρνον* opinatus est, cum quo consentio, adeo ut deleverim.

τὸ δὲ αἷμα ξανθὸν, οὐ κάρτα παχύ.] Ceteri: *ξανθὸν οὐ κάρτα, μέσως παχύ*. Verum *μέσως* glossema est: itaque expunxi.

ὁδὸς γὰρ ἐκ θώρηκος ἐς ἀρτηρίην πνεύμων.] Praepositionem *ἐκ* de meo interposui. Ceterum ad proxime antecedentia, *ἢν δὲ καὶ πνεύμων ἐκ τῆς παρόδου ξυμπαθή-*

Ἢν δὲ ἀπὸ πλευρῆς, ξὺν ϐηχὶ μὲν, μέλαν δὲ καὶ λεῖον, κάκοδμον, ϐρωμῶδες, ὁκοῖόν τι σηπεδών· πόνος τῆς πλευρῆς ὀξύς· πολλοὶ γοῦν θνήσκουσι πλευριτικὸν τρόπον ξὺν πυρετῷ.

Ὥρη δὲ φέρει ὑγρὴ καὶ θερμή· τοιόνδε τὸ ὑγρὸν καὶ θερμὸν ἔαρ· δεύτερον τὸ θέρος. μετόπωρον ἧσσον· χειμὼν δὲ ἥκιστα. Θνήσκουσι δὲ θέρεος μὲν μάλιστα αἱμοῤῥαγίῃ, φλεγμοναὶ γὰρ οὐ κάρτα μεγάλαι γίγνονται τότε· ἔαρος δεύτερον, φλεγμονῇ καὶ πυρετοῖσι καυσώδεσι· φθινοπώρῳ δὲ ὡς ἐπίπαν ῥηϊδίως φθοαὶ γίγνονται.

Ἀθρόον δὲ εἰρῆσθαι, ἐπὶ πάσῃ αἵματος ἀναγωγῇ, κῆν σμικρὴ ἔῃ, κῆν ἤδη μεμύκῃ τὰ ῥαγέντα, ἕπεται δυςθυμίη, δυςελπιστίη, ἀπόγνωσις τοῦ ϐίου· τίς γὰρ οὕτω εὐσταθὴς, ὡς ὁρῆν μὲν ἑωυτὸν σφαγῇ ἴκελον πεπονθότα, μὴ ὀῤῥωδέῃ δὲ ἀμφὶ θανάτου; καὶ γὰρ καὶ τὰ μέζω τῶν ζώων καὶ τὰ ἀλκιμώτερα, ὁκοῖον οἱ ταῦροι, αἱμοῤῥαγίῃ θνήσκουσι ὤκιστα. Ἀλλὰ τόδε μὲν οὐ μέγα τὸ θῶυμα: θῶυμα δὲ μέγα τόδε· ἐπὶ

σῃ, confer Gal. de Locis aff. IV. 8. *πολλοὶ δὲ τῶν οὕτως παθόντων μόρια ἄττα τοῦ πνεύμονος ἅμα τῷ αἵματι συνανήνεγκαν· καὶ διὰ τοῦτο προςήκει παρακολουθεῖν ἐπιμελῶς, εἰ ἀφρῶδές τι συνανεπτύσθη· καὶ γὰρ καὶ τοῦτο ϐεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ τοῦ πνεύμονος ἀναγωγῆς, ὥςπερ ὅταν ἤτοι ϐρογχίου τι μέρος, ἢ ἀρτηρίας χιτῶνος, ἢ φλεβὸς, ἢ καὶ τῆς σαρκὸς αὐτῆς τοῦ πνεύμονος ἀναφέρηται: τούτων δ' οὐδὲν ἐπιφαίνεται τοῖς ἐκ τοῦ θώρακος ἀναβήττουσιν αἷμα.*

ϐρωμῶδες, ὁκοῖόν τι σηπεδών] Libri *ϐρομῶδες ὁκοῖον τῆς σηπεδόνος.* Erroris origo in aprico est: de *ϐρωμῶδες* supra monui; sed quod ad *τῆς*, ortum est e *τι* et viliose repetita litera prima sequentis nominis; ita demum exstitit Genitivus *σηπεδόνος.* Mox cap. 6. huius libri *ὁκοῖόν τι μέλαν σηπίης.* Sequenti libro cap. 7.: *ὁκοῖον τι τοῦ νωτιαίου μυελοῦ ἢ μῆνιγξ.*

θνήσκουσι δὲ θέρεος μὲν μάλιστα αἱμοῤῥαγίῃ· φλεγμοναὶ γὰρ οὐ κάρτα μεγάλαι γίγνονται τότε· ἔαρος δεύτερον, φλεγμονῇ καὶ πυρετοῖσι καυσώδεσι· φθινοπώρῳ δὲ ὡς ἐπίπαν ῥηϊδίως φθοαὶ γίγνονται.] Ionismum *θέρεος* h. l. praebuere Pe. *f.* ceteri *θέρους.* — Verum silentio praeterire non licet interpretum de hoc loco sententias; — Petitus: «Post *δεύτερον*, inquit, scribe *χειμῶνος δέ*, quae dictiones librarii socordia omissae sunt. Patet ex contextu et sententiae filo: ait *aegrotos aestate mori potius haemorrhagia quam inflammatione; quod id temporis inflammationes non gignat.* Ἔαρος *δεύτερον*, hoc est verno tempore, magis fiunt sanguinis profluvia, sed non ut aestivo; *χειμῶνος δέ*, per hiemem vero ab inflammatione magis et febribus ardentibus periclitantur, quam ab haemorrhagia, Vide lib. superiori cap. 10. *περὶ πλευρίτιδος*, ubi verba haec leguntur, *φέρει δὲ τὴν νοῦσον (πλευρῖτιν) ὥρη μὲν χειμὼν μάλιστα πάντων.* Pleuritis autem inflammatio est. Item Arist. Sect. I. Probl. 6, Praeterea, cum anni tempora ordine recenseat, hiemem ab ipso praetermissam fuisse non est veri simile." — Wiganus οὐ ante *κάρτα* deletum cupivit: « *οὐ*, inquit, delendum puto. Inflammationes enim aestate maximas oriri minime dubium est; *οἱ καῦσοι ἐν τῇσι θερινῇσι μᾶλλον γίγνονται* Hipp. Ep. II. 995. Sequitur etiam apud Aretaeum homines mori *ἔαρος δεύτερον φλεγμονῇ καὶ πυρετοῖσι καυσώδεσι.*" — Haec illi. Uterque interpres in diversam abit sententiam, sed hac in re secum conveniunt, quod uterque locum corruptum esse putat. Mihi locus sanus videtur et integer, nullo modo tentandus. A Petiti culpatione ut nostri verba defendam, dico minime mirum esse Aretaeum hiemis mentionem facere nullam. Praecedunt enim verba: *ὥρη δὲ φέρει ὑγρὴ καὶ θερμή· τοιόνδε τὸ ὑγρὸν καὶ θερμὸν ἔαρ, δεύτερον τὸ θέρος, μετόπωρον ἧσσον*, quibus tandem additur *χειμὼν δὲ ἥκιστα.* Iam vero in nostris pergit ad exitus morbi in perniciem, variasque eorum rationes in variis anni tempestatibus recensendas; ita ut minime illi opus fuerit de hieme verba facere, in quo ex ipsius sententia morbus *ἥκιστα* oritur. Quod refert Petitus, *χειμῶνος μάλιστα* fieri inflammationes, id verissimum est; doctus fuerit Aretaeus ab Hipp. Aph. 23. III.; sed loquitur noster de inflammationibus et febribus ardentibus non per se ortis, sed cum haemoptysi coniunctis. — Wiganus vero *οὐ* deletum cupiens fallitur et cum inflammatione *καῦσον* confundit: *καῦσος* autem morbus aestatis. Cf. Hipp. Aph. 21. III. Consentaneum omnino, Aretaeum morbum hiemalem, alterumque aestivum, vernali tribuere tempestati, quae inter utramque illam est intermedia. Maxime autem consentaneum, quum *καυσοῦ* et *φλεγμονῆς* cum sanguinis sputatione coniunctionem quamdam indicet verbis paulo superius obviis, *καυσώδεες τὸ σύμπαν*, et in propioribus loco nostro, *πολλοὶ γοῦν θνήσκουσι πλευριτικὸν τρόπον ξὺν πυρετῷ.* Id ipsum autem fere neglexisse videntur Petitus et Wiganus, nec satis animadvertisse, nostrum non de aliis morbis per se, sed de his cum illo ipso, de quo hoc capite agit, coniunctis sermonem facere. — Quod ad exitum in tabem, Hipp. Aph. 22. III. eum profecto docuit hanc auctumno esse propriam. — Tandem rationem, quare noster haemoptysin hieme minime fieri opinetur, a sola intaminata observatione pendere vix credo; puto vero huic opinioni maculam adhaerere de scholarum doctrina de laxo s. fluente et stricto. — Haec hactenus!

ἀθρόον δὲ εἰρῆσθαι.] Εἰρήσθω H, V, P, omnes.

ἀπόγνωσις τοῦ βίου.] Vulgo *ἀπογνώσι.* Wiganus: « Malim, inquit, *ἀπόγνωσις ....., δυςελπιστίη, ἀπόγνωσις τοῦ βίου* cum gradatione expressio est." — Crassus etiam *ἀπόγνωσις* legisse videtur.

ὡς ὁρῆν μὲν ἑωυτὸν σφαγῇ ἴκελον πεπονθότα.] Ne quis forte *ἴκελόν τι* requirat, videat quae monuit Stallb. ad Platonis Sympos. cap. 3. *ἄτοπόν γ', ἔφη, λέγεις.* p. 27. Cap. seq. noster: *ἐξ οὗπερ ἕλκει ἡ καρδίη οἰκεῖον, ἢ ἀξύμφορον.*

ἀλλὰ τόδε μὲν οὐ μέγα τὸ θῶυμα· θῶυμα δὲ μέγα τόδε.], Cf. Herodotum VII, 187: *ὥςτε οὐδέν μοι θῶ-*

γὰρ τῇ ἀπὸ πνεύμονος φορῇ, μούνῃ χαλεπωτάτῃ ἐούσῃ, οὐκ ἀπογιγνώσκουσι ἑωυτῶν οἱ ἄνθρωποι, κὴν ἐν τῷ ἐσχάτῳ ἔωσι. Δοκέω δὲ ἔγωγε τὴν τοῦ πνεύμονος ἀπονίην αἰτίην ἔμμεναι· πόνος γὰρ, κὴν σμικρὸς ἔῃ, θάνατον ὀῤῥωδέει, καὶ ἔστι ἐν τοῖσι πλείστοισι φοβερώτερος ἢ κακίων. ἀπονίη δὲ, καὶ ἐν τοῖσι μεγάλοισι κακοῖσι, ἀφοβίη θανάτου, καὶ ἔστι κακίων ἢ φοβερωτέρη.

ΠΕΡΙ ΣΥΓΚΟΠΗΣ

Κεφ. γ'.

Εὖ γε ὅλως ὁ ἰητρὸς, ἠδὲ ὁ δημότης, εὖγε ἐπικλήσιος τοῦδε τοῦ πάθεος. Τί μὲν γὰρ μέζον, ἢ ὠκύτερον συγκοπῆς δυνάμιος; τί δὲ οὔνομα ἕτερον εἰς ἐπίκλησιν τοῦδε τοῦ πρήγματος μᾶλλον εὔσημον; τί δὲ καρδίης ἄλλο καιριώτερον ἐς ζωὴν, ἢ ἐς θάνατον; οὐδὲ τὴν συγκοπὴν ἄπιστον τῆς καρδίης νοῦσον ἔμμεναι, ἢ αὐτῆς σῖνος τῆς ἐν αὐτέῃ τοῦ ζῆν δυνάμιος· τοσόνδε τάχος τοῦ ὀλέθρου, τοιήδε καὶ ἰδέη. Ἔστι γὰρ τὸ πάθος λύσις τῶν δεσμῶν τῆς ἐς ζωὴν δυνάμιος ἀντίξουν τῇ συστάσι τοῦ ἀνθρώπου ἐόν· τῆςδε γὰρ ἀπρὶξ λαβόμενον οὐ μεθίησι, ἀλλ' ἐς διάλυσιν τρέπει. Καὶ οὐ μέγα τὸ θῶμα· καὶ γὰρ καὶ ἕτερα πάθεα ἴδια καὶ ἐπίκαιρα τινῶν μερέων ἐστι, οἷσί περ

μα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστι τῶν· ἀλλὰ μᾶλλον, ὅκως τὰ σιτία ἀντέχρησε, θῶμά μοι, μυρίασι τοσαύτῃσι.

Cap. 3. Εὖγε ὅλως ὁ ἰητρὸς, ἠδὲ ὁ δημότης, εὖγε ἐπικλήσιος τοῦδε τοῦ πάθεος, τί μὲν γὰρ μέζον ἢ ὠκύτερον συγκοπῆς δυνάμιος.] Inter πάθεος et τί in codd. leguntur verba ὦ κύφων οὗ κακοῦ ἐστὶ οὔνομα. M. F. O. ὠκυφόνου κακοῦ ἐστὶ οὔνομα. Haec quin in corruptis illis lateant, nemo facile dubitaverit: Kühnius vero, qui in Opusc. med. et philol. vol. I. hoc et capp. tria seqq. speciminis loco edidit, iam suspicatus est, verba ista a recentiori manu adscripta perperam in textum illata esse, nec tamen ea omisit, sed lacunae signum pone πάθεος addidit. Mihi ineptum additamentum orationis veluti impetum ita restinguere visum est, ut delendum censerem; quo deleto locus sanissimus est et ridicula videtur Reiskii coniectura: Εὔβουλες ὁ ἰητρὸς ἠδὲ δημότης ἐγέλα τὴν ἐπίκλησιν τ. τ. π. — Quomodo Grammatice spectanda sint Aretaei verba, exponam: recte vidit Kühnius anacoluthon esse structuram: orditur Aretaeus, quasi scripturus sit εὖγε ὅλως ὁ ἰητρὸς, ἠδὲ ὁ δημότης ἐπεκάλεσε τόδε τὸ πάθος; verum pone δημότης iterum εὖγε inferens ab ista structura deflectit et Genitivum usurpat de re admiratione digna (cf. Matth. Gr. Gr. § 371.), quod ad orationis alacritatem augendam mirum quantum efficax. — Quod ad postrema attinet, Crassus interpretatur: «ecquid enim maius, ecquid celerius Syncopae facultate?" Wiganus: «ecquid enim Syncopes vi maius celeriusve est?" Similiter Kühnius. — Falluntur omnes: Aretaei verba Latine reddunt perinde ac si Genitivus δυνάμιος a comparativis μέζον et ὠκύτερον penderet et quasi δύναμις h. l. denotaret vim Syncopes. Falso! a comparativis istis pendet Genitivus συγκοπῆς et iungenda sunt συγκοπὴ δυνάμιος i. e. *defectio virium vitalium.* Gal. de Meth. med. XII. cap. 5.: ὅτι μὲν οὖν ἡ συγκοπὴ κατάπτωσίς ἐστιν ὀξεῖα δυνάμεως εἴρηται τοῖς πρὸ ἡμῶν. Alex. Trall. p. 697. ὥστε καὶ διὰ τοῦτο συμβαίνειν ἐπὶ πλέον συγκόπτεσθαι τὴν δύναμιν.

ἢ αὐτῆς σῖνος τῆς ἐν αὐτέῃ τοῦ ζῆν δυνάμιος] Libri scripti et editi omnes ἢ αὐτὴν σῖνος κ. τ. λ. — Pessime! iunge αὐτῆς τῆς δυνάμιος. De meo mutavi.

τοσόνδε τάχος τοῦ ὀλέθρου, τοιήδε καὶ ἰδέη.] De meo τοσόνδε scripsi; codd. et Edd. τόσον τε, quod ineptum.

καὶ γὰρ καὶ ἕτερα πάθεα ἴδια καὶ ἐπίκαιρα τινῶν μερέων ἐστὶ, οἷσί περ ἐμφύνει καὶ τουτέων ἐξάπτεται· βουβῶνες μὲν οἱ λοιμώδεες ἥπατος, ἐξ ἄλλου δὲ γίγνονται οὐδενός, νεύρων δὲ τέτανος, ἐπιληψίη δὲ κεφαλῆς.] Ad illud ἐμφύνειν, quod saepius apud nostrum obvium, quodque transitiva notione apud Hesychium occurrit, semper varr. lectt. adponam, ut me peritiores num forte alia forma substituenda sit, diiudicare possint; admisit certe L. Dind. in nova Thesauri Edit. voce ἐμφύω. — Et vero quemadmodum δύω, δύνω ita φύω, φύνω, ni fallor, constare potest. — Hoc quidem loco: παρεμφύνῃ H. A. Pe. *f.* παρεμφύνει Pa. *c.* παρεμφύει Pb. παρεμφύῃ G. v. l. περ ἐμφύησι F. — Porro vulgo pone ἥπατος inferuntur verba καὶ σφόδρα κακοήθεες, quae delevi. Nimirum puto ad λοιμώδεες adscriptam fuisse glossam ἤγουν σφόδρα κακοήθεες, eamque sive ἤγουν, sive ἢ in καί mutato, in textum irrepsisse. Verum de alia re iam videndum. Wiganus: «ἥπατος inquit, pro ἥβης falso hic scriptum suspicor. Ita parum enim proprii iecori bubones pestilentes, ut huius visceris tumorem aut ulcus nusquam bubonem appellari meminerim. Inguen vero in peste perpetuo occupant. Quin et ex eo tantum, quod τοὺς βουβῶνας adeo frequenter infestent, βουβῶνες etiam hi tu-

ἐμφύνει καὶ τουτέων ἐξάπτεται· ϐουβῶνες μὲν οἱ λοιμώδεες ἥπατος, ἐξ ἄλλου δὲ γίγνονται οὐδενός· νεύρων δὲ τέτανος· ἐπιληψίη δὲ κεφαλῆς. ὧδε οὖν καὶ ἡ συγκοπὴ καρδίης ἐστὶ καὶ ζωῆς νοῦσος. Ὁκόσοι δὲ στομάχου ἡγέονται τὸ πάθος ἔμμεναι, οὕνεκα σιτίοισί τε κα οἴνῳ, μετεξετέροισι δὲ καὶ ψυχρῷ, ἡ δύναμις ἐστάθη καὶ τὸ κακὸν ἐξελάθη, οἵδε μοι δοκέουσι καὶ τὴν φρενῖτιν τριχῶν τῆς κεφαλῆς καὶ τοῦ δέρματος νοῦσον ἡγέεσθαι, οὕνεκεν κουρῇ καὶ τέγξι αὐτέων ῥηΐζουσι οἱ φρενιτικοί. Ἀλλὰ γὰρ τῆς καρδίης γειτόνημα καίριόν ἐστι ὁ στόμαχος, ἐξ οὗπερ ἕλκει ἡ καρδίη οἰκεῖον ἢ ἀξύμφορον· καὶ γὰρ καὶ διὰ πνεύμονος ἕλκει πνεῦμα ἐς ἀναπνοὴν ἡ καρδίη, ἀλλ' οὐχὶ πνεύμων ἐξ ἴσης ἀρχῆς ἀναπνέει. οὐ γὰρ ἐν τοῖσι ὀργάνοισι αἱ δυνάμιες, ἀλλ' ἔνθα ἡ ἀρχὴ ζωῆς ἦν καὶ ἰσχύος. στόμαχος δὲ οὔτε ἀρχὴ, οὔτε χωρίον ζωῆς. Βλαβήσεται δέ τις διὰ ἀτονίην αὐτέου. καὶ γὰρ καὶ τὰ καρδιοβόλα ϐρώματα οὐ τὸν στόμαχον σίνεται, ἀλλὰ δι' αὐτέου τὴν καρδίην· ἐπεὶ καὶ οἱ ἐπὶ τοῖςδε θνήσκοντες σημεῖα ἴσχουσι καρδίης πάθεος, σφυγμοὺς σμικροὺς ἀδρανέας, πάταγον τῆς καρδίης ἐπὶ πηδήσι καρτερῇ· σκοτόδινος, λειποθυμίη, νάρκη καὶ παρέσιες μελέων, ἱδρὼς ἄσχετος, πουλὺς, ψύξις ὅλου, ἀναισθησίη, ἀφωνίη. Ποῦ δὴ τὸν στόμαχον πάσχειν τάδε; ἅττα γὰρ αὐτέου ἴδια, ναυτίη, ἔμετος, ἀποσιτίη, λὺγξ, ἐρεύξιες, ὀξυρεγμίη. Ἐπὶ δὲ τοῖσι καρδιώσσουσι καὶ αἴσθησις ὀξυτέρη, ὡς ἰδεῖν καὶ ἀκοῦσαι μᾶλλον ἢ πρόσθεν, καὶ γνώμη εὐστα-

mores dicti sunt. Ita ϐούβων a Polluce describitur τὸ περὶ ϐουβῶνας οἴδημα μετὰ φλεγμονῆς. Quaenam vero partes hoc nomine appellentur, ita definit Rufus Ephes. Βουβῶνες δὲ τὰ ἔμπροσθεν τῶν μηρῶν τὰ παρὰ τὴν ἥβην." — Equidem a Wigano ita dissentio, ut locum sanissimum esse putem: age! videamus quomodo Rufus apud Aëtium et Paulum λοιμόν describat: locum ex illo (V. c. 95.) desumam: Πάντα δὲ, inquit, γένοιτο (ἂν suppleo) ἐν λοιμῷ τὰ δεινότατα καὶ οὐδὲν ἀποκρύπτεται (immo ἀποκέκριται) ὥςπερ καθ' ἕκαστον νόσημα· τὰ γὰρ πλεῖστα καὶ ποικίλα καὶ παραφροσύναι διάφοροι γίγνονται· (lego τὰ γὰρ πλεῖστα καὶ ποικίλα γίγνονται· καὶ παραφροσύναι διάφοροι·) καὶ χολῆς ἔμετοι· καὶ ὑποχονδρίων ἐντάσεις καὶ πόνοι· καὶ ἱδρῶτες πολλοί· καὶ ψύξεις ἀκρωτηρίων· καὶ διάῤῥοιαι χολώδεις, λεπταὶ, φυσώδεις· καὶ οὖρα τοῖς μὲν ὑδατώδη λεπτὰ, τοῖς δὲ χολώδη, τοῖς δὲ μέλανα, ὑποστάσεις κακὰς ἔχοντα καὶ ἐναιωρήματα κάκιστα· ἀπὸ ῥινῶν αἵματος στάξεις· καύματα ἐν θώρακι· γλῶσσαι καταπεφριγμέναι (καταπεφρυγμέναι lege)· ἀγρυπνίαι· σπασμοὶ ϐίαιοι· καὶ ἄλλα δὲ πονηρὰ ἕλκη καὶ (immo καὶ ἕλκη) ἀνθρακώδη καὶ πάνδεινα γένοιτ' ἂν ἐν λοιμῷ κατά τε τὸ ἄλλο σῶμα καὶ ἐν προςώπῳ καὶ παρισθμίοις. In hac descriptione duo me advertunt; primum sedem τῶν ἀνθράκων τῶν λοιμώδων non ἐν ἥβῃ, aut παρὰ τὴν ἥβην poni; tum vero multa symptomata enumerari, quae ab hepatis functione laesa pendent. — Redeamus ad Aretaeum; dicuntur ab illo οἱ ϐουβῶνες οἱ λοιμώδεες ἐξ ἥπατος ἐξάπτεσθαι, ἐξ ἄλλου δὲ γίγνεσθαι οὐδενός. — Wiganus et Kühnius illud ἐξάπτεσθαι interpretantur *attingere*, hinc prava locum accipiendi ratio intelligitur, ἐξάπτεσθαι h. l. est *pendere ab aliqua re, ortum debere suum alicui rei*; nempe illi interpretantur, quasi ἐφάπτεσθαι legissent. — Itaque omnia iam facile intelliguntur: ἐμφύνειν h. l. est *originem habere in aliqua parte*, ἐξάπτεσθαι *originem ducere ex aliqua parte*; Aretaeus statuit ϐουβῶνας λοιμώδεας ex iecinore, tanquam λοιμοῦ fomite, originem trahere. — Similiter Epilepsia ex capite oritur maxime, tetanus ad nervos pertinet.

ὧδε οὖν καὶ ἡ συγκοπή.] Ὧδε O. A. Pa. *b. c. e. f.* τῶδε cett.

μετεξετέροισι δὲ καὶ ψυχρῷ ἡ δύναμις ἐστάθη.] Ita O. V. A. Pa. *b. e. f.* ἐτάθη cett. — Possit quis forte ἐτάθη defendere velle verbis infra obviis ἔστι δὲ ἡ τῆς νόσου ἰδέη ἔκλυσις τοῦ τόνου τῆς φύσιος. — Mihi solum ἐστάθη ab Aretaeo profectum videtur: vidimus paulo ante Galenum syncopen vocare κατάπτωσιν τῆς δυνάμιος: itaque τῷ καταπίπτειν opponitur τὸ ἵστασθαι: id Tragici ἵστασθαι, et στῆσαι ἐς ὀρθόν dixerunt. Soph. Oed. tyr. vs. 50. στάντες τ' ἐς ὀρθὸν καὶ πεσόντες ὕστερον. — Eurip. Suppl. 1229. μόνον σύ με Ἐς ὀρθὸν ἵστη.

καὶ τὸ κακὸν ἐξελάθη.] Ἐξελάθη codd. omnes neglecto augmento, ut solent interdum Iones, forte tamen ἐξηλάθη reponere oportet.

τῆς καρδίης γειτόνημα καίριόν ἐστι ὁ στόμαχος] Cf. lib. II. de M. Chron. initium cap. 6. στόμαχος ἡδονῆς καὶ ἀηδίης ἡγεμών· καρδίης καίριον γειτόνευμα ἐς τόνον καὶ θυμόν. κ. τ. λ. — «Notanda, inquit Petitus, locutio γειτόνημα pro γείτων." Tum provocat ad Casaub. ad Athen. I. 9.

πνεῦμα ἐς ἀναπνοήν.] Ἐς unus Pb. εἰς cett.

ϐλαβήσεται δὲ τις διὰ ἀτονίην αὐτέου.] Αὐτέου de meo adieci; nam ceteroquin manca est sententia.

ἅττα γὰρ αὐτέου ἴδια, ναυτίη, ἔμετος κ. τ. λ.] In hisce γάρ habent O. Pb. δέ cett. — Quid verum sit, non distinguo: breviloquentia inest, quae sive γάρ, sive δέ sumas, facile explicatur: nam vel ἅττα γὰρ αὐτέου ἴδια πάθεα, τάδε ἐστί — ναυτίη, ἔμετος κ. τ. λ. supplebis; vel: ἅττα δὲ αὐτέου ἴδια πάθεα, οἷον ναυτίη, ἔμετος κ. τ. λ. ταῦτα πάσχει.

ὀξυρεγμίη.] Pd. *e. f.* ὀξυρευγμίη.

ἐπὶ δὲ τοῖσι καρδιώσσουσι καὶ αἴσθησις ὀξυτέρη ... καὶ γνώμη εὐσταθεστέρη καὶ ψυχὴ καθαρωτέρη.] Cett. καὶ αἰ-

θεστέρη, καὶ ψυχὴ καθαρωτέρη· καὶ τάδε οὐκ ἐς τὰ παρεόντα μοῦνον, ἀλλὰ καὶ ἐς τὰ μέλλοντα μάντιες ἀτρεκέες. Μὴ οὖν καὶ αἵδε στομάχου αἱ δυνάμιες, ἀλλὰ καρδίης, ἔνθα καὶ ἡ ψυχὴ καὶ ἡ φύσις αὐτέης, καὶ τὸ πάθος τῶν τῇδε δυνάμεων.

Ἔστι δὲ ἡ τῆς νούσου ἰδέη ἔκλυσις τοῦ τόνου τῆς φύσιος ἐπ' αἰτίῃ ψύξι καὶ ὑγρότητι· καὶ γὰρ ἄθερμοι καὶ τὰ εἴσω, καὶ τὰ ἔξω, καὶ ἄδιψοι καὶ ψυχρὸν ἀναπνέουσι, κῆν ἐκ μεγάλων καὶ καυσωδέων ἔῃ πυρετῶν, ἐξ ὧνπερ ἐξάπτεται ἡ ξυγκοπή. Εὖτε μὲν γὰρ καὶ ἔῤῥωται ἡ φύσις καὶ ἐστὶν εὔκρατος, πάντων μὲν κρατέει, πᾶσι δὲ σημαίνει, καὶ ὑγρῷ, καὶ πνεύματι, καὶ στερεοῖσι· καὶ τῇ τούτων εὐταξίῃ καὶ ξυμμετρίῃ ἐς ζωὴν διέπει τὸν ἄνθρωπον· ἢν δὲ τῆς φύσιος ὁ δεσμὸς λυθῇ, τότε γίγνεται τὸ πάθος. Κατάρχει δὲ αὐτέου καῦσος, ὅς ἐστι τοιόςδε.

ΠΕΡΙ ΚΑΥΣΩΝ.

Κεφ. δ'.

Πῦρ μὲν πάντῃ καὶ δριμὺ καὶ λεπτὸν, μάλιστα δὲ τὰ εἴσω· ἀναπνοὴ θερμὴ, ὡς ἐκ πυρός· ἠέρος ὁλκὴ μεγάλη· ψυχροῦ ἐπιθυμίη· γλώσσης ξηρότης· αὐασμὸς χειλέων

σθῆσι ὀξύτεροι.... καὶ γνώμῃ εὐσταθέστεροι καὶ ψυχῇ καθαρώτεροι. Sed quum in postremis hisce H. P. c. e. f. γνώμη εὐσταθεστέρη καὶ ψυχὴ καθαρωτέρη praebeant, malui omnia ad hunc modum efferre.

οὐκ ἐς τὰ παρεόντα μοῦνον, ἀλλὰ καὶ ἐς τὰ μέλλοντα μάντιες ἀτρεκέες.] Ἀλλά de meo interposui, monentibus hac de re etiam Wigano et Reiskio. — Kühnius addito opus esse negat: «Solet enim, inquit, in illo οὐ μόνον — ἀλλὰ καί saepe alterutrum, aut μόνον, aut ἀλλά omitti." Vellem addidisset exempla: μόνον omittitur omnino, cf. Valck. ad Phoen. p. 414.; etiam καί omittitur in peculiari quodam formulae οὐ μόνον — ἀλλά significatu. Cf. Herm. ad Vig. p. 817. Stallb. ad Symp. Plat. p. 114. De ἀλλά omisso nihil quidquam comperi, et locus noster plenam formulam omnino sibi flagitat.

ἔνθα καὶ ἡ ψυχὴ καὶ ἡ φύσις αὐτέης, καὶ τὸ πάθος τῶν τῇδε δυνάμεων.] In hisce O. αὐτέης ἐς ἣν καὶ τὸ πάθος ἢ τῶν τ. δ. — Vulgo αὐτέης ἣν εἰς ἣν καὶ τὸ πάθος ἢ Pb. ἢ ἐς ἥν. — Equidem otiosa illa et sensu cassa resecui.

ἔστι δὲ ἡ τῆς νούσου ἰδέη ἔκλυσις τοῦ τόνου τῆς φύσιος.] Vulgata lectio haec est: ἔστι δὲ ἧς (οἷς ἧς H) τῆς νόσου (νούσου O. H. V. Pf. — νοῦσος A.) ἥδε ἡ ἔκλυσις. — Hinc vera scriptura facile eruitur: ἐστὶ δὲ τῆςδε τῆς νούσου ἰδέη voluit Wiganus; minus apposite ad Codd. lectionem corruptam. Mox libri: κῆν ἐκ μεγάλων — ἐστὶ πυρετῶν. Reposui ἔῃ; subiectum esse arbitror ἡ νοῦσος, vel ἡ ξυγκοπή.

καὶ ἔῤῥωται.] Καί h. l. vulgo omittitur, additur in O. ex H.; habet etiam Pf.

πάντων μὲν κρατέει, πᾶσι δὲ σημαίνει.] Homericum hoc. — Il. I. 288.

πάντων μὲν κρατέειν ἐθέλει πάντεσσι δ' ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν —

Homerica haec usurpantur etiam in Hymn. Orph. XVI. vs. 7: πάντων γὰρ κρατέεις μούνη, πάντεσσι τ' ἀνάσσεις. LVIII. vs. 11: πάντων γὰρ κρατέεις μούνη καὶ πᾶσιν ἀνάσσεις.

καὶ τῇ τουτέων εὐταξίῃ καὶ ξυμμετρίῃ ἐς ζωήν διέπει τὸν ἄνθρωπον.] Bern. in vita Reiskii (p. 290.) opinatur nostrum h. l. respicere sanitatis definitionem, quam ab Erasistrato profectam legimus apud Plutarch. de Plac. philosoph., V. 30: Ἐρασίστρατος, τὰς νόσους διὰ πλῆθος τροφῆς καὶ ἀπεψίας καὶ φθορᾶς· τὴν δ' εὐταξίαν καὶ αὐτάρκειαν, εἶναι ὑγείαν.

ἢν δὲ τῆς φύσιος ὁ δεσμὸς λυθῇ, τότε γίγνεται τὸ πάθος.] Ceteri ὁ δεσμὸς, τουτέστι ὁ τόνος, λυθῇ. — Ista τουτέστι ὁ τόνος locum egregie quidem illustrant, sed ab ipso Aretaeo non sunt adscripta, ita ut illa deleverim. — Interpres aliquis e superioribus ἔστι δὲ ἡ τῆς νούσου ἰδέη ἔκλυσις τοῦ τόνου τῆς φύσιος adnotationem suam hausit.

Cap. 4. πῦρ μὲν πάντῃ καὶ δριμὺ καὶ λεπτόν.] «Πῦρ, inquit Petitus, pro febre intensa passim apud Hipp. — Cur autem addat λεπτόν, non possum satis divinare, nisi λεπτόν pro acuto accipit." Equidem non solum de febre πῦρ hoc loco sumendum esse, opinor, sed de calore etiam s. igne, tanquam elemento; nam auctor manifesto alludit ad posteriorem quoque vocis significationem. Quemadmodum plura Platonica habet noster in hoc capite, ita etiam ex huius maxime sententia h. l. de igne loqui videtur. Plato in Tim, p. 255. Ed. Stallb. πρῶτον μὲν οὖν ᾗ πῦρ θερμὸν λέγομεν, ἴδωμεν ὧδε σκοποῦντες, τὴν διάκρισιν καὶ τομὴν αὐτοῦ περὶ τὸ σῶμα ἡμῶν γιγνομένην ἐννοηθέντες. ὅτι μὲν γὰρ ὀξύ τι τὸ πάθος πάντες σχεδὸν αἰσθανόμεθα· τὴν δὲ λεπτότητα τῶν πλευρῶν καὶ γωνιῶν ὀξύτητα τῶν τε μορίων σμικρότητα καὶ τῆς φορᾶς τὸ τάχος, οἷς πᾶσι σφοδρὸν ὂν καὶ τομὸν ὀξέως τὸ πρόςτυχον ἀεὶ τέμνει, λογιστέον ἀναμιμνησκομένοις τὴν τοῦ σχήματος αὐτοῦ γένεσιν, ὅτι μάλιστα ἐκείνη καὶ οὐκ ἄλλη φύσις διακρίνουσα ἡμῶν κατὰ σμικρά τε τὰ σώματα κερματίζουσα, τοῦτο ὃ νῦν θερμὸν λέγομεν, εἰκότως τὸ πάθημα καὶ τοὔνομα παρέσχε. — Aretaeus δριμύ vocavit τὸ πῦρ a ratione, qua tactum afficit; sunt etiam apud medicos veteres τὰ δριμέα omnia θερμά: λεπτόν vero dixit, tanquam elementum corpus subtiliter

καὶ δέρματος· ἐξήρανται γὰρ τά γ' ἄλλα· ἀλλὰ καὶ τὰ ἄλλα ὄργανα διψαλέα, στόμα, στόμαχος· κοιλίη τὰ πολλὰ μὲν ξηρή, ἔστι δὲ καὶ οἷσι ὑποφέρει βραχέα χολώδεα· ἄκρεα ψυχρά· οὖρα χολόβαφα κατακορέως· ἀγρυπνίη· σφυγμοὶ πυκνοὶ, σμικροὶ, ἔκλυτοι· ὀφθαλμοὶ εὐαγέες, ὑπέρυθροι· προσώπου εὐχροίη.

Ἢν δὲ ἐπὶ μᾶλλον αὔξῃ τὸ πάθος, μέζω τὰ πάντα καὶ κακίω. σφυγμοὶ σμικρότατοι καὶ πυκνότατοι· πῦρ ξηρότατον καὶ δριμύτατον· γνώμη παράφορος, πάντων ἀγνωσίη· διψώδεες· ψαῦσαι ψυχροῦ γ' ἐπιθυμίη, τοίχου, ἐσθῆτος, ἐδάφεος, ὑγροῦ· χεῖρες ψυχραὶ, θέναρα θερμότατα· ὄνυχες πελιδνοί· ἀναπνοὴ πυκινή· νοτὶς περὶ μέτωπον καὶ κληῖδας.

Ἢν δὲ ἐς ἄκρον ξηρότητος καὶ θερμασίης ἥκῃ ἡ φύσις, τὸ μὲν θερμὸν ἐς ψυχρὸν, ὁ δὲ αὐχμὸς ἐς ἐπομβρίην τρέπεται. αἱ γὰρ τῶν πρηγμάτων ἐς τὸ ἔσχατον ἐπιτάσιες ἐς τὴν ἐναντίην μεταβάλλουσι ἰδέην. Ἐπὴν ὦν λυθῇ τῆς φύσιος τὰ δεσμὰ, τότε ἱδρὼς ἄσχετος πάντῃ τοῦ σώματος· ἀναπνοὴ ψυχρή· ἀτμὸς ἀνὰ ῥῖνας πουλύς· ἄδιψοι· οὖρα

dividens et dissipans; ita ut ex ignis in corpus actione quaedam *ψυχῆς καθαρότης* et *λεπτότης* nascatur, de qua mox videbimus.

αὐασμὸς χειλέων καὶ δέρματος.] Nomen *αὐασμός* ex lib. spurio Hipp. de Humorr. desumtum est: vid. p. 122. Ed. Kühn. cf. Erot. p. 44. Foës. in Oecon. voce *αὐαίνω*. Ceterum de verbis, *ἐξήρανται* — *χολώδεα*, in hunc locum translatis mox dicetur.

ὀφθαλμοὶ εὐαγέες, ὑπέρυθροι.] Vulgo *ὀφθαλμοὶ εὐαγέες, λαμπροὶ, ὑπέρυθροι*: delevi *λαμπροί*, quippe quod glossema est *εὐαγέες* explicans. De hac voce vide Karsten ad Parmenidem p. 122. Illud *εὐαγές* s. *λαμπρόν* in oculis, cum horum rubore optime congruit et utrumque a maiori humorum ad has partes affluxu, congesto ad caput multo sanguine, pendet.

προσώπου εὐχροίη.] Wiganus *ἀχροίη* desideravit collatis locis eiusmodi, ut potius ex hoc nostro emendandi videantur et de quibus postea. Hipp. Praen. Coac. 67. *μετὰ προσώπου εὐχροίης*. Pertinet haec *προσώπου εὔχροια* ad idem Symptomatum genus, ad quod signa in oculis, de quibus vidimus.

ψαῦσαι ψυχροῦ γ' ἐπιθυμίη, τοίχου κ. τ. λ.] *ψυχροῦ γ'* Pe. *ψυχροῦ τ'* H, Pf. *ψυχροῦ* cett.

θέναρα θερμότατα.] Cf. Oecon. Hipp. in *θέναρ*.

νοτὶς περὶ μέτωπον καὶ κληῖδας.] De meo *μέτωπον* scripsi; cett. *μέτωπα*.

ὁ δὲ αὐχμὸς ἐς ἐπομβρίην τρέπεται.] Cf. Diog. Laert. IX. 1. ubi de Heraclito: *καὶ μέντοι καὶ διὰ τοῦτο περιτραπεὶς εἰς ὕδερον κατῆλθεν εἰς ἄστυ καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι.* — Locum iam laudavit Petitus; ad eandem narrationem spectant Plutarchi verba *de sanitate tuenda praec.* 23.: *Ἡράκλειτος μὲν γὰρ ὑδρωπιάσας ἐκέλευεν αὐχμὸν ἐξ ἐπομβρίας ποιῆσαι τὸν ἰατρόν.*

αἱ γὰρ τῶν πρηγμάτων ἐς τὸ ἔσχατον ἐπιτάσιες ἐς τὴν ἐναντίην μεταβάλλουσι ἰδέην.] Conferendus ad haec verba locus Platonis e Phaedone p. 69. Ed. Stallb.: *μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, … ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσαπερ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν, ἆρ' οὑτωσὶ γίγνεται πάντα, οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που, καὶ δίκαιον ἀδίκῳ καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει· τοῦτο οὖν σκεψώμεθα ἆρα ἀναγκαῖον, ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου.* Ad quem locum Olympiod.: *ὅτι … τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα, δείκνυσιν ἡ λέξις τριχόθεν κ. τ. λ.* — Sunt haec Platonica ex Heracliti doctrina statuentis *γίνεσθαι πάντα κατ' ἐναντιότητα*.

ἐπὴν ὦν λυθῇ τῆς φύσιος τὰ δεσμὰ, τότε ἱδρὼς ἄσχετος πάντῃ τοῦ σώματος.] Pone *δεσμά* libri omnes: *τόδε ἐστὶ ἡ συγκοπή.* — Animadversio sane verissima, sed quam recentior manus collato capitis superioris extremo adscripsit, ita ut eam e textu expulerim. Postremi membri verba hoc ordine habent V. A. *ἱ. π. τ. σ. ἄσχ.* — Pa. *b. ἱ. τ. σ. π. ἄσχ.* — Ad haec Petitus: ob virium, inquit, resolutionem, *δι' ἔκλυσιν σωμάτων* Hipp. Progn." — Recte quod ad rem ipsam attinet, sed insititia videntur verba Prognostici, qua de re alio loco.

ἀναπνοὴ ψυχρή· ἀτμὸς ἀνὰ ῥῖνας πουλύς· ἄδιψοι· οὖρα λεπτὰ ὑδατώδεα· πουλὺς πλάδος· διαῤῥέει δὲ καὶ τὰ ὀστέα λυόμενα καὶ ἀπὸ πάντων ὡς ἐν ποταμῷ ἐς τὰ ἔξω ἡ φορή.] Describam codicum lectionem: *ἀναπνοὴ ψυχρὴ, ἀτμὸς ἀνὰ ῥῖνας πουλύς· ἄδιψοι· ἐξήρανται γὰρ τά γ' ἄλλα, ἀλλὰ καὶ τὰ ἄλλα διψαλέα ὄργανα, στόμα, στόμαχος· οὖρα λεπτὰ ὑδατώδεα· κοιλίη τὰ πολλὰ μὲν ξηρὴ, ἔστι δὲ καὶ* (*καί* om. O. Pa. *b. d. e. f.*) *οἷσι ὑποφέρει βραχέα χολώδεα· πουλὺς πλάδος· διαῤῥέει κ. τ. λ.* — Videamus, num re vera ita scribere potuerit Aretaeus. Paulo ante dixit *τὸ μὲν θερμὸν ἐς ψυχρὸν, τὸν δὲ αὐχμὸν ἐς ἐπομβρίην τρέπεσθαι*, et capite superiori etiam dixit *συγκοπῆς* speciem esse *ἔκλυσιν τοῦ τόνου τῆς φύσιος ἐπ' αἰτίῃ ψύξι καὶ ὑγρότητι*, et descripsit aegros, tanquam *ἀθέρμους καὶ τὰ εἴσω καὶ τὰ ἔξω καὶ ἀδίψους*, et *ψυχρὸν ἀναπνέοντας*. — Quomodo igitur cum his quadrant verba *ἐξήρανται γὰρ τά γ' ἄλλα, ἀλλὰ καὶ τὰ ἄλλα διψαλέα ὄργανα, στόμα, στόμαχος*? *διψαλέα .. στόμα καὶ στόμαχος* et tamen aegri *ἄδιψοι*? Quis, quaeso, credat haec scripsisse Aretaeum? Quid porro? *κοιλίη τὰ πολλὰ μὲν ξηρὴ, ἔστι δὲ καὶ οἷσι ὑποφέρει βραχέα χολώδεα*, et simul *πουλὺς πλάδος*, et simul *διαῤῥέει καὶ τὰ ὀστέα λυόμενα καὶ ἀπὸ πάντων ὡς ἐν ποταμῷ ἐς τὰ ἔξω ἡ φορή*! Vide quam haec inter se pugnent. — Ego igitur repugnantia ista supra retuli ad locum, unde huc migrasse mihi videbantur. Reliqua vero interpretabor. — Quod attinet ad *ἀναπνοὴ ψυχρὴ, ἀτμὸς ἀνὰ ῥῖνας πουλύς*, mitto Petiti correctiones scilicet loci sani: verum adposuit locos Hipp. seqq.: e Progn.: ψυ-

λεπτὰ, ὑδατώδεα· πουλὺς πλάδος· διαῤῥέει δὲ καὶ τὰ ὀστέα λυόμενα, καὶ ἀπὸ πάντων, ὡς ἐν ποταμῷ, ἐς τὰ ἔξω ἡ φορή. Ψυχῆς κατάστασις· αἴσθησις σύμπασα καθαρή· διάνοια λεπτή· γνώμη μαντική· προγιγνώσκουσι μὲν οὖν πρώτιστα μὲν ὡυτέοισι τοῦ βίου τὴν μεταλλαγήν· ἔπειτα τοῖσι παρεοῦσι προλέγουσι τὰ αὖθις ἐσόμενα. οἱ δὲ αὐτέους μὲν ἔσθ' ὅτε καὶ ἀλλοφάσσειν δοκέουσι, τῇ ἀποβάσι δὲ τῶν εἰρημένων θωυμάζουσι ὤνθρωποι. Μετεξέτεροι δὲ καὶ προςλαλέουσι τῶν κατοιχομένων τισὶ, τάχα μὲν παρεόντας ὁρεῦντες αὐτοὶ μοῦνοι ὑπὸ λεπτῆς καὶ καθαρῆς αἰσθήσιος, τάχα δ' αὐτῶν τῆς ψυχῆς προγιγνωσκούσης καὶ διηγευμένης τοὺς ἄνδρας, οἷσι ξυνέσονται. Πρόσθεν μὲν γὰρ ἐν ἰλύϊ ἔην καὶ ζόφῳ· ἐπεὶ δὲ τάδε ἐξήντλησε ἡ νοῦσος καὶ ἀπὸ τῶν ὀφθαλμῶν τὴν ἀχλὺν ἔλεν, ὁρέουσί τε τὰ ἐν τῷ ἠέρι καὶ γυμνῇ τῇ ψυχῇ γίγνονται μάντιες ἀτρεκέες. οἱ δὲ ἐς τοσόνδε λεπτότητος ὑγρῶν καὶ τῆς γνώμης ἀφιγμένοι οὐ μάλα τι περιγίγνονται, ἐξηερωμένης ἤδη τῆς ζωτικῆς δυνάμιος.

ΠΕΡΙ ΧΟΛΕΡΗΣ

Κεφ. ε'.

Ἡ χολέρη παλίνορσος ἐστι φορὴ τῆς ὕλης, τῆς ἐν τῷ παντὶ, ἐς τὸν στόμαχον καὶ

χρὸν δὲ ἀναπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίνεται; et qui maxime advertit Aph. 27, Sect. 4. Ep. VI.: σημεῖα θανατώδεα ἀνὰ δέρμα, ῥῖνα θερμὸς ἀτμός· πρότερον δὲ ῥὶς ψυχρὸν πνεῦμα ἀφίησιν. — Οὖρα λεπτὰ ὑδατώδεα opponuntur τοῖς χολοβάφοις κατακορέως, de quibus in primo morbi stadio est locutus. — Πουλὺς πλάδος dictio est Hippocratica. Epid. I. Sect. 2. ἱδρῶτες· πᾶσι πάντοθεν πουλὺς ὁ πλάδος. — Forte Aretaeus, qui Heraclitea plura in hoc capite attingit etiam τὴν φορὴν ἐς τὰ ἔξω ἀπὸ πάντων, ὡς ἐν ποταμῷ hausit ex Heracliteo ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην, licet minime id urgeam. — Haec hactenus!

ψυχῆς κατάστασις.] Video Kühnium haec verba uncis inclusisse et glossema referre esse opinatum. Me iudice falsus est: Aretaeus supra γνώμην παράφορον dixit, sub finem vitae in aegris ψυχῆς κατάστασιν fieri dicit, i. e. mentem ad constantiam redire. Kühnius verosimiliter credidit ψυχῆς κατάστασιν significare *animae conditionem s. statum* et inscriptionem esse e margine in textum illatam. Κατάστασις h. l. est καθίδρυσις. In Prorrh. I. autem Hipp.: αἱ τρομώδεες γλῶσσαι σημεῖον οὐχ ἱδρυμένης γνώμης.

αἴσθησις σύμπασα καθαρή· διάνοια λεπτή· γνώμη μαντική.] Ad primum illud cf. verba e cap. de cur. Apoplexiae: αἰσθήσιος δὲ καὶ κεφαλῆς καὶ νεύρων καθαρτήριον, ἡ ἱερή. — Vid. lib. spurius περὶ διαίτης β', p. 699, Kühnio: κενουμένης δὲ τῆς κεφαλῆς ἀποκαθαίρεται ἥ τε ὄψις καὶ ἡ ἀκοὴ καὶ γίνονται εὐαγέες οἱ ἄνθρωποι. Potissimum tamen eam αἰσθήσεως καθαρότητα spectare videtur Aretaeus, quae pendeat ab anima per se et vix amplius corporis auxilio et vidente et audiente, quorsum spectant haec Platonis in Phaedone p. 50. Ed. Stallb. τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν, πότερον ἐμπόδιον τὸ σῶμα, ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε λέγω· ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις, ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδὲν, οὔτε ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι μηδὲ σαφεῖς σχολῇ αἵ γε ἄλλαι κ. τ. λ. — Lege integrum illum locum. — Ad illud διάνοια λεπτή· cf. Aristophanis locum Nub. 229: καὶ τὴν φροντίδα λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα. — Ad postrema autem peropportune Petitus adposuit locum Ciceronis de Divinatione I. 30. «Viget autem et vivit animus," cett. — Socr. apud Plat. in Phaedro p. 242. C. ὡς δή τοι, ὦ ἑταῖρε, μαντικόν γέ τι καὶ ἡ ψυχή.

τάχα δ' αὐτῶν τῆς ψυχῆς προγιγνωσκούσης κ. τ. λ.] In his cett. αὐτοῦ. — Certissimam recepi Petiti emendationem.

πρόσθεν μὲν γὰρ ἐν ἰλύϊ ἔην καὶ ζόφῳ.] Homericis ἰλύϊ et ζόφῳ utitur. — Legebatur antea ἐν ἰλύϊ, τοῖσι ὑγροῖσι ἔην καὶ ζόφῳ. Bernardus et Kühnius dudum viderunt τοῖσι ὑγροῖσι glossema esse; itaque expunxi. Ceterum licet Homericas dictiones Aretaeus usurpet, illustrantur haec Platonicis hisce· in Phaedone p. 65. Ed. Stallb. ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται ἐν βορβόρῳ κείσεται. Cf. de Rep. II. p. 110. et VII. p. 146. et quae ad singulos locos adnotantur.

ἐξήντλησε.] Poëtice omnino noster τὴν νοῦσον ἐξαντλεῖν τὴν ἰλὺν dicit.

καὶ ἀπὸ τῶν ὀφθαλμῶν τὴν ἀχλὺν ἔλεν.] Iam Petitus adscripsit ex Il. V. 127.

ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν.

Cf. XV. 668.

τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον.

Animadverte, quam noster in versus Homerici imitatione ἔλεν scribat, augmentum negligens.

ὁρέουσί τε τὰ ἐν τῷ ἠέρι.] Ὁρέουσι recte F. ὁρέουσι cett. — τά τε ceteri; de meo voculas transposui. — Seqq. adponit Petitus: «Aristot. de mundo: Διὸ καὶ τῶν

τὴν κοιλίην καὶ τὰ ἔντερα· ὀξύτατον κακόν. Διεκθέει δὲ ὕπερθεν μὲν ἐς ἔμετον τὰ ἐν τῷ στομάχῳ ἀλιζόμενα. διὰ δὲ τῆς κάτω διεξόδου τὰ ἐν τῇ κοιλίῃ καὶ τοῖς ἐντέροις ὑγρά. Ἰδέην δὲ τὰ πρῶτα μὲν ὑδατώδεα, τὰ δι' ἐμέτου· τὰ δὲ δι' ἕδρης, κόπρανα ὑγρὰ, δυςώδεα. ἀπεψίαι γὰρ ξυνεχέες αἱ τῆςδε προφάσιες. ἢν δὲ τάδε ἀποκλυσθῇ, φλεγματώδεα, ἔπειτα χολώδεα. Τὰ πρῶτα μὲν ῥηϊδίως, ἀπόνως· ἔπειτα δὲ ξὺν ἐντάσεσι μὲν ὁ στόμαχος, γαστὴρ δὲ μετὰ στρόφων.

Ἢν δὲ ἐς τὸ κακὸν ἐπιδιδῷ, στρόφοι μέζονες, λειποθυμίη, ἔκλυσις μελέων, ἀπορίη, ἀποσιτίη· ἢν δὲ καί τι προςενέγκωνται, πολλῷ ῥοίζῳ ξὺν ναυτίῃ ἐς ἔμετον διεκθέει χολὴ ξανθὴ κατακορέως, καὶ τὰ διαχωρήματα ὁμοῖα. σπασμοί· ξυνολκαὶ μυῶν τῶν ἐν τῇ κνήμῃ καὶ βραχιόνων· δάκτυλοι καμπύλοι· σκοτόδινος· λύγξ· ὄνυχες πελιδνοί· κατάψυξις, ἄκρεα ψυχρὰ καὶ τὸ ὅλον ῥιγώδεες· ἀτὰρ ἱδροῖ ὤνθρωπος.

Ἢν δὲ ἐς τελευτὴν ἥκῃ τὸ κακὸν, χολὴ μέλαινα ἄνω καὶ κάτω· οὖρα σχεθεῖσα κύστις ὑπὸ σπασμοῦ· ἀλλ' οὐδὲ οὖρον ἀλίζεται ὑπὸ τῆς ἐς τὸ ἔντερον τῶν ὑγρῶν μετοχετεύσεως· ἀφωνίη· σφυγμοὶ σμικρότατοι καὶ πυκνότατοι, ὁκόσοι ἐπὶ ξυγκοπῇ·

παλαιῶν εἰπεῖν τινες προήχθησαν, ὅτι ταῦτά ἐστι πάντα θεῶν πλέα τε καὶ δι' ὀφθαλμῶν ἰνδαλλόμενα ἡμῖν καὶ δι' ἀκοῆς καὶ τῆς πάσης αἰσθήσιος. — Eiusdem sententiae fuit Pythagoras, Diog. L. VIII. 34. εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων. Posid. apud Cic. l. l. « Plenus est aër immortalium animorum, in quibus tanquam insignitae notae veritatis adpareant." — Heraclitum etiam adnotat Diog., credidisse πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη.

ἐξνερωμένης ἤδη τῆς ζωτικῆς δυνάμιος] Illud ἐξαεροῦσθαι idem fere valet, quod de anima Plato dicit, (Phaed. p. 66. Stallb.) nonnullos vereri ne in mortis articulo διαφθείρηταί τε καὶ ἀπολλύηται, et ne εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος καὶ ἐκβαίνουσα ὥςπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα οἴχηται διαπτομένη καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ.

Cap. 5. ὀξύτατον κακόν.] Alex. Trall. VII. 14. orationem de hoc morbo his verbis incipit: ὅτι μὲν ἡ χολέρα τῶν ὀξυτάτων ἐστι παθῶν καὶ συγκοπὴν ἀξίαν ἐπιφέρουσα καὶ κατάλυσιν ἄμετρον τῆς δυνάμεως, ἅπασιν ὡμολόγηται.

ἀλιζόμενα.] Ita Pa. e. ἁλιζόμενα cett.

ἀπεψίαι γὰρ ξυνεχέες αἱ τῆςδε προφάσιες.] ἀπεψίαι O. H. V. A. Pa. b. c. e. f. ἀπέψιες cett. — Plures causas enumerat Alex. l. l.: γίνεται δὲ, inquit, οὐ μόνον μιᾶς χάριν αἰτίας, ἀλλὰ πολλῶν ἕνεκα· καὶ γὰρ διὰ πλείονα τροφὴν προςενεχθεῖσαν καὶ τῷ μὴ δυνηθῆναι πεφθῆναι διαφθαρεῖσαν καὶ διὰ ποιότητα δὲ μοχθηρῶν χυμῶν, ἢ ἐδεσμάτων, ἢ πομάτων καὶ μάλιστα τῶν κακούντων τὸν στόμαχον... γίνεται δὲ καὶ διὰ πλῆθος χολῆς ἄνω ἢ κάτω πρὸς ἔκκρισιν ἐρεθιζούσης τὴν φύσιν καὶ διά τινας ψυχούσας προςφορὰς, οἷον ἐπιθεμάτων τινῶν ψυχρῶν ἢ ὑδάτων κατάχρησιν πιόντων, ἢ νηξαμένων ἐπὶ πολύ. Ex Aretaei verbis emendandum censeo Paulum, qui III. 39: ἡ χολέρα, inquit τῆς γαστρὸς ἐστὶν ἄμετρος ἐκτάραξις, κάτωθέν τε καὶ δι' ἐμέτων γινομένη διὰ προςεχῆ τῶν σιτίων ἀπεψίαν. Pro προςεχῆ legendum videtur συνεχῆ.

τὰ πρῶτα μὲν ῥηϊδίως, ἀπόνως.] In libris scriptis et editis τὰ πρῶτα μέρη ῥηϊδίως ἄπονος. — Petitus: «scribe, inquit, τὰ πρῶτα μέν." Cum eo consentit Reiskius. Corruptelae ratio in aprico est: e μέν cum prima syllaba sequentis ῥηϊδίως coniuncto μέρη natum est. Wiganus minus feliciter haec tentavit: « malim, ita hic, legere φέρει, vel ἔχει; quid enim μέρη hic significet?" Tum pergit: « postea vero pro ῥηϊδίως ἄπονος malim ῥηϊδίως τε καὶ ἀπόνως, ut apud Hipp. (Praen. 45. 19.) ἢν ῥηϊδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ." Goup. coniecit ῥηϊδίως ἀπόνως, quae facillima eaque verissima emendatio: verbum quale διεκθέει subintellige, et ad sequens ξὺν ἐντάσεσι μὲν ὁ στόμαχος, γαστὴρ δὲ μετὰ στρόφων subintellige ταῦτα ἐκβάλλει, vel eiusmodi quid.

ἢν δὲ ἐς τὸ κακὸν ἐπιδιδῷ, στρόφοι μέζονες.] Libri scripti et editi καὶ στρόφοι μέζονες, particulam abundantem delevi.

σκοτόδινος.] σκοτόδινοι cett.: de meo mutavi.

κατάψυξις, ἄκρεα ψυχρὰ καὶ τὸ ὅλον ῥιγώδεες, ἀτὰρ ἱδροῖ ὤνθρωπος· ἢν δὲ ἐς τελευτὴν ἥκῃ τὸ κακὸν, χολὴ μέλαινα ἄνω καὶ κάτω.] — In hisce de meo transposui verba ἀτάρ ἱδροῖ ὤνθρωπος (Pa. b. ὁ ἄνθρ.), quae in libris ceteris inter τὸ κακόν et χολὴ μέλαινα interponuntur. Isto loco ferri non possunt, sed perturbant sententiam. Est autem antithesis in verbis κατάψυξις, ἄκρεα ψυχρὰ καὶ τὸ ὅλον ῥιγώδεες et illud ἀτὰρ ἱδροῖ ὤνθρωπος, ita ut h. l. ἀτάρ egregie quadret: spectatur sudor frigidus a cutis paralysi. — Frigus et sudor in malo provectiori copulantur etiam ab Aëtio, qui in huius morbi descriptione multa habet cum hocce Aretaei capite et illo, quod de morbi curatione agit, convenientia: « At vero, inquit, ubi intolerabilis effusio existat et pulsus emolliatur, apprehendatque frigiditas et exsudatio, aliquando etiam singultus, ad vinum transeundum est." Graeco codice deficiente haec Latine citanda fuerunt.

οὖρα σχεθεῖσα κύστις ὑπὸ σπασμοῦ]. Ita G. Hen. οὖρα σχεθέντα κύστει O. V. A. Pa. b. οὖρα ὁμοῖα, ἢν ἡ κύστις σχεθῇ H. — In superior illa lect. ad σχεθέντα Pc. in marg. σχεθῇ, quod ferunt Pe. f. Equidem nullus dubito, quin vulgata sola veram loci scripturam referat. — Forte Wiganus de ea deflexit, quod eam non intelligeret: σχεθεῖσα non passivo, sed transitivo sensu sumendum, est, quo facto aptissime h. l. dicitur οὖρα σχεθεῖσα κύστις ὑπὸ σπασμοῦ. quasi οὖρα κατέχουσα κύστις ὑπὸ σπασμοῦ. — Ceterae lectt. corruptae partim, partim recentiorum emendationibus scilicet deberi videntur.

ἀλλ' οὐδὲ οὖρον ἀλίζεται.] Ἀλιζεται, cett.

ἐντάσιες ἐμέτου ξυνεχέες, κενεαί· προθυμίαι τεινεσμώδεες, ἄχυλοι. Θάνατος ἐπώδυνος καὶ οἴκτιστος, σπασμῷ καὶ πνιγὶ, καὶ ἐμέτῳ κενῷ.

Φέρει μὲν τὸ πάθος, ὥρη μὲν, θέρος· δεύτερον δὲ, φθινόπωρον· ἦρ, ἧσσον· χειμὼν, ἥκιστα. Ἡλικίαι δὲ, αἱ τῶν νέων καὶ ἀκμαζόντων· γῆρας, ἥκιστα· παιδία δὲ, τουτέων μᾶλλον, ἀλλ' οὐ θανατώδεα.

ΠΕΡΙ ΕΙΛΕΟΥ.

Κεφ. ς'.

Ἐντέροισι γίγνεται μὲν φλεγμονὴ, ὀδύνην ὀλεθρίην ἐμποιοῦσα. θνήσκουσι γὰρ μυρίοι στρόφοισι καρτεροῖσι. Ἐγγίγνεται δὲ καὶ πνεῦμα ψυχρὸν, ἀργὸν, οὔτε κάτω περῆσαι ῥηΐδιον, οὔτε ἄνω ἀνελθέμεναι· μίμνει δὲ ἐπιπολὺ ἑλισσόμενον ἐν ὀλίγησι τῶν ἄνω ἑλίξεσι. τοὔνεκα μὲν καὶ τὸ πάθος ἐπίκλησιν ἔσχε εἰλεόν. Κῆν πρὸς τοῖς στρόφοις δὲ καὶ πίεσις καὶ μάλθαξις τῶν ἐντέρων ἔῃ, καὶ πουλὺ τὸ ὑπογάστριον ὑπερίσχῃ, χορδαψὸς τῷ τοιούτῳ ἐστὶ οὔνομα. δέψησις μὲν γὰρ ἡ μάλθαξις· χορδὴ δὲ

προθυμίαι τεινεσμώδεες ἄχυλοι.] Ξηραὶ, ἄχυλοι cett. Equidem ξηραί, quod glossema est, quo quis ἄχυλοι interpretatus fuerit, delevi.

ὥρη μὲν, θέρος.] Sic O. H. V. A. Pb. *c. e. f.* θέρεος cett.

Cap. 6. *Ἐντέροισι γίγνεται μὲν φλεγμονή.*] Inflammationem, nec tamen solam hanc, Ilei causam habuisse veteres, docet Gal. de locis aff. VI. 2: *εὔλογον οὖν ἔδοξε τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἤτοι διὰ φλεγμονὴν, ἢ ἔμφραξιν κόπρου ξηρᾶς τὰ τοιαῦτα γίγνεσθαι πάθη τῶν λεπτῶν ἐντέρων.* Paulus etiam III. 44. morbum fieri dicit *ἐπὶ φλεγμονῇ τῶν ἐντέρων, ὡς τὰ πολλὰ κωλικῆς ὑπαρξαμένης διαθέσεως.*

πνεῦμα ψυχρὸν, ἀργὸν κ. τ. λ.] Adtulit ad h. l. Wiganus et repetiit Kühnius locum ex Hipp. de flatibus (p. 298. 40.) Foësio, qui quidem ad nostri verba explicanda confert, sed ab Aretaei tamen mente distat: auctor enim libri de flatibus uni spiritui, solis *φύσαις*. tribuit *εἰλεῶν, εἰλημάτων, στρόφων* causam: *πάντων γὰρ*, inquit, *τῶν τοιούτων αἰτίη τοῦ πνεύματος ἡ διόδευσις.* Noster vero originem agnoscit multifariam et unam hanc *ἐκ πνεύματος ψυχροῦ ἀργοῦ.* Est autem haec sententia, quam reiicit Gal. de l. aff. p. 387. Kühnio: nempe intestinorum tenuium structura non satis densa illi videbatur, ut flatus iis continerentur; *οὐ γάρ*, inquit, *ὥσπερ ἐπὶ τῶν ἐν νεφροῖς καὶ οὐρητῆρσι λίθων ἐσφηνωμένων ἀλγήματα γίγνεται σφοδρὰ κατὰ τὴν δίοδον, οὕτω κἀπὶ τῶν λεπτῶν ἐντέρων εὐλόγως ἄν τις ὑπολάβοι τὰ περιεχόμενα πνεύματα ψυχρὰ καὶ χυμοὺς ὁμοίους αὐτοῖς ἐργάζεσθαι τὴν ὀδύνην· ἡ γὰρ τοῦ σώματος οὐσία τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις χιτώνων ἀραιά τέ τις οὖσα καὶ λεπτὴ κατέχειν ἐπὶ πλέον οὐ δύναται τὰ τοιαῦτα τῶν αἰτίων.* Nec vero dein, quam Aretaeus Ilei causam ponit, agnoscit: sed inflammationem et obstructionem.

τοὔνεκα μὲν καὶ τὸ πάθος ἐπίκλησιν ἔσχε εἰλεόν.] *Τοὔνεκα μὲν καί* habet Pb. *τοὔνεκεν καί.* Pc. *e.* *τοὔνεκε καί* cett. — Ad rem ipsam quod attinet, Coel. Aurel. Acut. m. III. 17. «Tormentum dictum est, quod existiment aegrotantes convolvi atque torqueri suorum intestinorum verticula, vel quod spiritus ob abstinentiam clausus sese involvens, vinctiones, atque tormenta efficiat; vel quod vehementia dolorum supra eas partes, quae patiuntur, aegrotantes arcuati convolutique plicentur.” Nomen ab *εἰλέω* ductum esse certissimum est. cf. Foës. Oecon. in *εἰλεός*.

κῆν πρὸς τοῖς στρόφοις δὲ καὶ πίεσις καὶ μάλθαξις τῶν ἐντέρων ἔῃ καὶ πουλὺ τὸ ὑπογάστριον ὑπερίσχῃ, χορδαψὸς τῷ τοιούτῳ ἐστι οὔνομα· δέψησις μὲν γὰρ ἡ μάλθαξις· χορδὴ δὲ ἐντέρων ἐπώνυμον.] In his *τῷ τοιούτῳ*, i. e. *τῷ τοιούτῳ πάθεϊ*, de meo dedi e codd. lectione *τὸ τοιοῦτον*, quippe nominativus constare nequit. — Jam vero libri editi et scripti omnes *οὔνομα δ' ἔψησις*, excepta Ed. Oxon. quae Cod. H. duce *οὔνομα' ἔψησις*, — Cod. A, *δὲ ἔψησις.* Ego e longe plurimorum librorum lectione *δ ἔψησις*, unam vocem *δέψησις* effeci a *δεψέω subigo*, quo facto omnia haec multo melius intelliguntur; *δέψησις* enim *μάλθαξις* est, quae *πιέσει* perficitur, patetque Aretaeum *χορδαψός* nomen duxisse a *χορδή* et *δεψέω*, quasi esset *χορδῶν δέψησις.* — Iam vero concidit etiam Petiti emendatio: initio pro *πίεσις* legere iubentis *ἔψησις.* Verum de nomine *χορδαψός* et quid significet, paucis videamus; Galenus l. l. *καὶ καλοῦσί τινες*, inquit, *αὐτὸ εἰλεὸν καθάπερ ἕτεροι χορδαψὸν, ὅταν ἐξέχῃ τις ὄγκος ἐν τῇ χώρᾳ τῶν λεπτῶν ἐντέρων, ὡς δοκεῖν οἷον χορδήν τινα περιεστράφθαι τὸ ἔντερον.* — Aëtius: «in eo autem volvuli genere, quod chordapsum appellari diximus, in quo in uno loco dolor innititur, ut admota manu durities et tumor tactui succumbat, circa tenuia videlicet intestina, subitum periculum instat, ut plurimum tertiam aut quartam horam non excedens.” Patet ex his locis quid sibi velint nostri verba *καὶ πουλὺ τὸ ὑπογάστριον ὑπερίσχῃ*: patet ratio, quare a verbo *δεψεῖν* et hinc orto *δέψησις* nomen duceret: nam quemadmodum materies *δεψουμένη*, alio loco premitur, alio iuxta pressionem exsurgit, ita venter alio loco in hoc morbo intro recessit, alio in tumorem sublatus est. — Nec tamen probanda haec ratio; malim

ἐντέρων ἐπώνυμον· καὶ γὰρ καὶ ἐπιχορδίδα ἐκίκλησκον οἱ πρόσθεν τά τε μεσηγὺ νεῦρα καὶ ἀγγεῖα καὶ τοὺς ὑμένας τοὺς ἀνοχῆας τῶν ἐντέρων.

Αἰτίη τοῦ εἰλεοῦ συνεχὴς μὲν διαφθορὴ σιτίων πολλῶν τε καὶ ποικίλων καὶ οὐ ξυνηθέων, καὶ ἄλλη ἐπ' ἄλλῃ ἀπεψίη, μάλιστα δ' ἐπὶ τοῖσι ἐλαιώδεσι, ὁκοῖόν τι μέλαν σηπίης. Οὐκ ἀδόκητος δὲ οὐδὲ πληγὴ, ἢ ψύξις, ἢ ψυχροποσίη ἐφ' ἱδρῶτι ἄδην ἢ χανδόν. Καὶ οἷσι δὲ ἔντερον ἐς τὸν ὄσχεον ξὺν κόπρῳ κατέβη καὶ οὐκ ἀνώσθη ἐς τὴν κοιλίην, ἀλλ' ἀνελήφθη βίῃ, τουτέοισι ἔθος ἐπιφλεγμαίνειν τὰ κάτω ἔντερα. Ξύνηθες δὲ τὸ πάθος παιδίοισι, οἷσί περ ἂν καὶ ἀπεψίη· καὶ τὸ βλάβος διαδιδρήσκουσι μᾶλλον διά τε τὸ ἔθος καὶ τὴν ὑγρότητα τῶν ἐντέρων, ὀλισθηρὰ γάρ. γέροντες δὲ οὐ μάλα μὲν πάσχουσι, περιγίγνονται δὲ ἥκιστα. Ὥρη θέρεος τίκτει μᾶλλον ἦρος, φθινόπωρον δὲ χειμῶνος, ἀμφοῖν δὲ ἐπὶ μᾶλλον θέρος.

Πολλοὶ μὲν οὖν ἐπὶ τοῖσι στρόφοισι θνήσκουσι αὐτίκα. μετεξετέροισι δὲ καὶ πῦον

χορδαψός a χορδή et ἅπτεσθαι ducere, quum sit morbus, qui τῆς χορδῆς s. τῶν χορδῶν ἅπτεται, cf. Hippocraticum φρενῶν ἅψις. Vide ceterum Foës. in Oecon. in voce. Recentissimis temporibus χορδαψός vulgare nomen fuisse videtur, εἰλεός apud medicos usitatum: nam Theoph. Nonnus II. p. 52. καλοῦσι δέ, inquit, αὐτὸ οἱ ἰδιῶται χορδαψόν. Itidem Leo. p. 179.

καὶ γὰρ καὶ ἐπιχορδίδα ἐκίκλησκον οἱ πρόσθεν τά τε μεσηγὺ νεῦρα καὶ ἀγγεῖα καὶ τοὺς ὑμένας τοὺς ἀνοχῆας τῶν ἐντέρων.] Καὶ γὰρ ἐπιχ. Pa. b. τά τε H. τε om. cett. — Καὶ τὰ ἀγγεῖα cett., articulum de meo omisi, ut νεῦρα et ἀγγεῖα arcte cohaererent. Sed praeterea haec omnia in ceteris libris cum scriptis tum editis ineptissimo additamento obsessa fuere: nempe legebatur ἐπιχορδίδα τὸ μεσεντέριον ἐκίκλησκον οἱ πρόσθεν τά τε μεσηγὺ κ. τ. λ. Ultro patet τὸ μεσεντέριον glossema esse: nam aut ἐπιχορδίδα ἐκίκλησκον οἱ πρόσθεν τὸ μεσεντέριον scripsisset Aretaeus, aut quod ipse iam in textu exhibeo: utrumque enim, et nomen novum, et rei descriptionem, nemo facile simul exspectaverit. Nomen ἐπιχορδίδα aptissimum; aperto abdomine supra intestina reperies τὴν ἐπιχορδίδα, i. e. membranam τὴν ἐπὶ ταῖς χορδαῖς κειμένην. — Quod ad ἀνοχῆας attinet, id ab ἀνέχω a nostro formatum est ad eundem modum, quo simplex ὀχεύς apud Poëtam ab ἔχω: simplici aliis locis Aretaeus utitur.

μάλιστα δὲ ἐπὶ τοῖσι ἐλαιώδεσι, ὁκοῖόν τι μέλαν σηπίης.] Δὲ ἐπὶ Pb. δ' ἐπί cett. Ἐλαιώδεσι Scaligeri est emendatio codd. lectionis εἰλεώδεσι. — Tandem μέλαν dedi de coniectura pro vulgato in cett. libris μέλανι. Verum σηπίησιν V. A. P. omnes, at in c. ιν subnotatur, ut delendum esse significetur. Wiganus πιμελώδεσι desideravit ex Aëtio: non dubium tamen, quin ἐλαιώδεσι unice verum sit. — Alex. Trall. choleram deberi dicit iis etiam, quae ventriculum corrumpant, οἷός τέ ἐστιν ὁ πέπων καὶ τὰ λιπαρὰ καὶ γλυκέα καὶ ἐλαιώδη τῶν ἐδεσμάτων. Formula qualis ὁκοῖον τι μέλαν σηπίης, frequentissima nostro: I. 8. οἷόν τι λαίφεα πλατέα et οἷόν τι οὐρίαχον. Cap. 11. lib. II. ὁκοῖόν τι ζῷον ἐν ζώῳ. Cap. 2. huius libri restitui ὁκοῖόν τι σηπεδών. Cap. 1. ὁκοῖόν τι συνεληλαμένοι. Cap. 8. ὁκοῖόν τι πεπιεσμένοι. Miretur quis forsitan μέλαν σηπίης tanquam exemplum cibi oleosi recenseri; audiat Diosc. II. 28. Σηπίας ἑψηθείσης τὸ μέλαν βιβρωσκόμενον δύςπεπτον, κοιλίας μαλακτικόν. Petitus provocat ad locum ex Epid. VII. p. 1230. Foësio: τὰ χολερικὰ ἐκ κρεηφαγίης, μάλιστα δὲ χοιρείων ἐνωμοτέρων.. καὶ σηπίης καὶ καράβων τε καὶ ἀστακῶν.

οὐκ ἀδόκητος δὲ οὐδὲ πληγὴ, ἢ ψύξις, ἢ ψυχροποσίη ἐφ' ἱδρῶτι ἄδην ἢ χανδόν.] Οὐδέ ferunt V. A. Pa. b. c. e. f. O. — omittunt cett. Ἄδην ubivis reponam, et hoc quoque loco repono, pro librorum scriptura ἅδδην. Notandum ἄδην et χανδόν, licet utrumque subinde ἀθρόως exponatur, inter se differre: ἄδην est ἐς κόρον, χανδόν est ἀθρόως. — Hinc usitatissima formula χανδὸν πιεῖν: noster vero cap. de cur. acutorum morborum iecoris: κἢν ἄδην πιὸν ἐκπέσῃ τὸ θηρίον; nempe βδέλλα, quae certe sanguinem non χανδὸν πίνει.

καὶ οἷσι δὲ ἔντερον ἐς τὸν ὄσχεον ξὺν κόπρῳ κατέβη καὶ οὐκ ἀνώσθη ἐς τὴν κοιλίην, ἀλλ' ἀνελήφθη βίῃ, τουτέοισι ἔθος ἐπιφλεγμαίνειν τὰ κάτω ἔντερα.] Wiganus: «legendum, inquit, ἀνεθλίφθη, *quibus intestinum in ventrem non retrusum, sed violenter collisum est.* Aëtius enim haec ita exprimit: συμβαίνει δὲ καὶ οἷς ἔντερον εἰς τὸν ὄσχεον σὺν τῇ κόπρῳ κατέβη, εἶτα ἀνεθλίβη μετὰ βίας." — Imo nihil tentandum in loco sanissimo; quid enim οὐκ ἀνώσθη... ἀλλ' ἀνεθλίφθη? — Aretaei ἀνωθέειν, idem est quod ἀναθλίβειν; utrumque repositionem herniae denotat: Paulus III. 44. sub fin. εἰ δὲ διὰ τὴν εἰς ὄσχεον τοῦ ἐντέρου κατολίσθησιν τὸ πάθος γένοιτο, σχηματίσαντες αὐτοὺς εὐθέως ἀνῳῤῥεπεῖς ἀναθλίψομεν εἰς βουβῶνα τὸ κατολισθῆσαν ἔντερον. — Itaque fere potius apud Aëtium ἀνελήφθη, reposueris, quam apud nostrum ἀνεθλίφθη, s. potius ἀνεθλίβη: et tamen Aëtii lectio constare forte potest, quandoquidem hic inflammationem spectare potuerit post rudiorem ἀνάθλιψιν. — Aretaeus vero spectat herniam incarceratam post irrita, ut reponeretur, conamina; itaque illud ἀνελήφθη egregie convenit: inepte Reiskius ἀπελήφθη coniecit: ἀναλαμβάνεται ἔντερον, cum prolapsum est et quominus in locum suum redeat sponte, aut reponatur, impeditur: ἀπολαμβάνεται, cum transitus materiae per ipsum descendentis occluditur, sicuti paulo inferius ἕδρη ἀπολελημμένη.

ξύνηθες δὲ τὸ πάθος παιδίοισι, οἷσί περ ἂν καὶ ἀπεψίη.] Ceteri ἀπεψίη ἦ. Equidem ἦ repetitioni postremarum superioribus vocabuli literarum deberi puto; itaque delevi. Mox libri: μᾶλλον δὲ διά τε τὸ ἔθος. Otiosum δέ eieci.

πολλοὶ μὲν οὖν ἐπὶ τοῖσι στρόφοισι θνήσκουσι αὐτίκα.] In Edd. antiquioribus πολλοῖσι, ad quam lect. in exem-

ἐγγίγνεται καὶ αὖθις μελανθέν τε τὸ ἔντερον καὶ διασαπὲν ἐξέπεσε καὶ οὕτως ἐξέλιπον. Ξύνεστι δὲ αὐτέοισι, ἢν μὲν ἐπιεικὴς ὁ εἰλεὸς ἔῃ, πόνος ἑλισσόμενος, στομάχου πλάδος, ἔκλυσις, μαλακίη, ἐρεύξιες κεναὶ, καὶ οὐδὲν ὠφελοῦσαι· κοιλίη ὑποβορβορίζουσα φύσῃσι· ὁδοιπορίη μέσφι ἕδρης, διέξοδοι δὲ ἀτελέες.

Ἢν δὲ ἐπίτασιν ἴσχῃ ὁ εἰλεὸς, πάντων ἄνω ἡ φορὴ, πνευμάτων, φλέγματος, χολῆς· ἐμοῦσι γοῦν τάδε. ἔξωχροι, ψυχροὶ τὸ πᾶν σκῆνος· πόνος πουλύς. ἀναπνοὴ κακή· διψαλέοι.

Ἢν δὲ καὶ θνήσκειν μέλλωσι, ἱδρὼς ψυχρός· δυσουρίη· ἕδρη ἀπολελημμένη, ὡς μηδὲ ἰσχνὸν ἔλασμα διελάσαι· κόπρων ἔμετοι· ἄφωνοι· σφυγμοὶ πρόσθεν μὲν ἀραιοὶ, σμικροὶ, πρὸ θανάτου δὲ σμικρότατοι καὶ πυκνότατοι, καὶ ἐκλείποντες. Τάδε μὲν οὖν τοῖσι λεπτοῖσι ἐντέροισι ξυμπίπτει.

Ἀτὰρ καὶ κώλῳ τὰ αὐτὰ πάθεα γίγνεται, καὶ τὰ ξυνόντα ὁμοῖα, καὶ ἡ αὐτὴ ξυμφορή. Τουτέων δὲ μετεξέτεροι διαδιδρήσκουσί κοτε, ἢν πῦον ἐγγένηται τῷ κώλῳ. αἰτίη δὲ τὸ βάθος τὸ σαρκοειδὲς τοῦ ἐντέρου. Πόνος δὲ ἰσχνὸς μὲν, ἠδὲ ὀξὺς ἐπὶ τοῖσι λεπτοῖσι ἐντέροισι, πλάτος δὲ καὶ βάρος ἴσχων ἐπὶ τῷ κώλῳ· διαΐσσει δὲ ὁ πόνος, ἄλλοτε μὲν ἐπὶ τῇσι πλευρῇσι, εὖτε φαντασίη ἐγγίγνεται πλευρίτιδος· καὶ γὰρ καὶ πυρεταίνουσι οἵδε. ἄλλοτε δὲ ὑπὸ τῇσι νόθῃσι ἔνθα ἢ ἔνθα, ὡς δοκέειν τὴν ὀδύνην ἥπατος ἢ σπληνὸς ἔμμεναι. αὖθίς κοτε ἐν τοῖσι κενεῶσι, πολλὸν γὰρ τὸ κῶλον καὶ πάντῃ ἕλικας ποιεύμενον· μετεξετέροισι δὲ καὶ ἐς τὸ ἱερὸν ὀστέον ἐρείδει καὶ ἐς μηροὺς καὶ διδύμων κρεμαστῆρας. Ἐπὶ δὲ τοῖσι κωλικοῖσι ἔμετοι πλεῦνες κενοὶ, τὰ δὲ ἐμεύμενα λεπτὰ, χολώδεα, ἐλαιοειδέα. Ἔστι δὲ ὁ ἐντεῦθεν κίνδυνος τοσόνδε ἀσινέστερος, ὁκόσον καὶ τὸ κῶλον τῶν λεπτῶν ἐντέρων σαρκοειδέστερον καὶ παχύτερον, καὶ ἀνεξικακώτερον.

plari Henischiano Acad. L. B. Scaligerus πολέες adscripsit. Cum O. πολλοί dedi; πολέες apud nostrum nusquam legi. Vulgo τούτοισι στρόφοισι. V. A. Pa. b. τοῖσι τοιούτοισι. Crassus solum τοῖσι legisse videtur, quem secutus sum.

μετεξετέροισι δὲ καὶ πῦον ἐγγίγνεται καὶ αὖθις μελανθέν τε τὸ ἔντερον καὶ διασαπὲν ἐξέπεσε καὶ οὕτως ἐξέλιπον.] In his vulgo πῦος, sed πύον praebent V. A. Pa. b. e. f. — Ceteri μελανθὲν τότε τὸ ἔντερον ἐξέπεσε: — praecedente αὖθις illud τότε abundat; non dubito quin μελανθέν τε τὸ ἔντερον noster scripserit; quippe ita arcte copulantur participia μελανθέν et διασαπέν; quemadmodum ipsa rerum natura haec ad unam eandemque partium conditionem pertinent. Librarii articulum repetentes τότε invexerunt.

ἢν μὲν ἐπιεικὴς ὁ εἰλεὸς ἔῃ.] Articulum de meo addidi. — Ceterum vulgo εἰ — εἴη, verum ἢν — ἔῃ praebent H. V. Pa. b. c. f.

ἢν δὲ ἐπίτασιν ἴσχῃ ὁ εἰλεός.] Vulgo ἢν δὲ ἐπὶ πᾶσιν ἴσχῃ ὁ εἰλεός. — Recepi simplicissimam et verissimam Petiti emendationem ἐπίτασιν: lib. seq. noster cap. 2. ἢν δ' ἐπιτείνῃ κοτε τὸ πάθος: ibid. cap. 14. ἐπὶ δὲ τάσιος σημήϊα, πυρετοί. κ. τ. λ.

πνευμάτων, φλέγματος.] H. l. φλεγμάτων V. G. v. l.: adpono, ne quis putet non merito dubitari posse, an plur. num. noster φλέγματα usurpaverit, licet saepe pluraliter apud eum sit obvium, qua de re supra monui.

ἄφωνοι.] Cett. ὤνθρωποι ἄφωνοι: quod ita est languidum, ut ὤνθρωποι delendum censuerim. Saepissime medici a morbo ad aegrotantem ipsum transire solent; h. l. vero glossa non esse nequit ὤνθρωποι.

ξυμπίπτει.] Ita de meo scripsi: cett. ξυνεμπίπτει, quod sensu cassum h. l.

ξυμφορή.] Συμφορή F. συμμορφή edd. plurimae; ξυμμορφή O. Pa. b. c. e. f.

ἢν πῦον ἐγγένηται.] Πύον V. A. Pf. πῦος cett.

πλάτος δὲ καὶ βάρος ἴσχων ἐπὶ τῷ κώλῳ.] Ceteri πλάδος: sed quid sibi velit dolor πλάδος ἴσχων, non perspicere valeo. Quodsi vero attendamus ad antithesin in superioribus, πόνος δὲ ἰσχνὸς μὲν, ἠδὲ ὀξὺς ἐπὶ τοῖσι λεπτοῖσι ἐντέροισι, et nostris hisce, palam fit τῷ ἰσχνῷ opponi τὸ πλάτος, non τὸν πλάδον; nam τὸ πλάδος ne Graecum quidem.

ἔνθα ἢ ἔνθα.] Ἔνθα καὶ ἔνθα O. H. V. Pa. b. ἐνθάδε καὶ ἔνθα cett. — E καί effeci ἤ: nam quum mox ἥπατος ἢ σπληνός legatur, hoc etiam loco particula disiunctiva requiritur: et vero tum ἔνθα καὶ ἔνθα, tum ἔνθα ἢ ἔνθα in libris spuriis Hipp. frequens.

καὶ πάντῃ ἕλικας ποιεύμενον.] Παντί cett. — de coniectura πάντῃ scripsi.

Cap. 7. ἔστι γὰρ αἵματος πάγος τὸ πλεῖστον ἧπαρ.] Petitus comparat locum e Gal. de usu partium IV. c. 12.:

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟ ΗΠΑΡ ΟΞΕΩΝ ΠΑΘΩΝ.

Κεφ. ζ'.

Τῶν ἀπὸ καρδίης οἱ ἀπὸ ἥπατος οὐκ ὠκύτερον μὲν, ἐπιπονώτερον δὲ θνήσκουσι· ἔστι γὰρ αἵματος πάγος τὸ πλεῖστον ἧπαρ. Ἢν δὲ ἐν τῇσι πύλῃσι αὐτέου ξυμπέσῃ τις θανάτου αἰτίη, οὐ μεῖον ὀξέως ἢ οἱ ἀπὸ καρδίης θνήσκουσι. Τμέσι γὰρ καὶ τόνοισι ἐπικαίροισι καὶ λεπτοῖσι, καὶ φλεψὶ μεγάλῃσι ἐξύφανται τάδε τὰ μέρεα. ὡς δὲ καὶ τῶν σοφῶν ἀφηγέονταί τινες, καὶ ψυχῆς ἐπιθυμίη τῇδε ἐγκάθηται. Αἱμοῤῥαγίη μὲν γὰρ ὑπερίσχει πάντα πολλόν· ῥίζωσις γὰρ φλεβῶν ἧπαρ. γιγνεται ὧν ἐν αὐτέῳ μεγάλη μὲν φλεγμονὴ οὐ κάρτα ξυνεχέως, οὐδὲ ἐν τοῖσι ἐς τὰ ἐπίκαιρα χωρία· φθάνει γὰρ ἐξελθὼν τοῦ ζῆν ὥνθρωπος. σμικροτέρη δὲ θαμινά. τοὔνεκεν διαδιδρήσκουσι μὲν τὸν ὄλεθρον, μακρότερα δὲ νοσέουσι. ἔργου γὰρ αὐτέου τοῦ κατὰ τὴν ἐξαιμάτωσιν οὐκ ἔστι ἀνάπαυλα, οὐδὲ ἀμβολή· ἐπὶ τὴν καρδίην γὰρ καὶ τὰ νέρθεν τοῦ διαφράγματος ἐντεῦθεν τοῦ αἵματος αἱ ἀφέσιες.

εἰ γὰρ ἐννοήσεις ὑπὸ θερμότητος ἐξατμιζόμενον αἷμα καὶ παχυνόμενον, οὐδὲν ἄλλο εὑρήσεις γιγνόμενον ἢ τὴν τοῦ ἥπατος σάρκα — Adscribam verba e fine Comm. 2. in Hipp. de alimento: *εἰ γὰρ παχυνθείη τὸ αἷμα, σὰρξ ἥπατος ἀκριβὴς ἀπεργασθήσεται.* Item alium e lib. de Foetuum formatione p. 658. Kühnio: *οὐ μὴν οὐδ' ὅσα λευκὰ καὶ ἄναιμα τῶν μορίων ἐστὶν ἐξ αὐτοῦ τοῦ αἵματος οἷόν τε γεννᾶσθαι, καθάπερ ἡ τοῦ ἥπατος οὐσία· ταχίστην οὖν ἴσχει τὸ σπλάγχνον τοῦτο τὴν γένεσιν ἐξ αἵματος, ὡς ἂν ὁμοιοτάτην αὐτῷ τὴν τοῦ σώματος οὐσίαν ἔχον· ἐὰν γὰρ διατεμὼν φλέβα ζώου τοῦ ῥέοντος αἵματος ἐάσῃς ἐμπεσεῖν συμμέτρως ὕδατι θερμῷ, παραπλησίαν ἴσχει τὴν πῆξιν ἥπατος οὐσίᾳ.*

ὡς δὲ καὶ τῶν σοφῶν ἀφηγέονταί τινες, καὶ ψυχῆς ἐπιθυμίη τῇδε ἐγκάθηται.] Recte vidit Petitus Platonem a nostro respici. Adpono locum e Timaeo p. 287. Ed. Stallb.: *τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν*: et paulo inferius: *εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τε πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος κ. τ. λ.* — Cum hisce autem cf. Gal. Quod animi mores cett. cap. 4.: *ἐδείχθη γὰρ ἔμπροσθεν*, inquit, *ἡ θνητὴ ψυχὴ κρᾶσις οὖσα τοῦ σώματος· ἡ μὲν οὖν τῆς καρδίας κρᾶσις τὸ θυμοειδές ἐστι τῆς ψυχῆς, ἡ δὲ τοῦ ἥπατος τὸ καλούμενον ὑπὸ Πλάτωνος μὲν ἐπιθυμητικὸν, θρεπτικὸν δὲ καὶ φυτικὸν ὑπὸ τοῦ Ἀριστοτέλους.*

Αἱμοῤῥαγίη μὲν γὰρ ὑπερίσχει πάντα πολλόν· ῥίζωσις γὰρ φλεβῶν ἧπαρ· γίγνεται ὧν ἐν αὐτέῳ μεγάλη μὲν φλεγμονὴ οὐ κάρτα ξυνεχέως, οὐδὲ ἐν τοῖσι ἐς τὰ ἐπίκαιρα χωρία· φθάνει γὰρ ἐξελθὼν τοῦ ζῆν ὥνθρωπος.] — Ante omnia de loci huius scriptura videndum, qualem in libris invenimus: en! ita se habet: *αἱμοῤῥαγίη μὲν γὰρ ὑπερίσχει πάντα πολλόν· ῥίζωσις γὰρ φλεβῶν ἧπαρ γίγνεται· ὧν ἐν αὐτέῳ μεγάλη μὲν φλεγμονὴ οὐ κάρτα ξυνεχέως, οὐδὲ ἔν τισιν ἐς τὰ ἐπίκαιρα χώρια· φθάνει γὰρ ἐξελθὼν τοῦ ζῆν ὥνθρωπος.* Primum quidem teneamus in cap. de curatione huius morbi itidem occurrere verba *ῥίζωσις γὰρ φλεβῶν ἧπαρ* et ducta esse e lib. spurio Hipp. *περὶ τροφῆς*, quod iam Petitus notavit. Est locus iste saepius a Galeno laudatus v. c. de Plac. Hipp. et Platonis I. 7. et ibid. VI. 3. Auctoris libri spurii verba sunt: *ῥίζωσις φλεβῶν ἧπαρ· ῥίζωσις ἀρτηριῶν καρδίη.* — Itaque illud *γίνεται* eo non est referendum; quapropter ad seqq. retuli et *ὧν* in *ὧν* mutavi, quam emendationem suadet etiam Crassi interpretatio. — Offendit porro illud *οὐδ' ἔν τισιν ἐς τὰ ἐπίκαιρα χώρια*: Crassus: « neque in particulis magis praecipuis oritur." Haec, ni fallor, Aretaei mens est: inflammatio insignis in hepate non fit, neque in ulla parte quae proxima est locis *ἐπικαίροις*. Itaque illud *οὐδὲ ἔν τισι ἐς τὰ ἐπίκαιρα χωρία* significare debebit *οὐδὲ ἔν τινι τῶν ἐς τὰ ἐπίκαιρα χωρία*, aut vitio laborat. Me iudice *οὐδὲ ἔν τισι ἐς τὰ ἐπίκαιρα χωρία* est *neque in quibusdam partibus prope loca ἐπίκαιρα*, ita ut subindicet, in aliis partibus prope loca ista sitis inflammationem omnino contingere posse; verum mihi persuadere non possum, auctorem id re vera voluisse. Simplicissima igitur et lenissima medela ea visa est, qua *ἔν τισι* mutarem in *ἐν τοῖσι* i. e. *ἐν τοῖσι μέρεσι τοῖσι ἐς τὰ ἐπίκαιρα χωρία.* — Saepius *τοῖσι* et *τῇσι* in *τισι* a librariis mutantur propter soni similitudinem. Videtur autem Crassus idem, quod ego iam Graece exhibeo, Latine expressisse. — Ne quis putet *οὐδὲ ἐν τῇσι* reponendum esse, ut ad superius *φλεβῶν* referatur, moneo neque *τῇσι*, neque *αὐτῇσι* huius loci esse, sed *μηδὲ ἐν ἐκείνῃσι* requiri, ut ad *φλεβῶν* referatur.

ἔργου γὰρ αὐτέου τοῦ κατὰ τὴν ἐξαιμάτωσιν οὐκ ἔστιν ἀνάπαυλα, οὐδὲ ἀμβολή· ἐπὶ τὴν καρδίην γὰρ καὶ τὰ νέρθεν τοῦ διαφράγματος ἐντεῦθεν τοῦ αἵματος

Ἢν δὲ ἐπὶ μέζονι αἰτίῃ, πληγῇ, ἢ διαφθορῆσι ξυνεχέσι πολλῶν καὶ κακῶν σιτίων, ἢ οἰνοφλυγίῃ, ἢ ψύξι καρτερῇ, καὶ ἐν τῇσι πύλῃσι γίγνηται φλεγμονὴ, ὤκιστος ὄλεθρος. Πῦρ μὲν γὰρ ὑποβρύχιον, ἀλαμπὲς, δριμύ· σφυγμοὶ νωθροί· πόνου ἰδέη ποικίλη καὶ παντοίη. ἄλλοτε μὲν ἡ ὀδύνη ἐπὶ τὰ δεξιὰ διεληλαμένη, ὡς δοκέειν ὀξὺ ϐέλος ἐγκέεσθαι· ἄλλοτε δὲ στρόφῳ ἰκέλη· αὖθις δέ κοτε πόνος ϐαρὺς, ϐαρύτατος· μεσηγὺ δὲ τῆς ὀδύνης ἀτονίη καὶ ἀφωνίη. Διάφραγμα καὶ ὁ ὑπεζωκὼς ἕλκονται· ἀπὸ τῶνδε γὰρ ἄχθος, τὸ ἧπαρ, ἤρτηται· διὰ τόδε ἐς τὴν κατ' ἴξιν κληΐδα ὀδύνη καρτερή· ϐὴξ ἀτελὴς, προθυμίη δὲ μοῦνον· κὴν ἐς τέλος κοτὲ ἀφίκηται, ξηρή· ἀναπνοὴ κακή· οὐ γὰρ ξυντιμωρέει τῷ πνεύμονι τὸ διάφραγμα, ξυνομαρτέον ἐς ξυναγωγὴν καὶ διάστασιν· πνεῦμα σμικρὸν ἕλκουσι, ἐκπνέουσι μέζον. Χροιὴν μελάγχλωροι, μολιβδοειδέες· ἀπόσιτοι· ἢν δέ τι προςενέγκωνται, φυσώδεες τὰ ὑποχόνδρια· ἐρεύξιες χολώδεες, ὀξίζουσαι, ϐρωμώδεες· ναυτίη, διάτασις κενεή· γαστὴρ ἀπολελημμένη τὰ πολλὰ, ἢ χολώδεα, γλισχρὰ, ϐραχέα διαδιδοῦσα. Ἀεὶ δὲ ἐπαυξέα γίγνεται τὰ πάθεα· γνώμη οὐ κάρτα παράφορος, νωθρὴ, μετέωρος, τετυφωμένη· ὄκνος πουλύς· ψύξις ἀκρέων· τρόμοι· ῥίγεα· λὺγξ κενεὴ, σπασμώδης· ἴκτερος, χολὴ ἄκρητος, χολόβαφοι τὸ πᾶν. Ἢν δὲ καὶ πρὸ ἑβδόμης φανῇ, καὶ ἄλλως ἔκτεινε συχνούς.

Ὁκόσοι δὲ ἢ αἱμοῤῥαγίῃ, ἢ κοιλίης ταράχῳ πολλοῖσι χολώδεσι, ἢ οὔροισι ἀκρήτοισι συχνοῖσι τὸν ὄλεθρον διηλλάξαντο, τουτέοισι μετὰ τρεῖς ἑβδομάδας ἐς ἀπόστασιν πύου

αἱ ἀφέσιες. — Ἢν δὲ ἐπὶ μέζονι κ. τ. λ.] Hunc locum de coniectura refeci. Ceteri: ἐπὶ δὲ (F γὰρ) τὴν καρδίην καὶ τὰ νέρθεν τοῦ διαφράγματος· ἐντεῦθεν γὰρ τοῦ αἵματος ἀφέσιες· ἢν ἐπὶ μείζονι (μέζονι H. V. Pa. b. c. f. O.) κ. τ. λ. — Articulum αἱ de meo addidi: infra in cap. de cur. M. acut. iecoris: καὶ ἐς τὸ πᾶν ἔνθεν ἡ τούτου ἄφεσις. De meo etiam δέ pone ἤν intuli.

ἢ οἰνοφλυγίῃ.] Cett. καὶ οἰνοφλ. De meo ἤ dedi.

πόνος ϐαρὺς, ϐαρύτατος.] Wiganus e Coel. Aurel. Ac. Morb. III. 18. adscripsit: «anhelatio crebra atque creberrima.»

διάφραγμα καὶ ὁ ὑπεζωκὼς ἕλκονται.] Ὁ de meo addidi ὑπεζωκώς praebuerunt Pa. b. ὑπεζωκός cett. Quum ὑμὴν ὁ ὑπεζωκώς sit, masculino genere scripsi et ὁ adposui: — ἕλκονται Wigani coniectura est: vulgo ἕλκοντα.

ϐὴξ ἀτελὴς, προθυμίη δὲ μοῦνον.] Vide quae supra ad cap. 2. verba, θυμὸς ἐγγίγνεται καὶ οὐ μάλα ϐήσσουσι, adposui: Vulgo βὴξ δὲ ἀτ., sed δέ omm. V. Pa. b. f.

οὐ γὰρ ξυντιμωρέει τῷ πνεύμονι τὸ διάφραγμα.] Hippocraticum illud ξυντιμωρέειν. Vid. quae adnotavi ad § 17. libri de Victu acut. p. 141.

φυσώδεες τὰ ὑποχόνδρια.] Cett. τῷ ὑποχονδρίῳ; quia ω et α saepius in MSS. alternant, dedi quod noster scripsisse videbatur.

ναυτίη, διάτασις κενεή.] Διάτασις pro librorum lect. διάστασις dudum Petitus requisivit: talia in codd. sexcenties permutantur. Διάτασις κενεή, inanem ad vomendum conatum significat: Coaca 557. legere me memini οἱ σπαρασσόμενοι ἀνεμέτως.

γαστὴρ ἀπολελημμένη τὰ πολλὰ, ἢ χολώδεα, γλισχρὰ, ϐραχέα διαδιδοῦσα.] Codd. et Edd. γαστὴρ ἀπολελυμένη τὰ πολλὰ χολώδεα, γλισχρὰ ϐραχέα. — Quid quaeso γαστὴρ ἀπολελυμένη? Nusquam tale quid legere me memini: sed in iecoris inflammatione alvus adstricta est: Gal. de locis aff. p. 348. ed. Kühn: ἐπίσχεται δ' αὐτοῖς καὶ ἡ γαστὴρ, ἐάν γε μὴ σὺν ἀτονίᾳ τοῦ σπλάγχνου συμβῇ γίγνεσθαι τὴν φλεγμονήν. — Itaque certum est, ἀπολελημμένη Aretaeum scripsisse. Verum certum itidem cetera iam manca esse: itaque ἤ de meo intuli et in fine de meo quoque διαδιδοῦσα adieci: hoc quidem vere Hippocraticum et fortasse facile interire potuit sequente ἀεὶ δέ ob literarum similitudinem.

ἐπαυξέα γίγνεται τὰ πάθεα.] Ἐπαυξέα Hippocrateum est cf. Oecon. Foësii in voce.

λὺγξ κενεὴ, σπασμώδης.] Hoc e Thucyd. fere desumtum est; qui II. 49.: λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρόν.

ἢν δὲ καὶ πρὸ ἑβδόμης φανῇ, καὶ ἄλλως ἔκτεινε συχνούς.] Legitur καὶ ἄλλους in libris scriptis et editis; vellem scire, qui sint isti ἄλλοι, alio morbo quam hoc nostro laborantes? Mirum sane, si nunc de alio morbo interemtis loquatur! Itaque ἄλλως dedi. i. e. *inprimis*, *praecipue*. — Respicit locos e libris Hipp.: — Coaca 121: ἴκτερος πρὸ μὲν τῆς ἑβδόμης ἡμέρης ἐπιγενόμενος κακόν. ἑβδόμη δὲ καὶ ἐνάτῃ καὶ ἑνδεκάτῃ καὶ τεσσαρεςκαιδεκάτῃ κρίσιμον μὴ σκληρύνων ὑποχόνδρια: cum qua sententia convenit Aph. 63. IV. Sed vide etiam Aph. 62. IV. ὁκόσοισι ἐν τοῖσι πυρετοῖσι ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακὸν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται. Cf. Hist. aegr. 2 Sect. I. Epid. III. In primis autem conferendus locus ex Epid. I. Sect. II. St. 3. ἔστι δ' οἷσι ἴκτεροι ἐκταίοισι· ἀλλὰ τούτοισ ν ἢ κατὰ κύστιν κάθαρσις, ἢ κοιλίη ἐκταραχθεῖσα ὠφέλησεν, ἢ δαψιλὴς αἱμοῤῥαγίη κ. τ. λ.

τὸν ὄλεθρον διηλλάξαντο.] Libri διήλλαντο, ad quam lect. Wiganus: «an διηλλάξαντο? ut (104. 16.) διηλλάξαντο τὸν κίνδυνον. A διάλλομαι, διήλαντο legi deberet, phrasis tamen haud congrua.» Recepi editoris

τὸ ἧπαρ τρέπεται. Ἢν δὲ ἔτι πολλὸν ὑπερβάλλῃ χρόνον ἄνευ ἀποστάσιος ἐς ὕδρωπα ἄφυκτον τελευτᾷ· διψαλέοι, βραχυπόται· ξηροὶ τὸ σκῆνος, ἀλιπέες· ὀξέων ἐπιθυμίη, ἄποιος ἡ γεῦσις.

Τίκτει δὲ τόδε τὸ πάθος φθινόπωρον· σὺν πλῆθος ὡραίων, καὶ ποικίλων ἀπεψίη. Ἡλικίη δὲ πασέων μᾶλλον ἀκμαίη.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΚΟΙΛΗΝ ΦΛΕΒΑ ΟΞΕΙΗΣ ΝΟΥΣΟΥ.

Κεφ. η'.

Ἀπὸ τῶν πυλέων τοῦ ἥπατος εὐρεῖα φλὲψ διαΐσσει μέσφι τῶν τοῦδε περάτων· ἀεὶ γὰρ ἐς λεπτὰ καὶ πλεῦνα σχιζομένη ἐπὶ τέλος ἐς ἀφανέα τῇσι ὄψισι πάντῃ τοῦ ἥπατος σκίδναται. Τοῖσι δὲ τουτέων πέρασι ἄλλων φλεβῶν περατώσιες κατὰ τὸ στόμα ξυγκέονται, αἵπερ ἐκ λεπτῶν καὶ πλεύνων μέζονες καὶ ἐλάσσονες γίγνονται, ἐπὶ τέλεος δὲ ἐν μέσῳ τῷ ἥπατι ἐς μίην φλέβα μεγάλην συναγείρονται. Ἐντεῦθεν δὲ δοιαὶ ἐξ ἀποσχίσιος γιγνόμεναι πέρην τοῦ ἥπατος ἀφικνέονται. Ἡ μὲν γὰρ ἄνω τὸν πρῶτον λοβὸν διαπερήσασα ἐς τὰ κυρτὰ αὐτέου ἐξεφαάνθη· ἔπειτα περήσασα τὸ διάφραγμα ἐμφύνει τῇ καρδίῃ· κοίλη φλὲψ ἥδε καλέεται. Ἡ δὲ ἑτέρη τὸν κάτω λοβὸν τὸν πέμπτον διαπερήσασα μέχρι τῶν κυρτῶν, ἐπὶ τὴν ῥάχιν ἔξεισι καὶ τῇδε παρατέ-

Angli emendationem. — Ceterum in iis, quae continuo sequuntur ceteri *τουτέοισι δὲ μετὰ τρεῖς ἑβδομάδας κ. τ. λ.* — Cum Pa. *b.* *δέ* omisi.

τίκτει δὲ τόδε τὸ πάθος φθινόπωρον, σὺν πλῆθος ὡραίων καὶ ποικίλων ἀπεψίη. Ἡλικίη δὲ πασέων μᾶλλον ἀκμαίη.] Libri plurimi in hisce ferunt *σὺν πλῆθος.* — O. *σὺν πλήθους* e V. — H. M. *σὺν τούτοις καὶ πλῆθος.* — Mihi quidem vulgata auctoris verba referre videtur, qui lib. I. c. 7. de s. m. chron. *ἴλλωσις τοῦ ὀφθαλμοῦ τοῦ σιναροῦ μήλου, ξὺν τῇ ὑποκοίλιδι παλμός·* adeo ut ibi quoque Ionum more praepositionem adverbii instar usurpet. Libri *ὡρίων*, in quo *ὡραίων* latere unusquisque facile videt. Tandem pro *μᾶλλον ἄκμη*, quae vulgata lectio Pa. *b. d. e. f.* *ἀκμίη*: ex his autem Pb. in marg *ἴσως ἀκμαίη*, quod recipere oportuit.

Cap. 8. *ἀπὸ τῶν πυλέων τοῦ ἥπατος εὐρεῖα φλὲψ διαΐσσει μέσφι τῶν τοῦδε περάτων.*] Libri, quos equidem vidi, omnes *μέση τῶν τοῦδε περάτων*; idemque Latine expressit Crassus. Me iudice haec lectio constare nequit et facile corrigitur, si *μέσφι* e nostri more scribas pro *μέση*, quo facto demum sanus loci sensus exsurgit.

ἀεὶ γὰρ ἐς λεπτὰ κ. τ. λ.] Operae pretium est Galeni descriptionem contulisse, qui lib. VI. cap. 11. de Anatom. admin.: *πρότερον δ'*, inquit, *ἐφ' ἥπατος ὁ λόγος μοι περαινέσθω. τουτὶ γάρ τοι τὸ σπλάγχνον εἰς τὸ σιμότατον ἑαυτοῦ μέρος ἀνηκούσας ἔχει τὰς ἐκ τοῦ μεσεντερίου φλέβας· ὀνομάζουσι δὲ τὸν τόπον τοῦτον, εἰς ὃν ἀθροίζονται πᾶσαι, πύλας ἥπατος. ἐνταῦθα οὖν εὑρήσεις στόμα μέγιστον φλεβὸς ἐπὶ πάντων τῶν ἐναίμων ζώων.* — Et mox: *ἀπὸ γὰρ τῶν πυλῶν εἰς ἕκαστον λοβὸν, ὅσοι περ ἂν ὦσι, μίαν εὑρήσεις ἀφικνουμένην μεγάλην φλέβα, ἧς σχισθείσης εἰς πολλὰς μικρὰς, ὥσπερ στέλεχος εἰς κλάδους, εἶτ' αὖθις ἐκείνων οἷον εἰς ἀκρέμονάς τινας σχιζομένων, εἶτ' ἐκείνων ὥσπερ εἰς βλαστήματά τινα λεπτὰ τελευτώντων, ὅσον ἐστὶ μεταξὺ τῶν ἀγγείων, ἅπαν πεπλήρωται τῇ τοῦ σπλάγχνου σαρκί· καλοῦσι δ' αὐτὴν οἱ περὶ τὸν Ἐρασίστρατον παρέγχυμα.*

ἐπὶ τέλεος δὲ ἐν μέσῳ τῷ ἥπατι ἐς μίην φλέβα μεγάλην συναγείρονται.] Vulgo *ἐπιτελέως.* — Wiganus: « an melius, inquit, *ἐπὶ τέλεος*?" Equidem omnino ita scribendum censeo. — Porro *δέ* recte habent O et Pa.; cett. omittunt. — Tandem *μίην* Pe. *f.* *μίαν* cett.

τὸν πρῶτον λοβὸν διαπερήσασα ἐς τὰ κυρτὰ αὐτέου ἐξεφαάνθη.] *Διατορήσασα* H. V. Pa. *b .c. d.* — Notanda epica forma *ἐξεφαάνθη*: Iliad. IV,468. *πλευρὰ, τά οἱ κύψαντι παρ' ἀσπίδος ἐξεφαάνθη.* — Reiskius pessime *ἐξυφάνθη* coniecit.

ἐμφύνει τῇ καρδίῃ.] *Ἐμφύνῃ* A. Pc. *e. f.* *ἐμφύῃ* H. V. A. Pa. *ἐμφύει* Pb. *ἐκφύνει* Pd. Paulo ante *περήσασα* de meo reposui, ubi cett. *περήνασα*, quod ferri nequit.

τὸν κάτω λοβὸν τὸν πέμπτον διαπερήσασα.] In hisce *διαπερησασα* Pc. *διαπερήνασα.* cett. — Sed videndum de quinta illa iecoris fibra. Vel leviter anatomiae scientia imbutus quisque novit in hominis iecinore quatuor modo lobos distingui, quos hodierni vocant dextrum, sinistrum, quadratum et lobum Spiegelii. Quid ergo lobus iste quintus? Res notissima est veteres raro hominum corpora, ut plurimum animalium et ex his frequenter simiarum corpora, inspexisse. Hinc nostri verba interpretanda. Iam Petitus ad hoc caput adtulit Galeni verba e lib. IV. c. 8. de Usu partium: *διὰ τί δε περιβέβηκε τὴν γαστέρα τὸ ἧπαρ; ἢ ὅπως αὕτη μὲν ὑπ' ἐκείνου, τὰ σιτία δ' ὑπὸ*

ταται μέχρι τῶν ἰσχίων· ἀτὰρ καὶ ἥδε κοίλη· οὔνομα γὰρ τὸ αὐτὸ, οὕνεκεν μίη καὶ ὡυτὴ ἐστὶ ἡ φλὲψ, τὴν ἀρχὴν ἀπὸ τοῦ ἥπατος ἴσχουσα. Εἰ γάρ τις ἐθέλοι, διελάσαι ἂν ἔλασμα καὶ ἀπὸ τῆς ἄνωθεν τῆς ἐπὶ τὴν καρδίην κοίλης φλεβὸς ἐς τὴν παρὰ τὴν ῥάχιν καὶ ἀπὸ τῆς ῥάχιος διὰ τοῦ ἥπατος ἐπὶ τὴν καρδίην· ἄνοδος γὰρ ἡ αὐτή.

Ἥδε οὖν ἡ φλὲψ, ὡς ἐγὼ δοκέω, ἡ ξύμπασα νοσέει ὀξέσι πάθεσι καρτεροῖσι· μία γάρ ἐστι πᾶσα. Μετεξετέροισι δὲ ἰητροῖσι μούνη δοκέει ἡ παρὰ τὴν ῥάχιν νοσέειν, οὕνεκα τῆς ἐς τὴν καρδίην τὰ σημεῖα οὐ προφανέα· ἐντὸς γὰρ τοῦ θώρηκος διατέταται πρὸς οὐδὲν προςισχομένη, ἀλλ' ἐναιωρευμένη τῷ θώρηκι, ἔς τ' ἂν ἀπὸ τοῦ διαφράγματος ἐμφύῃ τῇ καρδίῃ· ἢν οὖν τι μεγάλων κακῶν ἴσχῃ τήνδε τὴν φλέβα, ξυνέκρυψε ἀμπέχων ὁ θώρηξ.

Γίγνεται δ' οὖν ἀμφὶ τήνδε τὴν φλέβα καὶ κέδματα, εὖτε ῥηγνυμένη αἱμοῤῥαγίῃ

ταύτης θερμαίνοιτο; δι' αὐτὸ γὰρ τοῦτο καὶ ἀκριβῶς αὐτὴν περιλαμβάνει καθάπερ δακτύλοις τισὶ τοῖς λοβοῖς· οὐδ' ἔστιν εἷς ἀριθμὸς αὐτῶν καθ' ἕκαστον ζῶον, ὅτι μηδὲ τὸ σχῆμα μηδὲ τὸ μέγεθος ἀκριβῶς τῆς γαστρὸς ἅπασι ταὐτόν. Eadem verba Camperus, vir illustris, in diss. de Simia Satyro p. 56. e numero loborum quinque iecinoris in alia simiae specie a se inventorum explicuit, et adposuit seqq. e lib. VII. c. 10.: ὡς γὰρ ἐκεῖνο (τὸ ἧπαρ) καθάπερ δακτύλοις τισὶ τοῖς λοβοῖς ἀσφαλέστερον περιλαμβάνει τὴν κοιλίαν, οὕτως ὁ πνεύμων τὴν καρδίαν. — De lobis iecinoris quinque in similis quibusdam cf. Cuvier Leçons d'Anatomie comparée, vol. IV. p. 10. Meckel System der vergleichenden Anatomie IV. p. 737. — Ex hisce iam conficimus hepar simiarum Aretaeo ob mentem obversatum esse, cum ista scriberet. Lubet vero adferre quae Galenus de Anat. Admin. VI. c. 8. de hepatis fibris habet: οὐ μήν, inquit τό γε πλῆθος ἴσῳ ἀριθμῷ τῶν λοβῶν τοῦ ἥπατος ἐν ἅπασι τοῖς ζώοις ἐστίν· οὔτε κατὰ τὸ γένος, οὔτε κατ' εἶδος· ὥςπερ οὐδὲ τὸ μέγεθος ἴσον οὔτε τῶν λοβῶν, οὔθ' ὅλου τοῦ σπλάγχνου· τοῖς μέντοι λίχνοις καὶ δειλοῖς μέγα τ' ἐστὶ καὶ πολυσχιδὲς τὸ ἧπαρ· ἕτερον δὲ τοῖς ἐναντίοις· οἷς δ' ἐστὶ μέγα, εἰς πλείους τε καὶ μείζους ἔσχισται λοβούς, ἤπερ ἀνθρώποις· οὐ μὴν οὐδ' αὐτοῖς τοῖς ἀνθρώποις ὁμοίως ἅπασιν ἔχει κατά τε μέγεθος καὶ πλῆθος λοβῶν· ἀκριβέστατα γοῦν ὑπὲρ αὐτοῦ γράφων Ἡρόφιλος αὐτοῖς (τοῖς suppleo) ὀνόμασι τάδε φησίν. — Ἔστι δ' εὐμέγεθες τὸ τοῦ ἀνθρώπου ἧπαρ καὶ μέγα (vellem μεῖζον) τοῦ ἐν τισιν ἑτέροις ζώοις ἰσοπαλέσιν ἀνθρώπῳ· καὶ καθ' ὃ μὲν ταῖς φρεσὶ προςψαύει, κύρτωται καὶ λεῖόν ἐστι· καθ' ὃ δὲ τῇ κοιλίᾳ καὶ τῷ κυρτῷ τῆς κοιλίας προςψαύσειε (immo προςψαύει) σιμὸν καὶ ἀνώμαλον· ἀφομοιοῦται δὲ κατὰ τοῦτο διασφαγί τινι, καθ' ὃ καὶ τοῖς ἐμβρύοις ἡ ἐκ τοῦ ὀμφαλοῦ φλὲψ εἰς αὐτὸ ἐμπέφυκεν· οὐχ ὅμοιον δ' ἐστὶν ἐν ἅπασιν, ἀλλὰ καὶ πλάτει, καὶ μήκει, καὶ πάχει, καὶ ὕψει, καὶ λοβῶν πλήθει, καὶ ἀνωμαλίᾳ τῇ ἐκ τοῦ ἔμπροσθεν, καθ' ὃ παχύτατόν ἐστι, καὶ τοῖς ἄκροις τοῖς κύκλῳ κατὰ τὴν λεπτότητα ἄλλοις ἀλλοῖον· λοβοὺς γάρ τισι μὲν οὐδ' ἔχει, ἀλλ' ἔστιν ὅλον στρογγύλον καὶ ἄνορθον, τοῖς δὲ δύο, τοῖς δὲ καὶ πλείους, καὶ πολλοῖς καὶ τέσσαρας ἔχει. — Haec hactenus!

τὸν κάτω λοβὸν τὸν πέμπτον διαπερήσασα μέχρι τῶν κυρτῶν ἐπὶ ῥάχιν ἔξεισι.] Μέχρι τῶν κυρτῶν libri omnes: Crassus *gibba* et in margine *concava*. Illud *concava* utrum codicum lectio sit, an vero emendatio de coniectura, incertum: sed quum ipsis Aretaei verbis facile quis in errorem ducatur, operae pretium est de hac re monere. Τὰ κυρτὰ τοῦ ἥπατος pars superior est, τὰ σιμὰ pars inferior, concava; vena autem τὸν κάτω λοβὸν τὸν πέμπτον διαπερήσασα dicitur ἐπὶ τὴν ῥάχιν ἐξιέναι et τῇδε παρατετάσθαι μέχρι τῶν ἰσχίων. — Itaque facile suspiceris eum μέχρι τῶν σιμῶν voluisse: et vero opinor Crassi *concava* esse emendationem e re non probe intellecta natam. Lucem hisce adferet Galenus, qui lib. VI. c. 10. de Admin. Anatom: χρῶμαι δ' αὐτοῖς (i. e. τοῖς ἐλάσμασι,) inquit, ἐμβάλλων τοῖς στόμασι τῶν ἀγγείων, ἐφ' ἥπατος μὲν κατὰ τὴν ἐπὶ πύλῃ φλέβα, τὴν στελεχιαίαν ὀνομαζομένην ὑπὸ τῶν νεωτέρων ἀνατομικῶν, καὶ τὴν διττὴν τῶν κυρτῶν ἄνω τε καὶ κάτω φερομένην, ἐπὶ νεφρῶν δὲ κατά τε τὰς ἀπὸ τῶν ἐπὶ τῇ ῥάχει κειμένων ἀγγείων τῶν μεγάλων ἀποφύσεις καὶ τοὺς οὐρητῆρας, ἐπί τε τῶν ἄλλων, ὡς ἐρῶ. — Vena στελεχιαία est vena portarum: vena διττή, vena cava superior et inferior, quae τῶν κυρτῶν ἄνω τε καὶ κάτω φερομένη dicitur. Itaque recte habet librorum in nostri verbis lectio et vero ipse secum consentit: nam supra de vena cava dixit, eam ex anastomosium cum venae portarum finibus subtilibus ingenti numero natam esse, ita ut venulae sensim in μίην φλέβα μεγάλην veluti confluerent: venam autem istam magnam duplicem fieri, adeo ut ab eodem loco altera pars sursum, altera deorsum tenderet. Locus autem, unde utraque pars proficiscitur, est pars gibba iecoris. — Cf. Gal. cap. 2. libri de Ven. et art. dissectione, initio cap. Patet nominis venae hepaticae mentionem fieri nullam, sed eam haberi principium venae cavae utriusque.

μίη καὶ ὡυτή.] H. l. μίη praebent Pe. *f.* μία cett.

Εἰ γάρ τις ἐθέλοι, διελάσαι ἂν ἔλασμα.] Ἐθέλοι O. V. Pa. *b.* ἐθέλει cett. — Ad ἔλασμα cf. Hesych. in voce cum interprett.; lamina est metalli alicuius ductilis. Gal. VI. 10. de Admin. Anat.; ἕκαστον, inquit, αὐτῶν ἀνάτεμνε διεμβάλλων ἔλασμα χαλκοῦν, ἢ σιδηροῦν, ἢ ἀργυροῦν, ἢ ξύλινον· ὀνομάζειν δ' ἔθος ἐστὶ τοῖς ἀνατομικοῖς ἐλάσματα πάντα κοινῇ προςηγορίᾳ τὰ τοιαῦτα, σμίλας, σπαθομίλας, ἀμφισμίλας, διπύρηνα, μηλωτίδας, οἷς ὅμοια δυνατόν ἐστι κατασκευάζειν ἐκ ξυλοῦ πυκνοῦ, καθάπερ ἡμῖν ἐστιν ἐκ πύξου· πρὸς γὰρ τὸ μὴ θραυσθῆναί ποτε τὴν σμίλην ἐπιτηδειότερα ταῦτα.

μούνη δοκέει ἡ παρὰ τὴν ῥάχιν πονέειν.] Ἡ in Codd. omittitur, addidi e Wigani emendatione, quam firmant seqq. οὕνεκα τῆς ἐς τὴν καρδίην.

ἐμφύῃ τῇ καρδίῃ.] Sic omnes, quos ego vidi, libri;

ὤκιστα κτείνει, ὕπερθεν μὲν διὰ πνεύμονος καὶ ἀρτηρίης ἐκχεομένου, ἢν ἐν τῷ θώρηκι ραγῇ· ἢν δὲ παρὰ τὴν ῥάχιν, ἐς τὴν κάτω κοιλίην τοῖσι ἐντέροισι περιχέεται, ὡς ἐμπλείειν τὰ ἔντερα, εὖτε, πρὶν ἢ καθὲν ἐκφανῆναι τὸ αἷμα, θνήσκουσι οἵδε· ἢν δὲ ἡ κοιλίη πληρευμένη αἵματος.

Γίγνεται δὲ καὶ φλεγμονὴ ἀμφὶ τὴν φλέβα ἀτὰρ καὶ ἥδε ὀξέως κτείνει, ἢν μεγάλη ἔῃ. Πῦρ μὲν γὰρ δριμὺ, δακνῶδες ἐν τῇσι κοιλίῃσι ἀμφοῖν ἐγκαθειργμένον, βραχὺ δὲ μοῦνον ὑπερίσχον, ὡς δοκέειν ἁπτομένῳ λεπτὴν ἔμμεναι θέρμην, ὁ δὲ ἄνθρωπος καίεσθαι δοκέει· σφυγμοὶ σμικροὶ, πυκνότατοι, ὁκοῖόν τι πεπιεσμένοι καὶ δεδιωγμένοι· ψύξις ἀκρέων· δίψος καρτερόν· στόματος ξηρότης· προςώπου ἐρύθημα ξὺν εὐχροίῃ· ὑπέρυθροι δὲ τὸ ξύμπαν σῶμα· ὑποχόνδρια σκληρὰ, ἀνεσπασμένα· ὀδύνη ἐπὶ δεξιὰ μᾶλλον καὶ παλμὸς τῇδε παραμήκης μέχρι τῆς λαγόνος, μετεξετέροισι δὲ καὶ τῆς ἀρτηρίης τῆς παρὰ τὴν ῥάχιν, ἣν ὁ σφυγμὸς ἐς τὸ ἕτερον ὑποχόνδριον διασημαίνῃ· ξυμπαθὴς γὰρ καὶ ἥδε γίγνεται παρ' αὐτέην ἐπ' ἀριστερὰ κειμένη, ὡς τῆς ἐπὶ τῷ παντὶ διαπνοῆς οὐδὲν ἐπικουφιζούσης, ἀλλ' οὐδὲ τὸ δέρμα μαλθαζούσης· ξηρὸν δὲ τόδε καὶ ῥυσὸν, καὶ τρηχὺ, ἐπὶ δὲ μᾶλλον ἐν τοῖσι ἐξίσχουσι ὀστώδεσι, οἷον ὀλεκράνῳ, γούνασι, ἢ κονδύλοισι. Ὕπνοι ταραχώδεες· κοιλίη τοῖς μὲν οὐδὲν ἐκδιδοῖ, τοῖς δὲ σμικρὸν, δριμὺ, χολῶδες· οὖρα ξανθὰ, δακνώδεα· τὴν γνώμην οὐ παράφοροι μὲν,

verum ἐμφύνῃ G. v. l. — Pro ξυνέκρυψε paulo inferius Pa. b. ξυνέγραψε.

κέδματα.] De hoc loco et nomine videndus inprimis Coray ad Hipp. vol. II. p. 339. seqq. — Nomen ducit a κέω, quod σχίζω significet, unde perf. pass. κέκεσμαι, Ionice κέκεδμαι: hinc autem κέδμα pro κέσμα conveniens cum κέασμα, a κεάζω, quod Hesych. exponit κλάσμα, ῥῆγμα.

διὰ πνεύμονος.] Sic. Pa. b. c. e. f. πλεύμονος cett. — paulo ante Pe. ὕπερθε.

ἢν δὲ παρὰ τὴν ῥάχιν, ἐς τὴν κάτω κοιλίην τοῖσι ἐντέροισι περιχέεται, ὡς ἐμπλείειν τὰ ἔντερα.] Haec descripta sunt e verissima Corayi emendatione l. l. p. 344. περιχέηται desideravit Petitus, minus recte: nam apodosis sententiae est in verbis ἐς τὴν κάτω κοιλίην περιχέεται: — ἡ κάτω κοιλίη est cavum abdominis: ἐμπλείειν est *innatare*, non *implere* ut interpretatur Crassus; Wiganus minus clare, quo modo acceperit, significat. — Libri pro ῥάχιν habent ἀρχήν: haec saepissime in medicorum libris confunduntur. Itaque apud pseudo-Hipp. de Ossium Nat. p. 514. pro ἡ δ' ἀρχαίη φλὲψ ἡ νεμομένη περὶ τὴν ἄκανθαν lege ἡ δὲ ῥαχιαίη φλὲψ ἡ ν. π. τ. ἄ. — Pro περιχέεται libri περιέχεται.

εὖτε πρὶν ἢ καθὲν ἐκφανῆναι.] Libri πρώην καθ' ἓν pro πρώην dedi πρὶν ἢ e Corayi emendatione; καθέν una voce O.: vere; nam Corayi κάτωθεν admitti nequit. — Καθέν a καθίημι Aor. 2. participii.

ἢν δὲ ἡ κοιλίη πληρευμένη αἵματος.] Haec recte se habent; vide quae supra ad cap. 2. huius libri de ἦν pro ἐστί adposui. Non semper intacta relicta sunt: Reiskius voluit ἢν δὲ ἡ κοιλίη πληρευμένη ᾖ αἵματος, pessime profecto: melius certe Corayus ἡ δὲ κοιλίη πληρευμένη αἵματος, nec tamen locum sanum tentare debuerat. Sed quis tandem semper a praepostero istiusmodi labore cavebit?

ἐν τῇσι κοιλίῃσι ἀμφοῖν.] Intellige thoracis et abdominis cavum.

ὁ δὲ ἄνθρωπος.] Sic recte Pe. f. Cett. ὁ δὲ ὤνθρ. perperam.

προςώπου ἐρύθημα ξὺν εὐχροίῃ.] Libri omnes ἀχροίῃ, quod de meo in εὐχροίῃ mutavi: nempe non nego facile quem in eiusmodi emendatione decipi posse, sed neque intelligo, qui προςώπου ἐρύθημα ξὺν ἀχροίῃ Aretaeus dixerit, praesertim quum mox aegros ὑπερύθρους τὸ ξύμπαν σῶμα vocet.

καὶ παλμὸς τῇδε παραμήκης μέχρι τῆς λαγόνος.] Libri παλμὸς τῆςδε, quod ferri nequit, quum non sit quorsum referas: facile corrigitur scribendo τῇδε, quod referes ad proxime antecedens ἐπὶ δεξιά.

παρ' αὐτέην ἐπ' ἀριστερὰ κειμένη.] Libri κειμένην, ad quam lect. Wiganus: «legendum, inquit, κειμένη. Nam aorta ad sinistram venae cavae, non haec ad illius laevam iacet." Verissime hic, quapropter emendavi: et vero κειμένη Latine expressit Crassus.

ὡς τῆς ἐπὶ τῷ πάντι διαπνοῆς οὐδὲν ἐπικουφιζούσης, ἀλλ' οὐδὲ τὸ δέρμα μαλθαζούσης.] Nomen διαπνοῆς de meo intuli; nam aliquid excidisse pone τῆς ἐπὶ τῷ πάντι sponte patebat, et vero verba οὐδὲ τὸ δέρμα μαλθαζούσης satis ostendebant, quid requireretur. Contuli finem capitis postremi lib. I.: ἀτὰρ καὶ ἧσσον θνήσκουσι (pueri nempe e membranae costas cingentis inflammatione) τά τε γὰρ σώματα μανὰ καὶ τὰ ὑγρὰ εὔροα καὶ πολλὴ ἡ διαπνοὴ καὶ ἀποφορή· ὅθεν οὐδὲ μεγάλη ξυνίσταται φλεγμονή. Tum vero cum hisce comparandus locus e cap. de Curatione morbi acuti venae et arteriae in dorso: τῆς μὲν γὰρ φλεβὸς ῥίζωσις ἧπαρ· τῆς δ' ἀρτηρίης ἀρχὴ καρδίη. δοκέοις ἂν ὧν μὲν τὰ ἄνω μέρεα τῶνδε τῶν σπλάγχνων νοσέειν τὰ καίρια. θέρμην μὲν γὰρ ἡ καρδίη ἐνδιδοῖ τῇ ἀρτηρίῃ, τῇ φλεβὶ δὲ τὸ ἧπαρ αἷμα. ἀμφοῖν δὲ μεγάλοιν μεγάλα τὰ ἔκγονα, αἱ φλεγμοναί. Praeterea ad emendationem confirmandam multum facit locus Sorani p. 248: ἀγνοοῦσι δὲ οὗτοι ὡς ἡ μὲν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἀναπνοὴ ἐνίοτε οὐ γίνεται, καθάπερ ἐπὶ τῶν φωλευόντων ἰοβόλων ζώων ὁρῶμεν γινόμενον· τὰ γὰρ ἰοβόλα ζῶα, τὸ τῶν ὄφεων λέγω

νωθροὶ δὲ καὶ μαρασμώδεες· εὖτε ὁκόσοι τήνδε τὴν κατάστασιν εἶδον ἰδέην καύσου ἐκάλεον. καὶ γὰρ καὶ τοῦ γένους τοῦ καύσου τὰ παρεόντα, καὶ ἐν Φθινοπώρῳ γίγνεται ἐπὶ τὸ θηριῶδες, καὶ ἀκμάζουσι καὶ νέοισι, οἷσι ἰσχνὴ ὑπὸ διαίτης πονηρῆς καὶ ταλαιπωρίης ἡ ἕξις. Τεσσαρεςκαιδεκαταῖοι οἵδε τὰ πολλὰ θνήσκουσι· οἷσι δ᾽ ἂν ἐς μῆκος ἡ νοῦσος ἀφίκηται, ἐν διπλασίοισι ὄλλυνται. Ὁκόσοι δὲ ἢ σμικρὴν ἀρχῆθεν ἴσχουσι τὴν Φλεγμονήν, ἤ, τῆς μεγάλης κατὰ βραχὺ διαλυομένης, διαδιδρήσκουσι μὲν τὸν ὄλεθρον, οὐδέκω δὲ ἀφίενται τοῦ κακοῦ, οἵδε μακρὸν μὲν χρόνον τὸν καῦσον νοσέουσι, ἀποπαύεται δὲ τὰ κινδυνώδεα, αἱ ὀδύναι καὶ αἱ ξυντάσιες τῶν ὑποχονδρίων, καὶ ἡ κακοσφυξίη, καὶ τῆς γνώμης τὸ νωθές· ἔτι δὲ ἔμπης ἔασι ἀσώδεες· ξύνεστι δὲ ὅ τε καῦσος καὶ τὸ δίψος, καὶ τῆς γλώσσης καὶ τοῦ στόματος ἡ ξηρότης· ἀναπνέουσι πολλόν, μακρὸν ἕλκοντες καὶ ἀθρόον, ὅλον τὸν ἠέρα ἐς ἔμψυξιν ἐπισπώμενοι. Ἀτὰρ ἠδὲ πίνουσι ψυχρὸν χανδὸν πολὺ πλεῖστον καὶ ἐς μὲν βραχὺ ἀνεκουφίσθησαν, εἶτ᾽ αὖθις ἐξάπτεται τὸ δίψος καὶ αὖθις ἄδην πίνουσι· καὶ ἥδε ἡ διαδοχὴ τοῦ κακοῦ. Καὶ ἰητρὸς δὲ ἀγαθὸς ψυχρὸν ἂν δῴη πολλὸν ἀσινέως, ὅκως ἐν τοῖσι ἄλλοισι καύσοισι· ἀσφαλέστερον δὲ τοῖσι ἀπὸ τῆς κοίλης Φλεβὸς νοσέουσι τὸν καῦσον. Κῆν μὲν ἡ γαστὴρ ἢ ἡ κύστις τὸ ποτὸν ὑποφέρῃ, οὐδὲ ἐμέτου δεῖ· εἰ δὲ μή, ἐπὶ πολλῷ τῷ ψυχρῷ τὸ πολλὸν ἐμέσαι χρή· ἐκραγείη γὰρ ἂν ὤνθρωπος, εἰ τοσόνδε πίνων μηδὲν διαχωροίη, ἢ ἱδρῶσι, ἢ οὔροισι, ἢ κοιλίῃ.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟΥΣ ΝΕΦΡΟΥΣ ΟΞΕΩΝ ΠΑΘΩΝ.

Κεφ. θ'.

Νεφροὶ τὴν μὲν τοῦ σώματος ἰδέην οὐ κάρτα ἐπίκαιροι ἐς κίνδυνον, ἣν καί τι πά-

γένος, δι᾽ ὅλου τοῦ χειμῶνος νεκροῖς ὅμοια κατὰ τοὺς ἑαυτῶν Φωλεοὺς ἔῤῥιπται, διὰ τῶν ἐν ὅλῳ τῷ σώματι ἀρτηριῶν διαπνεόμενα. Verbo moneo de forma μαλθάζειν, quae rarius occurrit, quam μαλθάσσειν, at e Stobaeo tamen in Lex. Schneideri notatur. Simili modo habet ἁρμόζω, ἁρμόσσω, alia plura; cf. Koen ad Greg. Cor. p. 154. et 613, quique ab eo laudatur Hemsterh. ad Luc. I, p. 92. — In novissima Thesauri Stephani editione forma μαλθάζω non notatur, adeo ut nesciam, an editores eam neglexerint, an vero reiecerint.

εὖτε ὀκόσοι τήνδε τὴν κατάστασιν εἶδον, ἰδέην καύσου ἐκάλεον.] Locum e Wigani emendatione descripsi. Vulgo solum εἶδον, καῦσον ἐκάλεον; verum pro εἶδον ἰδέην H. V, P omnes: et καύσου V. Pa. *b. e.* — Editor Anglus in adnn. et εἶδον et ἰδέην recipiendum censet, collato loco e cap. de Cur. huius morbi τὴν τῆς κοίλης Φλεβὸς Φλεγμασίην καὶ παχείης ἀρτηρίης, αἳ παρὰ τὴν ῥάχιν τέτανται, καύσου ἰδέην ἐκάλεον οἱ πρόσθεν.

καὶ ἐν Φθινοπώρῳ γίγνεται ἐπὶ τὸ θηριῶδες'] Olim pone γίγνεται distinguebatur et ἐπεὶ τὸ θ. legebatur, nullo quidem sensu. Emendatio lenis et facilis. Lib. III. c. 14. in fine: ὡρῶν τὸ θηριῶδες μετόπωρον. Cf. Oecon. Hipp. in voce. Pro ἐπεὶ τό minus feliciter Wiganus proposuit ἔπειτα. Reiskius voluit καὶ τρέπεται ἐπὶ τὸ θ., eodem fere sensu, quo nos, sed Aretaeo iusto plura obtrudit.

οὐδέκω δὲ ἀφίενται τοῦ κακοῦ, οἵδε μακρὸν μὲν χρόνον τὸν καῦσον νοσέουσι.] Male quidem cett. pone κακοῦ puncto distinguunt, nam quae sequuntur apodosin sententiae efficiunt. — Τὸν χρόνον cett.; equidem articulum abundantem et e seq. τὸν καῦσον huc tractum delevi.

ἔτι δὲ ἔμπης ἔασι ἀσώδεες.] Pone ἀσώδεες libri omnes ferunt ἀλύοντες ξὺν ἀπορίῃ, quod glossema esse arbitror, adeo ut expulerim.

ἀτὰρ ἠδὲ πίνουσι ψυχρὸν χανδὸν πολὺ πλεῖστον καὶ ἐς μὲν βραχὺ ἀνεκουφίσθησαν, εἶτ᾽ αὖθις ἐξάπτεται τὸ δίψος καὶ αὖθις ἄδην πίνουσι· καὶ ἥδε ἡ διαδοχὴ τοῦ κακοῦ.] Pro ἠδέ libri omnes et scripti et editi εἴτε: pro εἶτ᾽ αὖθις cett. εἶτ᾽ αὐτοῖσι: καί ante αὖθις ἄδην item de meo interposui; ἄδδην G. Hen.; ἄδην cett. omnes. — Quas intuli correctiones loci totius sensus et color ita sibi requirunt, errorumque origo tam facile perspicitur, ut nihil amplius hac de re moneam.

δῴη.] Δύνῃ Pa. *b.*; hic liber in margine δοίη.

ἐν τοῖσι ἄλλοισι καύσοισι.] Sic O. V. Pa. *b.*; ἐν τῇσι ἄλλῃσι καύσεσι cett.

ἐπὶ πολλῷ τῷ ψυχρῷ τὸ πολλὸν ἐμέσαι χρή.] Ita certe Aretaeus scripsit: nam quo ordine vulgo haec circumferuntur, ἐπὶ πολλῷ τὸ πολλὸν τῷ ψυχρῷ ἐμέσαι χρή· nemo Graece sciens, nedum auctor elegantissimus, ista collocaverit.

θωσι ὀξέως· ἀδενώδεες γὰρ τὴν Φύσιν. ἐς δὲ ὄλεθρον εὐήθεες· ἐπίκαιρον γὰρ αὐτέων τὸ ἔργον, ἥ τε διάκρισις τῶν οὔρων ἀπὸ τοῦ αἵματος καὶ ἡ ἀπόκρισις.

Ἐπέχει δὲ τήνδε ἢ λίθος, ἢ ἐγγιγνομένη Φλεγμονὴ, ἢ αἱμάλωψ, ἤ τι τοιόνδε. εὖτε ξυμπαθείης μὲν, τῆς διὰ τὴν ἰδέην τοῦ σώματος, κακὸν γίγνεται οὐδὲν, ἡ δὲ ἐπίσχεσις τῶν οὔρων πάντα τὰ δεινὰ πρήσσει. Πῦρ μὲν γὰρ δριμὺ, ἀσῶδες· ὀδύνη κατ' ὀσφὺν ἐπὶ ῥάχι βαρεῖα· διάτασις τῶν μερέων, μᾶλλον δὲ τῶν ἀμφὶ τὰ ὑποχόνδρια· οὔρου ἐπίσχεσις, οὐκ ἐς τὸ πάμπαν, ἀλλὰ στάγδην μὲν οὐρέουσι, ἐπιθυμίη δὲ πολλὸν ἐκχέαι· πλημμύρης γὰρ αἴσθησις. Ἢν δὲ καὶ τὸ οὖρον δριμὺ καὶ δακνῶδες ἐγγένηται, ψύξιες, τρόμοι, σπασμοὶ, διατάσιες καὶ πληρώσιες τῶν ὑποχονδρίων. Ἰκέλη ἡ ξυμφορὴ ἥδε καὶ ξυναίσθησις γίγνεται τοῖσι ἀπὸ πλήθεος σιτίων καὶ διαφθορῆς ἐμφυσηθεῖσι τὴν κοιλίην. Σφυγμοὶ τὰ πρῶτα μὲν ἀραιοὶ, νωθροί· ἢν δὲ ἐπὶ μᾶλλον τὸ κακὸν πιέζῃ, σμικροὶ, πυκνοὶ, ταραχώδεες, ἄτακτοι. Ὕπνοι λεπτοὶ, ὀδυνώδεες, οὐ διηνεκέες· καὶ ἐξαπίνης ἐκθορνύμενοι ὡς ὑπὸ νύξιος, εἶτα ὑποΦέρονται ἐς κῶμα, ὡς ὑπὸ καμάτου. τὴν γνώμην οὐ κάρτα παράΦοροι, ληρώδεες· πελιδνοὶ τὰ πρόςωπα. Ἢν δὲ ἥκῃ αὖθίς κοτε τῆς οὐρήσιος ἡ προθυμίη, ἐπὶ σπασμοῖσι καὶ μεγάλῃσι ὀδύνῃσι βραχὺ ἂν καὶ στάγδην ἐξέκρινε, εὖτε σμικρὸν ἐπανῆκε τῶν πόνων· εἶτα ἐς τὰ αὐτὰ παλινδρομέες. Ὀξύτατα δὲ θνήσκουσι τῶνδε, οἷσι οὐδὲν ἐκκρίνει, ὁκόσοι δὴ θνήσκουσι· οἱ πλεῦνες γὰρ περιγίγνονται ἢ τοῦ λίθου ἐς τὴν κύστιν διὰ τῶν οὔρων ἐκπεσόντος, ἢ τῆς Φλεγμονῆς ἐς πῦον τρεπομένης, ἢ κατὰ βραχὺ διαπνεομένης. ἢν γὰρ καὶ ἐπὶ σμικρὸν ἐνδιδῷ, ὡς διεξιέναι τὸ οὖρον, ῥηϊδίως διαδιδρήσκουσι τὸν ὄλεθρον· χρόνῳ δὲ μακρῷ Φθίνουσι

εἴ τι τοιόνδε πίνων μηδὲν διαχωρείη.] Notanda grammatica horum verborum ratio: *διαχωρέειν* intransitivum est, itaque *πίνων* nominativus est, quem vocant, absolutus, explicandus inde, quod auctor in mente haberet *μηδὲν ἐκδιδοίη*, vel simile quid aliud.

Cap. 9. *νεφροὶ τὴν μὲν τοῦ σώματος ἰδέην οὐ κάρτα ἐπίκαιροι ἐς κίνδυνον.*] Tum in hisce, tum in seqq. *ξυμπαθείης .. τῆς διὰ τὴν ἰδέην τοῦ σώματος*, nomen *σῶμα* ipsam partium substantiam, ut hodie fere loquimur, denotat. Simili sensu Soranus p. 132.: *τὰ μὲν οὖν ἄλλα μέρη τοῦ μαστοῦ ἀδεῶς περιαιρείσθω, εἴπερ ὡς σεσηπότα ἢ ἐν σώματι.* Pro *ἢ ἐν* lege *εἴη*, vel quod propius ad corrupta accedit *εἶεν*.

ἀδενώδεες γὰρ τὴν Φύσιν.] Digna, quae adponantur, sunt verba Galeni e lib. III. de Alim. fac. cap. 6. sub finem. — Toto quidem capite de glandulis agit; iam vero: *ἔνιοι δὲ*, inquit, *ἐν τοῖς ἀδέσι καὶ τοὺς νεφροὺς ἀριθμοῦσιν· ἔχειν γὰρ ἀδενῶδές τι καὶ οὗτοι δοκοῦσιν αὐτοῖς.*

ἐς δὲ ὄλεθρον εὐήθεες· ἐπίκαιρον γὰρ αὐτέων τὸ ἔργον.] Pro *γάρ* cett. *δέ*, quod quum h. l. constare non possit, de meo particulam causalem intuli.

ξυμπαθείης.] Ita Pe. *f.*; *ξυμπαθίης* cett.

πῦρ μὲν γὰρ δριμὺ, ἀσῶδες.] Ἀσῶδες Pa. *b.* *ἀσσῶδες* cett. — Haud ita solita dictio *πῦρ ἀσῶδες*: vulgo enim *ἀσώδεες* dicuntur aegrotantes et *ἀσώδεες πυρετοί*, et *ἔμετοι* et *ἀγρυπνίαι ἀσώδεες*. Attamen compara cum h. l. Prorrh. 42.: *οἷσιν ὀσφύος ἄλγημα ἐπὶ πολὺ, μετὰ καύματος ἀσώδεος, ἐφιδροῦντες οὗτοι κακοί.* Coacam 323. *ὀσφύος ἄλγημα μετὰ καύματος ἀσώδεος πονηρόν.* Forte his locis, aeque ac nostro Aretaei loco, *τὸ ἀσῶδες* denotat fervorem nauseam inferens, nam vomituritio et re ipsa vomitus biliosorum in renum affectionibus non raro occurrunt.

διάτασις τῶν μερέων.] Ionismum dat Pf.; *μερῶν* cett.

ἐπιθυμίη δὲ π. ἐ.] Ἐπιθυμίαι H. Pc. *d. e. f.*

πλημμύρης γὰρ αἴσθησις.] Cf. Hipp. de victu acut § 62. ubi de aqua: *πλημμυρίδα γὰρ τινὰ ἐμποιέει.* Quae verba a pristina sede aberrarunt et pone *ὅταν ἐς κενεότητα ἐςέλθῃ* inseri debent.

ἢν δὲ καὶ τὸ οὖρον δριμὺ κ. τ. λ.] H. l. *καί* omittitur in Ed. Oxon. — Omnes libri ferunt, neque abundat, me iudice.

ἐξαπίνης ἐκθορνύμενοι ὡς ὑπὸ νύξιος.] Luc. Hermot. p. 813: *πολλὰ καὶ θαυμαστὰ ὀνειροπολοῦντα νύξας ὁ λόγος ἀπὸ τοῦ ὕπνου ἐκθορεῖν ἐποίησεν.* — Dial. Mar. p. 293. *ὡς βαθὺν ἐκοιμήθης .. ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος.* Charito p. 87. vs. 11. *ἐκ τῶν ὕπνων ἀνέθορε.*

εἶτα ἐς τὰ αὐτὰ παλινδρομέες.] In scriptura *παλινδρομέες* omnes libri consentiunt. Schneiderus in Lex. dubitanter recepit *παλινδρομής.* — Receptum est ex h. l. in nuperrimas Thesauri Edd. — Usitatius fuisse videtur *παλίνδρομος.*

ἢν γὰρ καὶ ἐπὶ σμικρὸν ἐνδιδῷ, ὡς διεξιέναι τὸ οὖρον, ῥηϊδίως διαδιδρήσκουσι τὸν ὄλεθρον.] Cett. ad hunc modum ista legunt: *ἢν γὰρ καὶ ἐπὶ σμικρὸν ἐνδεῶς διεξιέναι* (*διεξίῃ* O. V. Pa. *b.*) *ῥηϊδίως τὸ οὖρον* (Pb. *τὰ οὖρα*), *διαδιδρήσκουσι τὸν ὄλεθρον.* — Crassus: « quamquam enim paulatim et avare effundatur urina, mortem tamen facile effugiunt.” Hic igitur etiam *διεξίῃ* legisse videtur et *ῥηϊδίως* eo loco scriptum, quorsum referendum esse verborum nexus sponte indicat. Reiskius et Bern. ex *ἐνδεῶς* effecerunt *ἐνδῷ ὡς*: hic in vita Reiskii p. 269 corrigit *ἐνδίδοι ὡς*, immemor praecedentis *ἤν*, quod subiunctivum

τὴν ἕξιν. Ὀρθοστάδην τάδε οἱ νοσέοντες πάσχουσι καὶ καταγίγνονται ἐς σύντηξιν ὑποφερόμενοι. Ὧραι δὲ καὶ χῶραι, καὶ ἡλικίαι φέρουσι, αἵπερ καὶ τὰ κατὰ τὰς κοίλας φλέβας.

Ἐξεῤῥάγη κοτὲ αἷμα ἀπὸ τῶν νεφρῶν πολλὸν ἀθρόον καὶ πολλῇσι ἡμέρῃσι ξυνεχὲς ἔῤῥεε· ἀλλ' οὔ τινες αἱμοῤῥαγίῃ θνήσκουσι, ἀλλ' ἢ φλεγμονῇ, τῇ ξὺν τῇ αἱμοῤῥαγίῃ γιγνομένῃ, ἢν ἐπισχεθῇ τὸ αἷμα· τὰ πολλὰ δὲ ἐξ ἐπισχέσιος ἐπὶ μεγάλῃ φλεγμονῇ θνήσκουσι.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΚΥΣΤΙΝ ΟΞΕΩΝ ΠΑΘΩΝ.

Κεφ. ι'.

Κύστις χαλεπὴ μὲν ἐν νούσοισι ὀξέῃσι πονῆσαι, κῆν ἄλλοισι ξυμπεπόνθῃ· χαλεπωτέρη δὲ καὶ θανατωδεστέρη, ἢν ἀφ' ἑωυτῆς ἄρξηται. καὶ γὰρ καὶ δυνατωτάτη πάντα ξυμπαθέα ποιῆσαι, καὶ νεῦρα, καὶ γνώμην. Νεῦρον γὰρ ἡ κύστις ψυχρὸν καὶ λευκόν· ἀτὰρ καὶ ποῤῥωτάτω μὲν τοῦ οἰκείου θάλπεος, ἐγγυτάτω δὲ τῆς ἔξω ψύξιος. ἐν γὰρ τῇ νειαίρῃ γαστρὶ κατωτάτω ἵζει προσωτάτω τοῦ θώρηκος. ἀλλὰ καὶ τὸ ἔργον αὐτέης ἐπίκαιρον, ἡ τῶν οὔρων ἔξοδος.

Κῆν οὖν μοῦνον ἥδε ἐπισχεθῇ λίθοισι, ἢ θρόμβοισι, ἢ τεῳ ἄλλῃ ἰδίῃ, ἢ ἀλλοτρίῃ ξυμφορῇ, θανατῶδες. Ἐπὶ γυναικῶν μὲν γὰρ αὐτέην καὶ ὑστέρη φλεγμήνασα ἂν πιέζει· ἐπ' ἀνδρῶν δὲ ἔσχατον τὸ παράμηκες ἔντερον. Ἐν πολλοῖσι δὲ ἐκ καρτερίης

requirit. — Petitus desideravit διεξίῃ καί. — Wiganus Latine expressit, quod ob mentem obversabatur Bernardo, quem ego ad verum proxime accedere credo: nam procul dubio in ἐνδεῶς latet ἐνδιδῷ ὡς: docet Hipp. locus e Progn. ἢν δὲ μήτε οὖρον ᾖ μηδεν, μήτε ἐνδιδῴη ὁ πόνος, μήτε ἡ κύστις μαλάσσοιτο, ὅ τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι. — In seqq., ῥηϊδίως διαδιδρήσκουσι τὸν ὄλεθρον· χρόνῳ δὲ μακρῷ φθίνουσι τὴν ἕξιν, fere ῥηϊδίως διαδιδρήσκουσι τὸν αὐτίκα ὄλεθρον exspectaveris; nolim tamen affirmare re vera aliquid excidisse.

ὀρθοστάδην τάδε οἱ νοσέοντες πάσχουσι καὶ καταγίγνονται ἐς σύντηξιν ὑποφερόμενοι.] Pro ὀρθοστάδην libri ὀρθῶς, quod Crassus interpretatur iure, a Petito merito reprehensus, qui ὀρθῶς idem quod ὀρθοστάδην valere dixit. Aliam, eamque longe meliorem, rationem iniit Wiganus, qui ὀρθοστάδην legendum censuit, quod ex ὀρθῶς et τάδε coniunctis componere videtur. Equidem eius emendationem lubenter amplectens malui tamen τάδε servare; quia corruptelae ansam quidem praebuit, sed ut obiectum sibi habeat transitivum πάσχειν requiri arbitror. Ceterum arcte cohaerent ὑποφερόμενοι καταγίγνονται ἐς σύντηξιν. Ad ὑποφερόμενοι Cf. Foës. in Oecon. Hipp. — Cum καταγίγνονται ἐς σύντηξιν confero quod e Plutarcho in Lexx. circumfertur καταγίγνεσθαι εἰς βυθόν.

ξυνεχές.] Ξυνεχέες H. V. Pb. c. f. — Adpono, quia exemplum offert permutationis terminationum in ες et εες a librariis.

τῇ ξὺν τῇ αἱμοῤῥαγίῃ γιγνομένῃ.] Sic. Pa. e. f. recte; cett. alterum illud τῇ omittunt.

Cap. 10. νούσοισι ὀξέῃσι.] Cett. Edd. ὀξέαισι, quae Goupyli videtur correctio lectionis MSS., e quibus H. V. A. Pa. b. c. e. f. ὀξέσι ferunt, Pd. ὀξέεσι: malui solitum nostro et Hipp. Ionismum exhibere.

νεῦρον γὰρ ἡ κύστις ψυχρὸν καὶ λευκόν.] Similia fere Galenus de illa habet comm. in lib. de Humorr. p. 366. Kühnio: ὅτι δὲ (ἡ interpono) κύστις ψυχρά ἐστιν οὖσα νευρώδης καὶ ὀλίγαιμος.

ποῤῥωτάτω μέν] H. l. μέν ex H. habet O; cett. omittunt, verum in Pc. additur a manu recentiori.

προσωτάτω τοῦ θώρηκος] Πρὸς ὦτα τοῦ θ. H. V. G. v. l. P omnes, sed Pc. in marg. ποῤῥωτάτω. Mox in verbis ἀλλὰ καὶ τὸ ἔργον αὐτέης, articulum τό de meo adscripsi. Nota mox ἔξοδος transitive sumtum, quasi ἔκκρισις.

ἢ τεῳ ἄλλῃ — ξυμφορῇ.] Cett. τευ: de meo τεῳ exhibeo.

ἐπὶ γυναικῶν μὲν γὰρ αὐτέην καὶ ὑστέρη φλεγμήνασα ἂν πιέζει· ἐπ' ἀνδρῶν δὲ ἔσχατον τὸ παράμηκες ἔντερον.] Libri scripti et editi haec ad hunc modum scripta ferunt: ἐπὶ γυναικῶν μὲν γὰρ αὐτέων καὶ ὑστέρων φλεγμονὰς ἀναπιέζει, ἐπ' ἀνδρῶν δὲ τὸ ἔσχατον τὸ εὐθὺ, τὸ παράμηκες ἔντερον. Vitiosissime profecto! Crassus: «in mulieribus enim ipsis et uteri phlegmonas comprimit, in viris autem extremum rectum praelongumque intestinum," Haec ad vitiosam librorum scripturam expres-

ἀεκουσίου ὑπ' αἰδοῦς ἐν ξυλλόγοισι, ἢ ξυνδείπνοισι πληρουμένη διατέταται, ἀδρανίῃ τε περιστολῆς οὐκέτι μεθίησι. Ἐπὴν οὖν ἐπίσχῃ τὰ οὖρα, πληρώσιες καὶ τῶν ὕπερθεν μερέων· νεφρῶν, οὐρητήρων διατάσιες· λαγόνων ὀδύνη βαρείη· σπασμὸς, τρόμος, ῥίγεα· γνώμην παράφοροι. Ἢν δὲ πρὸς τούτοισι καὶ ἕλκος πεπόνθῃ, ἢ φλεγμονὴν, πολλὰ μὲν τὰ κακά· ὄλεθρος δὲ πολλόν τι ἑλκέων ὤκιστος. Ἀλλ' ἀμφὶ μὲν ἕλκεος καὶ ἀποστάσιος πυώδεος, καὶ τῶν ὁκόσα μὴ ὀξύτατα ᾖ, ἐν τοῖσι χρονίοισι λελέξεται. Ὁκόσα δὲ κατόξεα καὶ ἐν τεσσαρεςκαίδεκα ἡμέρῃσι, ἢ ὀλίγῳ θᾶσσον, ἢ βράδιον κτείνει, ὁκοῖον φλεγμονὴ, ἢ θρόμβοι, ἢ λίθος ἐς τὸν τράχηλον ἐμπεσὼν, περὶ τῶνδε νῦν ἐρέω. Ἢν οὖν τι τουτέων ξυμβῇ, οὔρων ἐπισχέσιες, ὄγκος ἐν τῷ ὑπογαστρίῳ, ὀδύνη ὀξείη πάντῃ τῆς κοιλίης, περίτασις τῆς κύστιος. ὠχρὸς ἱδρὼς τῇ δεκάτῃ, ἔμετοι φλε-

sa sunt. Petitus mendum esse vidit quidem, sed nihil tentavit: Wiganus etiam a coniecturis fere abstinet. Bernard. ad Theoph. Nonnum I. p. 84. de initio monet; unde nihil tamen proficimus. — Emendatio, quam recepi, maxime rerum ipsarum naturae debetur et loco e cap. 4. lib. II. de s. m. chron., ubi: ἄμφω γὰρ συγκέονται ἀλλήλοισι ἕδρη τε καὶ κύστις, ὧν ἑκατέρου πάσχοντος πάσχει καὶ θάτερον. — Iam vero tenendum αὐτέην esse τὴν κύστιν et ἂν arcte cohaerere cum φλεγμήνασα, non cum πιέζει: nempe moneo, ne quis imprudens πιέζοι requirat. — Sed videndum de ἐπ' ἀνδρῶν δὲ τὸ ἔσχατον τὸ εὐθὺ, τὸ παράμηκες ἔντερον: conferamus alios quosdam nostri locos: initio cap. 9. lib. II. de s. m. chron.: ἐντέρων τὰ μὲν ἄνω λεπτὰ καὶ χολώδεα μέσφι τοῦ τυφλοῦ, χολάδες ἐπίκλην ἀπὸ δὲ τουτέων τὰ κάτω παχέα καὶ σαρκώδεα μέσφι τῆς ἀρχῆς τοῦ εὐθέος ἐντέρου. — En! intestina tenuia, coecum, crassa, rectum! Eodem capite τάδε μέντοι ἀπὸ τοῦ εὐθέος, τοῦ παραμήκεος ἐντέρου. Idem locum habet quod in nostris, τὸ εὐθύ et τὸ παράμηκες secum coniunguntur, ita ut alterutrum ab aliena manu interpretandi gratia adscriptum videatur. Verum cap. 7. lib. I. de s. m. chron. noster: δοκέω δὲ ἐγώ κοτε καὶ τὸν στόμαχον καὶ τὰ ἔντερα καὶ κύστιν καὶ τὸ παράμηκες ἔντερον μέχρι τοῦ ἀρχοῦ τὠυτὸ πεπονθέναι. — Quid igitur? Aretaeus intestinum rectum, vulgo τὸ ἀπευθυσμένον Graecis dictum, vocavit τὸ εὐθύ, s. τὸ ἔντερον τὸ εὐθύ potius; appellavit etiam τὸ παράμηκες ἔντερον. Nostro vero loco et altero illo e cap. 9. lib II. de s. m. chron. ab interprete τὸ εὐθύ et τοῦ εὐθέος in margine adscripta fuerunt et in textum irrepserunt: tum vero loco nostro τό perperam ante ἔσχατον illatum est, adeo ut legendum sit ἐπ' ἀνδρῶν δὲ ἔσχατον τὸ παράμηκες ἔντερον. Quod ad nomen Rufus Eph. p. 62: τὸ δὲ ἀπευθυσμένον μετὰ ταῦτα ὑπάρχει σαρκωδέστερον ἐπ' εὐθείας τεταμένον, καθὸ καὶ οὕτως ὠνομάσθη. Itaque nomen τὸ ἀπευθυσμένον accepit ἀπὸ τῆς ἐπ' εὐθείας τάσιος i. e. ἀπὸ τοῦ παραμήκεος, unde Aretaei appellatio τὸ παράμηκες ἔντερον, quam apud alios legere me non memini.

πληρουμένη διατέταται, ἀδρανίῃ τε περιστολῆς οὐκέτι μεθίησι.] Vulgo πληρουμένης: de meo nominativum dedi. — Adposuit Petitus locum e lib. III. de Causis Sympt., cap. 8., ubi Galenus: περιττότερον δέ τι, inquit, κατὰ τὴν κύστιν ἔοικε συμπίπτειν ὑπερπληρωθεῖσαν, ὅπερ οὐχ ἡμεῖς μόνοι τεθεάμεθα γινόμενον, ἀλλὰ καὶ παρ' ἄλλων ἐπυθόμεθα. πληρωθείσης γὰρ αὐτῆς αἰδεσθέντων τινῶν ἐξαναστῆναι τοῦ δείπνου καὶ οὐρῆσαι, τὴν ἐνεργείαν ἀπολέσθαι συνέβη καὶ οὐκ ἔτ' ἠδυνήθησαν ἐκκρῖναι τὸ οὖρον, κἂν ἱκανῶς βιαζόμενοι τύχοιεν.

ἢν δὲ πρὸς τούτοισι καὶ ἕλκος πεπόνθῃ.] Vulgo πρὸς τοῖσι: de meo τούτοισι dedi: paulo inferius ἢν οὖν τι τουτέων ξυμβῇ.

ὄλεθρος δὲ πολλόν τι ἑλκέων ὤκιστος.] Cr.: « sed mors ab ulceribus sane quam celerior invadit." Wiganus: «sed ex ulceribus mors multo celerrime invadit." Me iudice haec aliud quid significant: puto Aretaeum velle ὄλεθρος δὲ ὁ ἀπὸ κύστιος ἑλκέων πολλόν τι ὠκύτερος τοῦ δι' ἑλκέων ἄλλων. — Cf. Herodoteum (I. 8.) γυναῖκα πολλὸν πασέων καλλίστην.

ἀλλ' ἀμφὶ μὲν ἕλκεος καὶ ἀποστάσιος πυώδεος.] Libri omnes καὶ πυώδεος; unde Cr.: « de ulceribus, abscessu, suppuratione." Wiganus: « de ulcere et abscessu et suppuratione." At primo quidem facile patet delendum esse copulam et iungendum καὶ ἀποστάσιος πυώδεος. Tum vero de duabus, quas distinguit, rebus videndum: ἕλκος ulcus est h. l., si quidem ad chronicas affectiones, refertur; verum differunt inter se ἕλκος et ἀπόστασις πυώδης. Ἕλκος h. l. ulcus vesicae est in ipsa πρωτοπαθούσῃ sedem habens; ἀπόστασις πυώδης est puris e vesica excretio, sive pus ex alia parte qualibet huc sit delatum, sive in ipsa criseos morbi sit effectus.

ὁκόσα δὲ κατόξεα καὶ ἐν τεσσαρεςκαίδεκα ἡμέρῃσι ... κτείνει] Id V. Goup. Hen. δέκα O. e cod. H: ἐνδέκα δ' Pc. d. ἐνδεκάτῃ δ' A. — Wiganus: « Aretaeum, inquit, credo Hippocratis doctrinae observantissimum, peracutorum morborum terminum, circa decimum potius, quam quartum atque decimum praescripsisse." Concedendum Aretaeum supra τὰ ὁκόσα μὴ ὀξύτατα ᾖ ad morbos chronicos referre se dicere, h. l. vero se acturum profiteri de iis, quae κατόξεα sint. Sed quum paulo inferius ὠχρὸς ἱδρὼς τῇ δεκάτῃ scribat, nolim hunc diem morborum, de quibus nunc agit, terminum habere: nempe paulo post, ἢν δὲ, inquit, ἐπὶ μέζον τὸ κακὸν ἕρπῃ. — Cod. Harleyani lectio truncata esse videtur.

ὠχρὸς ἱδρὼς τῇ δεκάτῃ.] Sic O. V. Pa. b. c. ὁ ὠχρὸς ἱδρώς. cett. — Wiganus: « legendum credo, inquit ψυχρὸς ἱδρώς. De luteo sudore, uti vertit Crassus, mentionem nullibi factam reperio." Insigniter fallitur vir medicus: ipse ille sudor ὠχρός urinae retentioni omnino proprius est. Vid. Richerand Elem. de Physiol. I. p. 302: « On n'a point encore donné assez d'attention aux symptomes de la *fièrre urineuse*, affection qu' occasionne la retention trop prolongée de ce liquide dans la cavité de la vessie. J'ai eu plusieurs fois occasion d'observer qu' aucune ne donnoit des signes plus marqués de ce que les medecins appellent putridité. L'odeur urineuse et ammoniacale qu' exhale tout le corps des malades, *la moiteur*

γματώδεες, ἔπειτα χολώδεες· ψύξις ὅλου, ποδῶν δὲ μᾶλλον. Ἢν δὲ ἐπὶ μέζον τὸ κακὸν ἕρπῃ, πυρετοὶ λυγγώδεες· σφυγμοὶ ἀταξίῃ πυκνοὶ καὶ σμικροί· ἐρύθημα τοῦ προςώπου· διψώδεες· ἀπορίη· γνώμην παράφοροι· σπασμοί. Ἐπὶ δὲ φαρμάκοισι δηλητηρίοισι, κανθάρισι, ἢ βουπρήστι, καὶ πνεύμασι ἐμπίπραται ἡ κύστις, καὶ ἡ ξύμπασα κοιλίη βιαιοτέρη, καὶ πάντα κακίω, καὶ οὐκ ἐς μακρὸν ἡ τοῦ θανάτου ἀμβολή.

Αἱμοῤῥαγέει κοτὲ ἡ κύστις. ξανθὸν δὲ καὶ λεπτὸν τῇδε τὸ αἷμα. ἀλλ' οὐδέν τι διὰ τήνδε θνήσκουσι, κἂν μὴ ῥηΐδίη ἡ ἐπίσχεσις. Ἀλλ' ἐπὶ τοῖσι θρόμβοισι καὶ τῇ φλεγμονῇ ὁ κίνδυνος. ψύξις γὰρ καὶ νέκρωσις, καὶ γαγγραινώσιες, καὶ τὰ ἐπὶ τῇδε κακὰ ῥηϊδίως κτείνει.

Φέρει δὲ τὰς νούσους χεῖμα καὶ μετόπωρον. Ἡλικίη δὲ ἀκμή· ἐπὶ δὲ μᾶλλον γῆρας. Αἱ δὲ ἄλλαι ὧραι καὶ ἡλικίαι οὔτε ξυνεχέως καὶ ἥκιστα κτείνουσι. ἀσινέστατα δὲ πάντων τὰ παιδία.

jaunâtre et huileuse dont la peau est recouverte, la soif ardente qui les dévore, la secheresse et la rougeur de la langue et de la gorge, la frequence et l'irritation du pouls, jointes à l'empâtement et à la flaccidité du tissu cellulaire, tout annonce que la substance animale est menacée de la plus prompte et de la plus effrayante décomposition." Monuit de loco Aretaei Bern. in vita Reiskii p. 315. — Vir doctissimus vulgatam se a Wigani dubitatione defendere posse putat Synesii patrocinio. Puto illum respicere p. 176., ubi mentio fit sudoris κιτρινοῦ. — Attamen malle se legere significat ὠκύῤῥοος ὁ ἱδρώς: non consentio, neque quidquam de sede sua moveo, delcto tantum articulo, cum libris quibusdam scriptis.

σφυγμοὶ ἀταξίῃ πυκνοὶ καὶ σμικροί.] Ἀταξίῃ πυκνοί Goup. Henisch. libri plurimi; ἀτάξιοι O. H. F. Pc. — Wiganus codici H. iusto maiorem adhibuit fidem; nam ἀτάξιοι vox nihili, quam pro ἄτακτοι ab Aretaeo usurpatam esse credidit: me non offendit ἀταξίῃ πυκνοὶ καὶ σμικροί, quod accipio σὺν ἀταξίῃ πυκνοὶ καὶ σμικροί; Ionismum autem σμικροί praebuit Pf.; μικροί cett. — In paulo superioribus, ἢν δὲ ἐπὶ μέζον τὸ κακὸν ἕρπῃ, re vera μέζον legit Crassus, et habetur in O. H. A. Pa. *b. c. e. f.*, μέσον cett. —; itaque fere opinor μέσον errorem esse typographicum in Goupylea. Similem isti formulam, ἐπὶ μεῖζον εἷρψε τὸ κακόν, citatam vidi apud Lobeck. paralip. I. p. 35. e Chrysost. Epp. p. 622. E.

ἐπὶ δὲ φαρμάκοισι δηλητηρίοισι, κανθάρισι ἢ βουπρήστι καὶ πνεύμασι ἐμπίπραται ἡ κύστις, καὶ ἡ ξύμπασα κοιλίη βιαιοτέρη, καὶ πάντα κακίω, καὶ οὐκ ἐς μακρὸν ἡ τοῦ θανάτου ἀμβολή.] In his καὶ κανθάρισι cett.: otiosum καί delevi. — Βουπρήστεϊ (sic) cett., nescio quo iure; nempe quum librarii in omnibus ferme scriptoribus Ionicis Dativum sing. non in ι, sed in ει exeuntem faciant, hic βουπρήστει scripserunt; hinc βουπρήστεϊ, quod saepe duo puncta super υ et ι superscribunt in libris recentioribus. (vid. Bast. Comm. palaeogr. p. 718.) Quum vero editores in nostro ubivis pro κύστει, πιέσει, quae constans librorum scriptura, κύστι, πιέσι cett. substituerint, nolui h. l. de isto more decedere. — Verba καὶ πνεύμασι cod. H. auctorisate omisit Wiganus. — Vulgo καὶ πάντα κακίων H. Pc. *f.* πάντα τὰ κακίων: de meo κακίω reposui. Iam vero redeamus ad illud καὶ πνεύμασι ἐμπίπραται ἡ κύστις. — Mirum quantum enim offendit Petitum et Wiganum, πίμπρασθαι de inflammatione accipientes; offendit etiam Bernardum illud καὶ πνεύμασι (in vita Reiskii p. 268), pro quo cum Petito καὶ πιτυοκάμπῃσι scriptum cupit. Errarunt: Aristoph. vesp. (vs 36.) ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός. — ubi schol. ἐμπεπρησμένης. ἐμπεφυσημένης. παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ πρηστήρ. καὶ Ὅμηρος εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι (cf. Il. XVIII. 471.) — Respicere videtur Aretaeus Nicandri versus, qui de buprestis morsus sequelis Alexiph. 338.

— ἀμφὶ δέ γαστρὸς
ἄλγεα δινεύοντα περὶ στομάτεσσιν ὄρωρεν·
οὖρα δὲ τυφλοῦται, νεάτη δ' ὑπὸ κύστις ὀρεχθεῖ·
πᾶσα δὲ οἱ νηδὺς διαπίμπραται, ὡς ὅποθ' ὕδρωψ
τυμπανόεις ἀνὰ μέσσον ἀφυσγετὸς ὀμφαλὸν ἵζει. κ. τ. λ.

Ad ὀρεχθεῖ, pro quo alius cod. ὀροχθεῖ, Schol.: καὶ ἡ κύστις ῥοχθεῖ, ὅ ἐστι ψοφεῖ. — Ad διαπίμπραται vero φυσᾶται. De similitudine inter effectus veneni Buprestis et Cantharidis secundum Diosc., Gal. et Plinium monuit Schneid. ad vs. 335. p. 182.

αἱμοῤῥαγέει κοτὲ ἡ κύστις.] Ita O. cett. ἡ omittunt.

Φέρει δὲ τὰς νούσους.] Νούσους Pe. *f.* νόσους cett. — Illud τὰς νούσους h. l. δεικτικῶς pro ταύτας τὰς νούσους sumendum censeo: similiter Hipp. Ep. I. statu 3. πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο. i. e. τῶνδε τῶν νοσημάτων.

ἐπὶ δὲ μᾶλλον γῆρας.] Ita pro solemni nostro usu scripsi: libri ἔτι δὲ μ. γ.

ἀσινέστατα δὲ πάντων τὰ παιδία.] Nisi tenerrimos omnino infantes spectet Aretaeus, haec pugnare videntur cum Hippocraticis e Progn. et Praenn. Coacis (471.), ubi de vesicae inflammatione: μάλιστα δὲ γίνεται τοῦτο τοῖσιν ἀπὸ ἑπτὰ ἐτέων μέχρι πεντεκαίδεκα. Verum consentaneum videtur cum verbis e principio capitis νεῦρον γὰρ ἡ κύστις ψυχρόν. Aetas enim senilis et tempestas frigida in parte itidem frigida maximam praebere debent morbis ansam: a frigido vero remota aetas puerilis, in qua πλεῖστον τὸ ἔμφυτον θερμόν. — In verbis καὶ ἡλικίαι secutus sum Pe; cett. καὶ αἱ ἡλικίαι

Cap. 11. ἄγχιστα ζωώδες.] Ἄγχιστα pro μάλιστα etiam Hipp. usurpavit ipse et librorum spuriorum auctores cf. Foës in Oecon. — Ab Homero ad Hipp. et Aret. iste usus demanavit, notandum tamen Homerum ἄγχιστα cum verbo ἐοικέναι tantum conjungere (v. c. Il. II. 58. XIV. 474. Od. VI. 152), ita ut hac in re proximitatis notio admodum praevaleat. Neque vero excluditur sive h. l. apud Aretaeum, sive lib. ult. cap. 3. ἀμφὶ δὲ ἑλκώσιος, ἠδὲ λίθων γενέσιος, ὁκόσα τὰ πολλὰ ξυναποθνή-

ΠΕΡΙ ΥΣΤΕΡΙΚΗΣ ΠΝΙΓΟΣ.

Κεφ. ια'.

Ἐν τῇσι λαγόσι τῶν γυναικῶν μέσῃσι ἐγκέεται ἡ μήτρη, σπλάγχνον γυναικήϊον, ἄγχιστα ζῶῶδες. κινέεται γὰρ ἐξ ἑωυτέης ἔνθα καὶ ἔνθα ἐπὶ τὰς λαγόνας· ἀτὰρ καὶ ἐς τὰ ἄνω, κατ' ἴξιν μὲν ὑπὸ τὸν χόνδρον τοῦ θώρηκος· ἐς τὰ πλάγια δὲ ἐπὶ δεξιὰ, ἢ ἀριστερὰ, ἢ ἐς ἧπαρ, ἢ σπλῆνα. γίγνεται δὲ καὶ προπετεστέρη ἐς τὰ κάτω. καὶ, ξυλλήβδην εἴπωμεν, πάντη ἐστὶ πλανώδης. Καὶ εὐώδεσι ὀσμῇσι τέρπεται καὶ ἐπ' αὐτὰ ἵεται· ἄχθεται δὲ τοῖσι κακόδμοισι καὶ αὐτὰ φεύγει. καὶ τὸ ξύμπαν ἐν τῇ ἀνθρώπῳ ἐστὶ ἡ ὑστέρη, ὁκοῖόν τι ζῶον ἐν ζώῳ.

Ἤδε οὖν ἢν ἐξαπίνης ἀνώϊστος γένηται, καὶ ἐπιπολὺ ἄνω μείνῃ, καὶ ἐκβιάσηται

σκει πρεσβύτῃσι, μάλιστα νῦν γράφω, ἄγχιστα μὲν ἐς ἄκεσιν· εἰ δὲ μὴ, οἶσι ὅγε παρηγορήσεται.

ἐξ ἑωυτέης.] Pd. e. f. ὠυτέης. Moneo propterea quod vereor ne saepius illud ὠυτοῦ cett. librarii nostro obtruserint, ubi Aretaeus ἑωυτοῦ cett. scripserit.

ἐς τὰ πλάγια δὲ ἐπὶ δεξιὰ, ἢ ἀριστερὰ, ἢ ἐς ἧπαρ, ἢ σπλῆνα.] Vulgo ἢ ἐς ἀριστερὰ Pb. ἢ ἐς τὰ ἀριστερά. Equidem praepositionem e seqq. vitiose huc tractam censeo, ita ut deleam. Libri ἢ σπλάγχνα: recte vidit Wiganus σπλῆνα nostrum voluisse: contulit verba seqq. e cap. de curatione huius mali: ὀπίσω χάζεται, ἠδὲ ἄνωθεν· ἴῃ δ' ἄν ποτε καὶ ἔνθα καὶ ἔνθα, ποτὶ σπλῆνα καὶ ἧπαρ. — Res ita certa mihi visa est, ut nollem σπλάγχνα non pro σπλῆνα elicere.

πάντη ἐστὶ πλανώδης.] Haec veterum opinio fuit: Plato in Tim. p. 365. Ed. Stallb, καὶ πλανώμενον πάντη κατὰ τὸ σῶμα, unde Aretaeum suum πάντη ἐστὶ πλανώδης desumsisse dixeris. Vide ceterum pseudo-Hipp. de Nat. mul. Kühn. II. p. 531. ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσι, — p. 532. ἢν προέλθωσιν αἱ μῆτραι καὶ ἐξέλθωσιν ἔξω, — p. 542. ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσι, — p. 551. ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν, ἢ ἐν τῷ κενεῶνι. — p. 574. ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προςπέσωσι, — p. 582. ἢν αἱ μῆτραι κατὰ γαστέρα νεύωσι, — ibid.: ἢν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, — ibid.: ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τραπῶσι — Mox videbimus alios postea hanc opinionem oppugnasse.

καὶ εὐωδέων ὀσμῇσι τέρπεται καὶ ἐπ' αὐτὰ ἵεται, ἄχθεται δὲ τοῖσι κακόδμοισι καὶ αὐτὰ φεύγει. καὶ τὸ ξύμπαν ἐν τῇ ἀνθρώπῳ ἐστὶ ἡ ὑστέρη, ὁκοῖόν τι ζῶον ἐν ζώῳ.] Libri praebent εὐώδεσι ὀσμήσεσι: — postremum e terminatione proxime antecedentis εὐώδεσι natum videtur, ita ut ὀσμῇσι reponam. Infra cap. 2. lib. II. de cur. m. acut. ὀσμήσιος libri, ubi itidem ὀσμῆς repono: nam haec, quin librariis debeantur, nullus dubito. Sed etiam εὐωδέων Genitivo scribo, quod facere suadent sequens ἐπ' αὐτὰ ἵεται, tum vero e cap. de morbi curatione verba ὀσμὴ κακωδέων κ. τ. λ. — Verum de re ipsa videamus: est Aretaeus hic Platonicus. Philosophus enim in Tim. p. 365: αἱ δ', inquit, ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι διὰ ταὐτὰ ταῦτα ζῶον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιΐας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει καὶ πλανώμενον πάντη κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχεται, μέχρι περ ἂν ἑκατέρων ἡ ἐπιθυμία καὶ ὁ ἔρως ἐξαγαγόντες οἷον ἀπὸ δένδρων καρπὸν κᾆτα δρέψαντες, ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῶα κατασπείραντες καὶ πάλιν διακρίναντες, μέγαλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ ταῦτα εἰς φῶς ἀγαγόντες ζώων ἀποτελέσωσι γένεσιν. — Opinioni isti, uterum esse veluti animal in mulieris corpore, adversatur Soranus p. 7: τούτων (membranas puta uterum cum vicinis organis coniungentes) γοῦν συνελκομένων μὲν διὰ φλεγμονὴν, ἀνασπᾶται καὶ παρεγκλίνεται, παριεμένων δὲ καὶ χαλατονούντων, προπίπτει, ζῶον μὲν οὐκ οὖσα, καθὼς ἐνίοις ἔδοξε, τοῖς ἄλλοις δὲ παραπλησίως αἴσθησιν ἁπτικὴν ἔχουσα καὶ διὰ τοῦτο συστελλομένη μὲν ὑπὸ τῶν ψυχόντων, χαλωμένη δὲ, ὑπὸ τῶν ἀραιούντων. — Et vero p. 257: μεμφόμεθα δὲ, inquit, πάντας εὐθέως πλήσσοντας τὰ φλεγμαίνοντα καὶ κάρους κατασκευάζοντας διὰ τῆς ἐκ τῶν δυςωδῶν ἀποφορᾶς· οὐ γὰρ ὡς θηρίον ἐκ φωλεῶν ἡ μήτρα προέρπει, τερπομένη μέντοι (forte μὲν τοῖσι) εὐώδεσι, φεύγουσα δὲ δυςώδη· διὰ δὲ τὴν ἐκ τῆς φλεγμονῆς σφίγξιν συνέλκεται. Galenus itidem Platonis sententiam oppugnavit, cf. comm. in lib. de Humoribus. I. p. 179. seq. et de Locis aff. lib. VI. cap. 5. p. 425. ubi etiam: ἔνιοι δὲ, inquit, πλανᾶσθαι μὲν αὐτὴν (τὴν μήτραν) ὥςπερ ζῶον οὔ φασιν, ἐπισχεθέντων δὲ τῶν καταμηνίων ξηραινομένην ἀνατρέχειν εἰς τὰ σπλάγχνα, ποθοῦσαν ὑγρανθῆναι, κἀπειδάν ποτε κατὰ τὴν ἄνοδον ὁμιλήσῃ τῷ διαφράγματι, στηρίσκεσθαι τῆς ἀναπνοῆς τὸ ζῶον. — Quam sententiam itidem redarguit p. 427. l. 11.

ἤδε οὖν ἢν ἐξαπίνης ἀνώϊστος γένηται.] Miror altum apud Petitum et Wiganum esse silentium de nomine ἀνώϊστος. Et ἀνώϊστος, et ἀνωϊστί apud Homerum (Od. IV. 92. et Iliad. XXI. 39.) occurrunt et τῶν ἅπαξ εἰρημένων sunt; sensu autem usurpantur longe diverso; a Suida ἀνυπονοήτως et ἀνυπονόητος exponuntur. — Verum ad locum Aretaei conferendi sunt Valcken. ad Herod. I. 157. Wesseling ad eundem VI. 66. Vid. etiam Schneid. in Lex. qui e Valckenaerii sententia ἀνοιστός apud Herodotum requirit; secus sentit Schweigh. in varr. lectt. ad l. l. lib. VI. — Aretaeum ἀνώϊστος eo sensu, quo ἀνοιστός scribere potuisset, usurpavisse, certum iudico: nimirum

τὰ σπλάγχνα, ἀπεπνίχθη κοτὲ ἡ ἄνθρωπος τρόπον τὸν ἐπιληπτικὸν, ἄνευθεν σπασμῶν· ἐπιέζετο γὰρ ὠκέως στενοχωρίῃ ἧπαρ, διάφραγμα, πνεύμων, καρδίη· τοὔνεκεν ἀπνοίη ξυνεῖναι δοκέει καὶ ἀφωνίη. ἀτὰρ καὶ αἱ καρωτίδες ξυμπαθείῃ τῆς καρδίης πιέζονται· διὰ τόδε καρηβαρία τε καὶ ἀναισθησία ξύνεστι καὶ κάρος.

Γίγνεται δὲ καὶ ἄλλο πάθος αὐτέῃσι ἴκελον τῇδε τῇ ξυμφορῇ ξὺν πνιγὶ καὶ ἀφωνίῃ, ἀλλ' οὐκ ἀπὸ ὑστέρης· καὶ γὰρ τόδε καὶ ἀνδράσι γίγνεται κατοχώδεα τρόπον. Ἀλλὰ τῇσι μὲν ἀπὸ ὑστέρης κακώδεες ἐπαρήγουσι ὀδμαὶ καὶ εὐωδέων πρὸς τὰ γυναικήϊα ὑποθέσιες· τῇσι δὲ ἑτέρῃσι τάδε οὐδὲν ἐπαρήγει. Καὶ τὰ μέλεα κινέονται ἀπὸ ὑστέρης, ἀπὸ δὲ τοῦ ἑτέρου πάθεος ἥκιστα. Ἔτι δὲ τρόμοι αὐτόματοι καὶ οὐκ αὐτόματοι. . . . . ἀλλ' ἐξ ὑποθέσιος ἀμβλωθρίδιον. ψύξιες καρτεραὶ τῆς ὑστέρης, αἱμοῤῥαγίης ἀθρόης ἐπίσχεσις καὶ ὁκόσα τοιάδε.

Herodotum et Homerum quin respexerit, nullus dubito, (cf. Buttm. II. p. 314.) sed propter id ipsum certo mihi constat eum vocabulum eodem scripsisse modo, quo apud eos invenerit; quemadmodum περιεστηκός scripsit, licet verosimiliter apud Hipp. περιεστικός sit legendum. Vid. quae scripsi in Obss. in Soranum p. 329. seqq.

ἀπνοίη ξυνεῖναι δοκέει καὶ ἀφωνίη.] Ἀφωνίη pro codd. scriptura ἀτενίη exhibui de Wigani emendatione. Paulo inferius: ἄλλο πάθος . . . ἴκελον τῇδε τῇ ξυμφορῇ, ξὺν πνιγὶ καὶ ἀφωνίῃ· ἀλλ' οὐκ ἀπὸ ὑστέρης. — Et in vehementioris insultus descriptione πνὶξ καρτερὴ, ἀφωνίη. Ac hos quidem locos iam contulit editor Anglus, ego vero adponam Sorani verba de suffocatione uterina (p. 247.): κατ' ἔννοιαν δέ ἐστιν ἐποχὴ ἀναπνοῆς μετὰ ἀφωνίας καὶ κατοχῆς αἰσθήσεως διὰ ποιὰν περὶ τῆς ὑστέρας διάθεσιν.

ἀτὰρ καὶ αἱ καρωτίδες ξυμπαθείῃ τῆς καρδίης πιέζονται. διὰ τόδε καρηβαρία τε καὶ ἀναισθησία ξύνεστι καὶ κάρος.] In hisce ξυμπαθείῃ praebent Pa. *b. e. f.* ξυμπαθίῃ cett. — καρηβαρίαι cett.; ob seq. ἀναισθησία sing. num. praetuli. Pro καὶ κάρος vulgo καινῷ κάρῳ Pa. *b.* καὶ νῷ. — Equidem vulgatam lectionem librariis deberi puto nomen Dativo efferentibus propter proxime antecedens ξύνεστι; hinc primo ξύνεστι καὶ κάρῳ, tum ξύνεστι καινῷ κάρῳ exstitisse arbitror nisi forte in καινῷ lateat truncatum vocabulum v. c. καὶ νωθρὸς κάρος. Cap 5. lib. II. de cur. m. acut.: καρηβαρίῃ νωθρῇ συνᾶσθαι. — Non placet Wigani coniectura pro καινῷ legere iubentis δεινῷ, vel αἰνῷ. — Omnino adponenda Rufi verba (e p. 42.) a Wigano iam laudata: καρωτίδας δὲ τὰς διὰ τοῦ τραχήλου κοίλας ὠνόμαζον πάλαι, ὅτι πιεζόντων (πιεζομένων malim) καρώδεις καὶ ἄφωνοι ἐγίνοντο. ὤφθη δὲ νῦν τὸ πάθημα οὐ τῶν ἀρτηριῶν, ἀλλὰ νεύρων αἰσθητικῶν πεφυκότων πλησίον· ὥστε εἰ ἐθέλοις μεταθεῖναι τοὔνομα, οὐκ ἂν ἁμαρτάνοις. Nempe huius periodi initium firmat etiam quodammodo coniecturam nostram καὶ κάρος.

γίγνεται δὲ καὶ ἄλλο πάθος αὐτέῃσι ἴκελον τῇδε τῇ ξυμφορῇ κ. τ. λ.] Plenius Soranus p. 249.: παράκειται δὲ τῷ ὑστερικῷ πάθει, διὰ τὴν ἀφωνίαν καὶ τὴν κατάληψιν τῶν αἰσθήσεων τὸ ἐπιληπτικὸν ἢ (καὶ?) ἀποπληκτικὸν καὶ καταληπτικὸν καὶ ληθαργικὸν καὶ τὸ ἀπὸ ἑλμίνθων ἄναυδον, ὧν ἁπάντων ὑφ' ἓν διακριθήσεται τῷ τὴν ὑστέραν ἐπὶ τούτων κατὰ φύσιν εὑρίσκεσθαι, εἰ μὴ ἐπὶ πολὺ καὶ κακωμένην, (immo ἢ μὴ ἐπὶ πολὺ κεκακωμένην,) ἐπὶ δὲ τοῦ ὑστερικοῦ, σφοδρῶς φλεγμαίνουσαν καὶ ἀναδεδραμηκυῖαν, καὶ τῷ τὰς μὲν ὑστερικὰς ὡς ἐπὶ τὸ πλεῖστον παυομένου τοῦ παροξυσμοῦ περὶ ὧν ἔπαθον ἀναφέρειν (ad unguem Latinum *de aliqua re referre!*) τὰς δὲ ἐν τοῖς ἄλλοις πάθεσι μηδαμῶς, καὶ τὰς μὲν ὑστερικὰς προηγουμένως ἐσχηκέναι μέμψιν ὑστέρας, τῶν ἄλλων δὲ τὰς μὲν ἐξ ἑλμίνθων ἀφώνους. ἐντέρων καὶ κοιλίας, τὰς δὲ λοιπὰς κεφαλῆς πόνον ἔχειν, καὶ τῷ ταῖς μὲν ἐπιληπτικαῖς ἀφρὸν ἐπιφαίνεσθαι καὶ σφυγμῶν μέγεθος, ταῖς δὲ ὑστερικαῖς οὐκέτι· καὶ τῷ ταῖς μὲν ἀποπληκτικαῖς σφοδρὸν εἶναι τὸν σφυγμὸν, ταῖς ὑστερικαῖς δὲ ἀμυδρὸν εἶναι· τῶν δὲ καταληπτικῶν τῷ τὴν μὲν κατάληψιν ἐν πυρετοῖς γίνεσθαι μετὰ τοῦ διατετάσθαι τὰ βλέφαρα καὶ συνηρεικέναι τοὺς ὀδόντας πρὸ τῆς ἀκμῆς τοῦ πυρετοῦ, κατὰ δὲ τὴν ἀκμὴν ἀνίεσθαι· τὴν δ' ὑστερικὴν πνίγα καὶ ἄνευ πυρετοῦ καὶ μετὰ τοῦ ἐπιμεμυκέναι τὰ βλέφαρα· τῶν δὲ ληθαργικῶν ἴδιον, τὸ ἐν πυρετῷ καταφέρεσθαι καὶ μέγαν εἶναι τὸν σφυγμὸν, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ὑστερικῶν· τῶν δὲ δι' ἕλμινθας ἀφώνων τὸ ἐκβοᾶν ἐκ διαστημάτων καὶ ἀνώμαλον καὶ διαλείποντα τὸν σφυγμὸν ἔχειν. — Quod ad verborum Aretaei scripturam attinet, libri τῇδε ξυμμορφῇ, sed P*b.* in marg. ἴσως ξυμφορῇ. quod recepi τῇ de meo praemittens.

ἔτι δὲ τρόμοι αὐτόματοι καὶ οὐκ αὐτόματοι. . . . . ἀλλ' ἐξ ὑποθέσιος ἀμβλωθρίδιον· ψύξιες καρτεραὶ τῆς ὑστέρης, αἱμοῤῥαγίης ἀθρόης ἐπίσχεσις καὶ ὁκόσα τοιάδε.] De lacunae signo a me interposito ante omnia dicendum: «Videntur, inquit Wiganus, hic quaedam lineae deficere. Neque enim cum sequentibus bene cohaerent; neque adhuc distinctionem inter duos istos affectus complevisse videtur. ψύξιες etc. inter causas Hystericae suffocationis numerari credo.” Egregie ac vere profecto: itaque lacunam notavi. — Iam vero vulgo ἀλλ' ἐξ ὑποθέσιος ἀμβλωθριαίου. Kühniana fert ἀμβλωθριδίου. Mihi omnino ἀμβλωθρίδιον scribendum esse constat; Suidas ἀμβλωθρίδια. ἐκτρώματα, τὰ ἐξημβλωμένα ἔμβρυα. Hesych., apud quem saepius nomen legitur, ἀμβλωθρίδιον. ἄμβλωμα, βρέφος, ἔκτρωμα. — Quid igitur? Enumerantur causae occasionales hystericae suffocationis: hae nominativo efferuntur: ad eas pertinet ἀμβλωθρίδιον ἐξ ὑποθέσιος i. e. abortus per φθόριον provocatus. — Itaque, quum prius ista deperdita omissa essent, librarii ὑποθέσιος ἀμβλωθριαίου scripserunt, quasi posterius vocabulum esset adiectivum. — Ea, quae post lacunam leguntur, re vera causas esse Hystericae affectionis docet Sorani locus, quem describo. Hic p. 251: ἐπιπίπτει δὲ,

Ἢν οὖν ἄρξηται πάσχειν, κινευμένης ἄνω τῆς ὑστέρης, ὄκνος ἔργων πρήξιος, ἔκλυσις, ἀτονίη, γουνάτων ἀκρασίη, σκοτόδινος· καὶ τὰ γυῖα λύονται· κεφαλῆς πόνος, καρηβαρίη· τὰς φλέβας τὰς ἑκατέρωθεν τῆς ῥινὸς ἀλγέει ἡ γυνή.

Ἢν δὲ καταπέσωσι, καρδιώσσουσι .... ἐν τοῖσι ὑποχονδρίοισι· λαγόνες κεναὶ, ἔνθα ἡ ἕδρη τῆς ὑστέρης· σφυγμοὶ διαλείποντες, ἄτακτοι, ἐκλείποντες· πνὶξ καρτερὴ, ἀφωνίη, ἀναισθησίη· ἡ ἀναπνοὴ ἄσημος, ἀσαφής. Ὤκιστος καὶ ἄπιστος ὁ θάνατος, οὐδὲν γὰρ ἴσχουσι νεκρῶδες χροιὴν ζωώδεες, ἐρυθρότεραι μᾶλλον μέχρι πολλοῦ τοῦ θανάτου. ὀφθαλμοὶ μικρόν τι ἐξίσχοντες, λαμπροὶ, οὐ κάρτα μὲν ἀτενέες, ἀτὰρ οὐδὲ κάρτα κεκαμμένοι.

Ἢν δὲ μετακινέηταί κοτε ἐς ἕδρην ἡ ὑστέρη, πρὶν ἐς τέλος ἰέναι τὸ πάθος, διαδιδρήσκουσι τὴν πνίγα· εὖτε κοιλίη ὑποβορβορύζει· ὑγρότης τῶν γυναικηΐων τόπων· ἀναπνοὴ δασυτέρη καὶ σαφεστέρη. Ὠκίστη ἐκ τοῦ πάθεος ἡ ἔγερσις, ὅκως καὶ ὁ θάνατος ὤκιστος. καὶ γὰρ ῥηϊδίως τοῖσι ἄνω προσχωρέει, ἀτὰρ ἠδὲ ῥηϊδίως ἀφίσταται· ἀκρόπλοός τε γὰρ ἡ ὑστέρη· ὑγροὶ δὲ καὶ οἱ ὑμένες οἱ ἀνοχῆες αὐτῆς· ὑγρὸν δὲ καὶ τὸ χωρίον, ἔνθα κέεται ἡ ὑστέρη. πρὸς δὲ φυγῇ τε καὶ ὁρμῇ χρέεται ἡδέων τε καὶ ἀηδέων. ῥηϊδίως οὖν νεύει ὅκως πρέμνον ἔνθα καὶ ἔνθα, καὶ ἄνω τε καὶ κάτω πλώει. Διὰ τόδε νεήνισι τὸ πάθος γίγνεται, γεραιτέρῃσι δὲ ἥκιστα. ἧσι γὰρ ἡλικίη τε καὶ

inquit, τὸ πάθος ἀεὶ μὲν, μάλιστα δὲ χειμῶνος καὶ φθινοπώρου, νέαις δὲ μᾶλλον καὶ εὐκαταφόροις πρὸς λαγνείαν, στείραις, καὶ μάλιστα εἰ διὰ φαρμακείαν εἶεν ἄτοκοι· καὶ ψύξις δὲ ἐν καθάρσει καταμηνίων τὸ νόσημα εἰργάσατο· ἐνίοις δὲ καὶ ἐκτρωσμοὺς δυςχερεῖς (immo lege: ἐκτρωσμὸς δυςχερὴς) τὸ πάθος ἐπήνεγκε· καὶ αἱμοῤῥαγίαν ὑστέρας ἀνασταῖλαί τις ἀποτόμως βουληθεὶς, τὸ νόσημα εἰργάσατο.

ἢν οὖν ἄρξηται πάσχειν κ. τ. λ.] Soranus p. 247. haec incipientis insultus signa describit: παρέπεται δὲ ταῖς πασχούσαις ἐγγίζοντος μὲν τοῦ παροξυσμοῦ, διανοίας νωθρότης στυγνὴ, „οἷον ὑπ' ἐκπλήξεως τεθαμβημένη, ὄκνος πρὸς τὰς πράξεις, ἀτονία τῶν σκελῶν, ὠχρότης προσώπου. — Tum vero pergit: εἶτα, ἐξαπίνης προσπεσούσης τῆς πνιγὸς, ἀναίσθητοι καὶ ἀκίνητοι γίνονται· μικρὸν δὲ καὶ ἀμυδρότατον τὸν σφυγμὸν ἴσχουσιν· ἐνίοτε δὲ καὶ παντελῶς ἄσφυκτοι γίνονται· ἐνίαις δὲ οὐδὲ ἡ ἀναπνοὴ αἰσθητῶς σώζεται δηλονότι παρὰ τῆς ποιούσης αἰτίας τὴν διαφορὰν καὶ τὸ μέγεθος.

γουνάτων ἀκρασίη... καὶ τὰ γυῖα λύονται.] Ἀκρασίη hic quoque pro ἀκράτεια, qua de re monui ad cap. 9. lib. I. Illud καὶ τὰ γυῖα λύονται Homericum est. cf. v. c. Il. IV. 469. λῦσε δὲ γυῖα.

ἢν δὲ καταπέσωσι..... ἐν τοῖσι ὑποχονδρίοισι· λαγόνες κεναὶ ἔνθα ἡ ἕδρη τῆς ὑστέρης.] Lacunae signum primus noto: nimirum neque καρδιώσσουσι ἐν τοῖσι ὑποχονδρίοισι dici potest, neque ἐν τοῖσι ὑποχονδρίοισι λαγόνες κεναί: neque enim λαγόνες sunt ἐν ὑποχονδρίοισι. — Crassus: «stomacho mordetur: iuxta praecordia ilia, ubi vulvae domicilium est, inania sunt." Wiganus: «in stomacho morsum quemdam percipit: infra praecordia, in eo loco, ubi uteri sedes est, vacua sunt ilia." Vides eos non apposite Graeca exprimere. — Equidem aliquid deficere certum iudico, quo indicaverit Aretaeus uteri, uti ille opinatur, adscensum in hypochondria palam fieri: forte τάσις καὶ πλησμονῆς αἴσθησις ἐν τοῖσι ὑποχονδρίοισι, vel aliud quid huic simile. Nempe eiusmodi quid deesse docent verba, quae cap. de huius morbi curatione sub finem leguntur, ἢν δὲ βίης ἢ λαπάξιος ἡ ὑστέρη δέηται, χείρεσι μὲν πιέζειν τὸ ὑποχόνδριον γυναικὸς εὐτόνου, ἢ ἀνδρὸς εὐαφοῦς, καὶ διαζῶσαι ταινίαις σφίγγοντα, ὁκόταν διελάσῃ τὸν χῶρον, ὡς μὴ αὖθις ἄνω θέειν.

ἡ ἀναπνοὴ ἄσημος, ἀσαφής.] Ἄσημος et ἀσαφής fere idem denotant, ita ut paene dittographiam esse credas, vel glossam, quae in textum irrepserit. At quum infra dicat ἀναπνοὴ δασυτέρη καὶ σαφεστέρη, iam ἄσημος fere ad visum et ἀσαφής ad auditum h. l. retulerim; forte etiam talia haud adeo ad amussim exigenda sunt.

ὀφθαλμοὶ — οὐ κάρτα μὲν ἀτενέες, ἀτὰρ οὐδὲ κάρτα κεκαμμένοι.] In his κεκαυμένοι A. — Itaque omnes libri in κεκαμμένοι consentiunt. Non memini me pro κινεῖσθαι de oculis κάμπτεσθαι legere apud alios: longe enim diversa sunt βλεφαρίδων καμπυλότης et καμπύλον βλέφαρον in Coaca 218. et consimili Coacae Prognostici loco. — Nec tamen locus corruptelae notas offert.

ἢν δὲ μετακινέηται κ. τ. λ.] Soranus p. 250.: εἶτα διαλυομένων τῶν αἰτιῶν, ἄρχεται τονοῦσθαι τὸ σῶμα καὶ ἐρευθεῖν τὰ μῆλα· διανοίγονται δὲ καὶ αἱ γνάθοι, καὶ οἱ ὀφθαλμοὶ μετὰ πλείστου βάρους ἐπαίρονται· μελλούσης δὲ ἤδη ἀνίεσθαι, προτρέχει ἐκ τῶν γυναικείων τόπων ὑγρασία πρὸς τὴν ἁφὴν καὶ βορβορυγμὸς γίνεται τῶν ἐντέρων, αὐτή τε ἐπιψύχεται κατ' ὀλίγον ἡ ὑστέρα· καὶ οὕτως ἀπολαμβάνουσι αἱ πάσχουσαι τὸ ἐννοεῖν καὶ αἰσθάνεσθαι καὶ κινεῖσθαι.

ὑγροὶ δὲ καὶ οἱ ὑμένες οἱ ἀνοχῆες αὐτῆς.] Vulgo αἱ ὀχῆες, sed ἀνοχῆες O ex H. F. ἀνώχιες Pa. b. e. V. A.; hic et Pb. αὐτούς· Pd. f. ἄνωχι ἐς αὐτούς. Item Pc., qui in marg. «ἀνοχῆες, ut supra περὶ εἰλεοῦ." — Gal. de uteri dissectione cap. 4. p. 893. Kühnio: χαλαροὶ δὲ οὗτοι πάντες οἱ δεσμοὶ, καὶ διὰ τοῦτο ἐπὶ πλεῖστον ἡ μήτρα κινεῖσθαί τε καὶ μετασχηματίζεσθαι δύναται.

ῥηϊδίως οὖν νεύει ὅκως πρέμνον ἔνθα καὶ ἔνθα.] Cett.

ϐιοτὴ, καὶ γνώμη πλανωδεστέρη, τῇσι καὶ ὑστέρη ἐστὶ ῥεμβώδης· ἀπηλικεστέρῃσι δὲ εὐσταθέα καὶ ἡλικίη, καὶ ϐίος, καὶ γνώμη, καὶ ὑστέρη. Ἥδε μὲν οὖν ἡ ἀπὸ ὑστέρης πνὶξ μούνῃσι γυναιξὶ παρομαρτέει.

Γίγνεται δὲ καὶ ξυνὰ πρὸς ἄνδρας πάθεα τῇ ὑστέρῃ, φλεγμονὴ, αἱμοῤῥαγίη· ξυνὰ δὲ καὶ τὰ παρεόντα σημεῖα, πυρετοὶ, ἀσφυξίη, ψύξις, ἀφωνίη. ἐπὶ δὲ τῇ αἱμοῤῥαγίῃ καὶ ὀξύτεροι οἱ θάνατοι, ὁκοῖόν τι ἐν ζώῳ σφαγή.

ΠΕΡΙ ΣΑΤΥΡΙΗΣΙΟΣ.

Κεφ. ιβ'.

Οἱ σάτυροι τοῦ Διονύσου ἱεροὶ ἐν τῇσι γραφῇσι καὶ τοῖσι ἀγάλμασι ὄρθια ἴσχουσι τὰ αἰδοῖα, ξύμβολον τοῦ θείου πρήγματος. Ἔστι δὲ καὶ πάθεος ἰδέη, ἀνίσχοντος ὄρθια τοῦ πάσχοντος τὰ αἰδοῖα, ἐπίκλησιν σατυρίησις, ἐς ὁμοιότητα τοῦ θείου σχήματος.

Ὁρμὴ δέ ἐστι ἄσχετος ἐς ὁμιλίην· ἀτὰρ οὐδὲ ἐν τῇσι προςόδοισι οὐδὲν ὠφελέονται, οὐδὲ ἐπὶ πολλῇσι καὶ συνεχέεσι ὁμιλίῃσι πρηΰνονται τὸ ὄρθιον. Σπασμοὶ δὲ ἁπάντων τῶν νεύρων καὶ τενόντων, καὶ ἔντασις ϐουβώνων καὶ πληχάδος· φλεγμονὴ τῶν αἰδοίων καὶ πόνος· ἐρύθημα προςώπου καὶ ἰκμὰς νοτίδι ἰκέλη. Περιστελλόμενοι, ἡσυχῇ ἐπίλυ-

πρέμνος: dudum Petitus *πρέμνον* desideravit. — Est Aretaeus hic rursum poëticus: cf. v. c. Orph. Argon. vs. 999. *δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα Πρύμνοθεν ἐκ ῥίζης.* — In sqq., *καὶ ἄνω τε καὶ κάτω πλώει*, prius illud *καί* de meo adscripsi.

ἀπηλικεστέρῃσι.] Libri plurimi *πηλικωτέρῃσι*. Pa. *b.* *πηλικωτέροισι*. Non potuit non recipi verissima Wigani emendatio, qui ad vulgatam lect.: «Vocem, inquit, hanc nusquam invenio. Πηλικός *quantus* significat. Herodotus *ἀπηλικέστερος* Ionice pro *ἀφηλικέστερος* *iunior* [immo *aetate provectior* E.] ponit, quod et hic legendum credo." Vocabulum a veteribus Grammaticis et Lexicographis saepius explicatum: cf. Greg. Cor. p. 529. ibique Koen. et Schaefer. Lobeck ad Phryn. p. 84. Idem vocabulum apud Hipp. Epid. VII. *ἀδελφῇ τῇ ἀφηλικεστέρῃ* p. 1235. Foësio, qui locum notavit in Oecon.

Cap. 12. *Οἱ σάτυροι τοῦ Διονύσου ἱεροὶ.... ὄρθια ἴσχουσι τὰ αἰδοῖα, ξύμβολον τοῦ θείου πρήγματος*] Recte Petitus *τὸ θεῖον πρῆγμα* de generatione intellexit: minus apposite adtulit verba Arist. de Anima II. 4: *φυσικώτατον γὰρ τῶν ἐν τοῖς ζῶσιν ἔργων, ὅσα τέλεια, καὶ μὴ πηρώματα, ἢ τὴν γένεσιν αὐτόματον ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτὸ, ζῶον μὲν ζῶον, φυτὸν δὲ φυτὸν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν.* — Potius huc pertinent omnia quae de Bacchi cultu et festiva *πομπῇ τοῦ φάλλου* apud Graecos ferebantur: cf. Herodotum II. 48. seq.

ἐπίκλησιν σατυρίησις ἐς ὁμοιότητα τοῦ θείου σχήματος.] *Ἐπίκλησιν* Accusativo de meo scripsi, cett. *ἐπίκλησις*. Cum hisce cf. Coel. Aurel. acut. m. III. 18: «Vocatur autem, ut quidam volunt, translative a similitudine Satyrorum, quos, ut vulgus loquitur, sive fabula fingit, vinolentos atque in usum Veneris pronos daemones accipimus, vel, ut alii dicunt, ab herbae virtute, quam Satyrion vocant." Si quis veterum Satyros cognoscere velit, legat Euripidis *κύκλωπα*. Inspiciat pudicos scilicet vs. 179. sqq. — Quod ad *θείου*, ita scripsi cum Wig. e cod. H.; *θεοῦ* ferunt cett.

ἀτὰρ οὐδὲ ἐν τῇσι προςόδοισι οὐδὲν ὠφελέονται, οὐδὲ ἐπὶ πολλῇσι καὶ συνεχέεσι ὁμιλίῃσι πρηΰνονται τὸ ὄρθιον.] *Πολλοῖσι καὶ συνεχέσι* vulgo; verum habet O. et ferunt Pa. *b. e. f.* — Ad rem ipsam quod attinet, Coel. Aurel. l. l.: «Initio autem, inquit, se leviter putant relevatos ex usu venereo, atque seminis iactu, sed paulo post vehementer extenduntur. Nocentur enim atque vexantur hoc usu quamquam parvi temporis relevationem falsam sentire videantur, non aliter quam si scabiosi pruritu affecti, vel lippientes, manuum contactum affectare frequentent, quod Graeci *χειραψίαν* vocaverunt."

σπασμοὶ δὲ ἁπάντων τῶν νεύρων καὶ τενόντων, καὶ ἔντασις ϐουβώνων καὶ πληχάδος· φλεγμονὴ τῶν αἰδοίων καὶ πόνος.] Priora ista vulgo hoc ordine in libris feruntur *σπασμοὶ δὲ ἁπάντων τῶν νεύρων καὶ ἔντασις τενόντων καὶ ϐουβώνων καὶ πληχάδος.* Equidem transposui; non quia *ἔντασις τενόντων* dici non posse arbitrer, sed quia in vulgata lectione certe, quos *τένοντας* spectet, indicaturum fuisse Aretaeum, exspectabam, ita ut *σπασμοὶ ἁπάντων τῶν νεύρων καὶ τενόντων* requirerem: tum vero h. l. *ἔντασις* tensionem eam indicat, me iudice, quae ab humorum ad partes affluxu maiore pendeat, quod inprimis in hoc morbo in inguine et *πληχάδι* locum habet; adeo ut ipsa rerum natura emendationem suadere videatur. Vid. etiam infra *τενόντων καὶ μυῶν τῶν πάντων ξύντασις.*

περιστελλόμενοι.] Vocabulum Hippocrateum in Epidd. libris saepius obvium. Cum loco quidem nostro inprimis

ποι, κατηφέες, ὥςπερ ἀχθόμενοι τῇ ξυμφορῇ. Ἢν δὲ ὑπερίσχῃ καὶ τὴν αἰδῶ τοῦ ἀνθρώπου τὸ πάθος, ἀκρατέες μὲν γλώσσης ἐς τὸ ἄκοσμον, ἀκρατέες δὲ ἐς τὸ ἀμφαδὸν καὶ τῆς τοῦ ἔργου πρήξιος· παράφοροι τὴν γνώμην ἐς τὸ ἄσχημον, κατέχειν γὰρ οὐ δύνανται. Διψώδεες· φλέγμα πολλὸν ἐμέουσι· ἐπὶ δὲ τοῖσι χείλεσι ἀφρὸς ἐφιζάνει, ὅκωςπερ τοῖσι ὀργῶσι τῶν τράγων, ἀτὰρ ἠδὲ ὀσμὴ ὁμοίη. Οὖρον ἐξ ἐπισχέσιος πολλῆς λευκὸν, παχὺ, γονοειδές. κοιλίη ἀπολελημμένη· γαργαλισμοὶ αὐτόματοι πλευρέων καὶ μασχαλῶν· σπασμώδεες· ἀπόσιτοι, εἰ δὲ προςφέροιντο, ἁρπάγδην ταραχώδεες.

Ἢν δὲ ἐς ὄλεθρον ἥκῃ τὸ κακὸν, φυσώδεες, κοιλίην ἐπηρμένοι· τενόντων καὶ μυῶν τῶν πάντων ξύντασις· δυςκινησίη· ξυνολκαὶ μελέων· σφυγμοὶ σμικροὶ, ἀσθενέες, ἄτακτοι.

Ἔλυσέ κοτε τάδε πάντα κοιλίη ἐκταραχθεῖσα πολλοῖσι φλεγματώδεσι, ἢ χολώδεσι· ἔμετος ὁμοίως, οὐκ ἄνευθεν κινδύνου. Ἴησις, ὕπνος βαθὺς καὶ μήκιστος. ψύξις γὰρ καὶ πάρεσις, καὶ νάρκη νεύρων, ὕπνος πουλύς· νάρκη δὲ καὶ ψύξις σατυρίησιν ἴηται.

Γίγνεται δὲ τὸ πάθος ἦρος μάλιστα καὶ θέρεος· ἡλικίῃσι δὲ, μειρακίοισι καὶ νέοισι, μάλιστα δὲ, ὁκόσοισι ἡ φύσις ἐς ξυνουσίην ἑτοίμη. Ὀξύτατον, ἠδὲ ἀτερπὲς, ἠδὲ ἄκοσμον κακόν· τὰ πολλὰ γὰρ ἐντὸς ἑβδόμης θνήσκουσι. Λόγος δὲ, ὅτι καὶ γυναῖκες πάσχουσι τοῦτο τὸ πάθος, καὶ ἥ τε ἐς τὰ ἀφροδίσια ὁρμὴ ὁμοίη, καὶ τὰ λοιπὰ ξύμ-

conferri debet hist. mulieris phrenitide laborantis Epid. III. aegr. 15. de qua Hipp.: ἐξ ἀρχῆς δέ, inquit, περιεστέλλετο, et: ἀεὶ περιεστέλλετο. Vid. Foës. in Oecon. Crassus perperam: « aegri sese incurvant et comprimunt." Minus recte quoque Wiganus: « silentes obambulant, tristes atque demissi." Nam de ambulatione hic nihil. Gal. περιεστέλλετο· τοῖς περιβολαίοις ἑαυτὸν ἔσκεπεν. Hesych. περιστέλλει. καλύπτει κ. τ. λ. Interpretor h. l. « faciem prae pudore contegunt."

ἢν δὲ ὑπερίσχῃ καὶ τὴν αἰδῶ τοῦ ἀνθρώπου τὸ πάθος.] Simili modo ὑπερίσχειν cum Acc. vidimus supra cap. 7. huius libri: αἱμοῤῥαγίη μὲν γὰρ ὑπερίσχει πάντα πολλόν.

ἀκρατέες μὲν γλώσσης ἐς τὸ ἄκοσμον.] Ad illud γλώσσης ἀκρατέες cf. Aeschylum. Prom. vs. 847.

ἔξω δὲ δρόμου φέρομαι, λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής.

Rufus de melancholia apud Aëtium fol. 103. vs. 36. τῷ ἀκρατεῖ τῆς γλώσσης. Opponitur τὸ κρατεῖν τῆς γλώττης apud Plut. de liberorum Educatione cap. 14. (p. 22. Ed. Tauchn.) τῇ τῆς γλώττης ἀκρασίᾳ (p. 23.)

ἐς τὸ ἀμφαδόν.] Ἀμφαδόν Homericum est: Odyss. I. 296. ἠὲ δόλῳ ἢ ἀμφαδόν. O.: ἀκρ. δὲ καὶ ἐς τὸ ἀμφ. καὶ τῆς τ. ε. π.

ἐπὶ δὲ τοῖσι χείλεσι ἀφρὸς ἐφιζάνει.] Ἐπειδή cett. Pb. in marg. ἴσως ἐπὶ δέ. Hoc recipiendum erat. De forma ἰζάνω cf. Buttm. Gr. Gr. II. 201. Quod ad comparationem ὅκωςπερ τοῖσι ὀργῶσι τῶν τράγων, notissima res est, hircum salacissimum esse animal; hinc comparatio Satyriasi laborantium cum hirco ὀργῶντι. Vid. Aristoph. Plutus vs. 295: ἕπεσθ᾽. ἀπεψωλημένοι τράγοι δ᾽ ἀκρατιεῖσθε, ubi cf. Schol. Ad seq. ἀτὰρ ἠδὲ ὀσμὴ ὁμοίη cf. vs. 294 αἰγῶν τε κιναβρώντων μέλη cum Schol. et nota Hemsterhusii.

Οὖρον ἐξ ἐπισχέσιος πολλῆς λευκὸν, παχὺ, γονοειδές. κοιλίη ἀπολελημμένη.] Legebatur ἐξ ἐπισχέσιος πολλῆς ἀλλ᾽ ἐς λευκόν. Hoc quidem probavero, si quis me docuerit, quare ἀλλά illatum sit, et quomodo interpretari oporteat ἐς λευκόν. — Mihi ἀλλ᾽ ἐς e postremis literis proxime antecedentis πολλῆς natum videtur: itaque delevi. — Pro ἀπολελημμένη ceteri omnes ἀπολελυμένη, simili, qualem antea notavimus, errore. Coel. Aurel: « difficilis urinae egestio, ita ut plerunque stercorum abstentio fiat."

ξυνολκαὶ μελέων.] Ξυνολκή μ. Pf.

πολλοῖσι φλεγματώδεσι, ἢ χολώδεσι.] Ἢ h. l. de meo interposui.

ἔμετος ὁμοίως, οὐκ ἄνευθεν κινδύνου. Ἴησις, ὕπνος βαθὺς κ. τ. λ.] Ὁμοίων H., quod parum placet; ἄνευθε Pa. e. f. — Praeterea ceteri coniungunt οὐκ ἄνευθεν κινδύνου ἴησις, ὕπνος βαθὺς κ. τ. λ., quod prorsus improbandum censeo; quum sqq. ratio quidem exponatur, quare ἴησις sit mali iste ὕπνος βαθύς; sed minime, quare sit ἴησις οὐκ ἄνευθεν κινδύνου. — Verba ἔμετος ὁμοίως breviloquentiam habent, ita explendam: ἔμετος ὁμοίως κοτὲ ἔλυσε τάδε πάντα.

γίγνεται δὲ τὸ πάθος κ. τ. λ.] Coel. Aurel. causas, quas vocant, occasionales tradit seqq.: « Sed antecedentes istius passionis causae sunt epota medicamina ob usum Venereum excitandum, quae Satyrica, vel ἐντατικά vocant, quae sunt acria, atque incentiva et nervis improba. Item immodicus, atque intemporalis usus veneris." Et sub finem capitis: « Memorat denique, inquit, Themison apud Cretam multos Satyriasi interfectos, quod quidem, quantum creditur, factum est ignorantia ciborum, quod frequenter ac plurimam manderent Satyrion herbam." De hac autem herba Diosc. III. 133.: καὶ εἰ βούλει, inquit, γυναικὶ συνουσιάσαι, χρῆσθαι· φασὶ γὰρ αὐτὴν καὶ ὁρμὴν κινεῖν τὴν ἐπὶ συνουσίᾳ.

τὰ πολλὰ γὰρ ἐντὸς ἑβδόμης θνήσκουσι.] Cett. ἐν ἑβδόμῃ, de meo alterum illud dedi; nempe Aretaeum aut ἐν ἑπτὰ ἡμέρῃσι θνήσκουσι scripsisse puto, aut ἐντὸς ἑβδόμης θνήσκουσι. Lenissimam ergo medelam adhibui.

παντα τὰ αὐτά. Ἐγὼ δὲ μαχλοσύνην μὲν γυναιξὶ ὑγρῇσι πείθομαι γίγνεσθαι, ἐς ἔκχυσιν τοῦ πλήθεος τούτων· σατυρίησιν δὲ ἥκιστα. οὔτε γὰρ ἡ Φύσις αὐτέων ἑτοίμη, ψυχρὴ γάρ· ἀλλ' ουδὲ μόρια ἐς ὀρθίησιν, ὅκωςπερ σάτυρος, ἴσχει γυνὴ, ὥςπερ τὸ πάθος ἐπώνυμον. οὐδὲ γὰρ οὐδὲ πνίγα τὴν ἀπὸ ὑστέρης νοσέουσι ἄνδρες, οὕνεκεν οὐκ ἴσχει ὑστέρην ἀνήρ.

λόγος δὲ ὅτι καὶ γυναῖκες πάσχουσι τοῦτο τὸ πάθος.] Coel. Aurel. «est autem, inquit, communis passio viris atque foeminis." Soranus: γίνεται δὲ καὶ ἐπὶ γυναικῶν σατυρίασις, ὥςπερ καὶ ἐπὶ τῶν ἀνδρῶν, παρέπεται δὲ αὐταῖς κνησμὸς ἐπιτεταμένος τῶν γυναικείων τόπων μετὰ πόνου, ὥςτε τὰς χεῖρας συνεχῶς τοῖς μέρεσιν ἐπιφέρειν· καὶ διὰ τοῦτο ἀκάθεκτος αὐταῖς πρὸς συνουσίαν ὁρμὴ γίνεται καὶ παρατροπὴ τῆς διανοίας μετὰ δριμύξεως [ἢ δήξεως ἁλμυροῦ χυμοῦ] ἐπὶ ποσὸν, διὰ τὴν πρὸς τὴν ὑστέραν τῶν μηνίγγων συμπάθειαν, παραγκωνισαμένη πᾶσαν αἰδῶ.

μαχλοσύνην.] Vox poëtica certe. Inter Hesiodi fragm. hic vs. legitur:

εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος.

Cf. Hom. Il. XXIV. 30. et Spitzneri adnott. ad hunc versum et 23um eiusdem libri. Legere me memini etiam apud Orph. Lith. vs. 318.

εἰ δὲ ἑ μαχλοσύνῃσιν ἐλαύνει δῖ' Ἀφροδίτη.

Hesychius, alii veteres vocem interpretantur.

ἴσχει γυνή.] O. ἴσχει ἡ γυνή. Articulum non recipio: mox enim οὐκ ἴσχει ὑστέρην ἀνήρ.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

ΠΕΡΙ

ΑΙΤΙΩΝ ΚΑΙ ΣΗΜΕΙΩΝ ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

ΠΕΡΙ ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ.

Κεφ. α'.

Χρονίων νούσων πόνος μὲν πουλὺς, χρόνος δὲ μακρὸς συντήξιος, καὶ ἀβέβαιος ἡ ἄλθεξις. Ἢ γὰρ οὐδ᾽ ἐξηλάθησαν ἐς τὸ πάμπαν, ἢ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλινδρομέουσι αἱ νοῦσοι. Οὔτε γὰρ ἀτρεμέειν οἱ νοσέοντες τολμέουσι ἐς τέλος· ἀτὰρ ἠδὲ ἁμαρτάνουσι ἐν τῇσι μακρῇσι διαίτῃσι, κὴν ἀτρεμέωσι. Ἦν δὲ καὶ φόβος ἔῃ ἐπιπόνου ἰήσιος, δίψης, λιμοῦ, φαρμάκων πικρῶν, καὶ ὀδυνέων ἢ τομῆς, ἢ καύσιος, ὧνπέρ ἐστι ἐν τῇσι δολιχῇσι νούσοισι χρέος, ὑποδιδρήσκουσι οἱ κάμνοντες, ὡς θανάτου δῆθεν αὐτέου ὀρεγόμενοι. Ἔνθα δὴ ἀρετὴ διαείδεται ἀνδρὸς ἰητροῦ, καὶ μακροθυμίης, καὶ ποικιλίης, καὶ χάριτος ἀβλαβοῦς τῶν ἡδέων, καὶ παραιφάσιος. Ἀτὰρ καὶ τὸν νοσέοντα χρὴ ἄλκιμον ἔμμεναι, καὶ ξυνίστασθαι τῷ ἰητρῷ κατὰ τοῦ νοσήματος. Οὐ γὰρ τοῦ σώματος μούνου ἀπρὶξ λαβόμενον ταχὺ ἀνασμύχει τε καὶ δάπτει, ἀλλ᾽ ἐς πολλὰ καὶ τὴν αἴσθησιν ἐκτρέπει, ἀλλὰ καὶ τὴν ψυχὴν ἐκμαίνει ἀκρασίῃ τοῦ σώματος. Τοιήνδε τὴν μανίην καὶ τὴν μελαγχολίην ἴσμεν, περὶ ὧν αὖθις ἐρέω. τὰ νῦν δ᾽ ἀμφὶ κεφαλαίης φράσω.

Lib. I. cap. 1. *ἐς τὸ πάμπαν.*] *Ἐς τὸ ξύμπαν* V. Pa. *b.*

ἦν δὲ καὶ φόβος ἔῃ ἐπιπόνου ἰήσιος, δίψης, λιμοῦ φαρμάκων πικρῶν καὶ ὀδυνέων ἢ τομῆς, ἢ καύσιος.] Pro *φόβος*, cett. *πόνος*, — *ὀδυνέων* O. V. A. Pa. *b.* *ὀδυνωδέων* cett. — Ad vulgatum illud *ἦν δὲ καὶ πόνος ἔῃ ἐπιπόνου ἰήσιος* Wiganus «an recte?" quaerit. Mihi quidem ferri non posse videtur in auctore tersissimo, adeo ut de meo *φόβος* substituerim. Primo quidem in isto *πόνος* — *ἐπιπόνου ἰήσιος* parum consultum esset euphoniae: tum vero non credo eum dixisse *ἦν δὲ καὶ πόνος ἔῃ .... ὀδυνέων ἢ τομῆς, ἢ καύσιος*: tandem aegrotantes *ὑποδιδρήσκειν*, antequam curatio coepta sit, est vero simile. Nam supra iam dixit: *οὔτε γὰρ ἀτρεμέειν οἱ νοσέοντες τολμέουσι ἐς τέλος.* — Ego igitur confidenter *φόβος* quod loci sensus sibi requirit, scripsi.

ὧνπέρ ἐστι ἐν τῇσι δολιχῇσι νούσοισι χρέος, ὑποδιδρήσκουσι οἱ κάμνοντες, ὡς θανάτου δῆθεν αὐτέου ὀρεγόμενοι.] *Ὡς* apud cett. ante *ὑποδιδρήσκουσι* ponitur; recte ad eum, ad quem iam retuli, locum pertinere vidit Petitus, qui adscripsit locum ex libro Hipp., ut aiunt, de arte: *οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερεῖν ἀδυνατέοντες.* — Illud *ὡς .. δῆθεν* non sine leni irrisione ponitur. — *δολιχῇσι νούσοισι* Homerum sapit. Od. IV. 483. *δολιχὴν ὁδόν.* Il. X. 52. *δηθά τε καὶ δολιχόν.*

ἔνθα δὴ ἀρετὴ διαείδεται ἀνδρὸς ἰητροῦ.] Ecce! rursus Homerum audimus! cf. Il. XIII. 277.

εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ᾽ ἀρετὴ διαείδεται ἀνδρῶν.

καὶ παραίφασιος.] Iam Petitus Homerica quaedam ad h. l. pertinentia contulit: Il. XI. 792. *ἀγαθὴ δὲ παραίφασις ἐστιν ἑταίρου.* — Il. XIV. 217., ubi de Zona Veneris:

ἔνθ᾽ ἔνι μὲν φιλότης, ἐν δ᾽ ἵμερος, ἐν δ᾽ ὀαριστὺς
πάρφασις, ἥτ᾽ ἔκλεψε νόον πύκα περ φρονεόντων.

Vid. ibid. XXIV. 770:

ἀλλὰ σὺ τόν γ᾽ ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῇ τ᾽ ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.

Suavis illa et blanda admonitio amici praecipue est medici.

ἀτὰρ καὶ τὸν νοσέοντα χρὴ ἄλκιμον ἔμμεναι καὶ ξυνίστασθαι τῷ ἰητρῷ κατὰ τοῦ νοσήματος.] Cf. Il. VI. 522. *ἐπεὶ ἄλκιμός ἐσσι.* — Respicit porro Hipp. Aph. l. 1. *δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα κ. τ. λ.*

οὐ γὰρ τοῦ σώματος μούνου ἀπρὶξ λαβόμενον ταχὺ ἀνασμύχει τε καὶ δάπτει, ἀλλ᾽ ἐς πολλὰ καὶ τὴν αἴσθησιν ἐκτρέπει· ἀλλὰ καὶ τὴν ψυχὴν ἐκμαίνει ἀκρασίῃ τοῦ σώματος.] Μοῦνον vulgo editur: *μόνου* V. Pa. *b.* *μούνου* Pc. *d. e.*, quod recipiendum fuit, nam corpus solum per se laborans opponitur animae una cum corpore affectae. — Supra cap. 30. Libri II. de s. m. ac. legimus *τῇσδε γὰρ ἀπρὶξ λαβόμενον οὐ μεθίησι, ἀλλ᾽ ἐς διάλυσιν τρέπει.* — Verba *σμύχειν* et *δάπτειν* Homerica sunt. Il. IX. 653. *κατά τε σμύξαι πυρὶ νῆας.* XXII. 410: *ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρης.* Cf. Il. XXIII. 182. *Ἕκτορα δ᾽ οὔτι δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.* De meo *αἴσθησιν* scripsi: libri omnes h. l. *αἰσθησίην*, unde *αἰσθησία* in Schneideri Lex. receptum et inde in novum Thesaurum illatum. Mi-

ΠΕΡΙ ΚΕΦΑΛΑΙΗΣ

Κεφ. β'.

Ἢν ἀλγέῃ κεφαλὴ σχεδίως ἐπὶ προςκαίρῳ αἰτίῃ, κἢν ἐπὶ πλεῦνας, κεφαλαλγίη καλέεται. Ἢν δὲ διεβίζῃ χρόνῳ μακρῷ τὸ ἄλγημα, καὶ περιόδοισι μακρῇσι καὶ πολλῇσι, καὶ προςεπιγίγνηται μέζω τε καὶ πλεῦν δυςαλθῆ, κεφαλαίην κικλήσκομεν.

Ἰδέαι δὲ μυρίαι. Τισὶ μὲν γὰρ ἀΐδιος ὁ πόνος καὶ σμικρὸς, ἀλλ' οὐ διαλείπων. Τισὶ δὲ ἐς περίοδον περιπλεῖ, ὅκως τοῖσι πυρεταίνουσι ἀμφημερινὸν, ἢ παρ' ἡμέρην. Ἄλλοισι δ' ἀπὸ δύσιος ἐς μεσημβρίην, καὶ τῇδε τέλεον ἀποπαύεται· ἢ ἀπὸ μεσημβρίης ἐς ἑσπέρην· ἢ ἐπίπροσθεν ἐς νύκτα. ἥδε δὲ ἡ περίοδος οὐ κάρτα δηθύνει. Καὶ τοῖσι μὲν ἡ κεφαλὴ ἀλγέει πᾶσα. καὶ ἥδε ἄλλοτε μὲν ἐπὶ δεξιὰ, ἄλλοτε δὲ ἐπ' ἀριστερά· ἢ μέτωπον, ἢ βρέγμα· καὶ ταῦτα ἐν τῇ αὐτῇ ἡμέρῃ ῥεμβώδεα τρόπον.

Τοῖσι δὲ καὶ τὰ δεξιὰ μοῦνον, ἢ τὰ λαῖα μοῦνον, — ἐς ὅσον ὁρίζων κρόταφος, ἢ ὦς, ἢ καὶ ὀφρὺς μία, ἢ ὀφθαλμὸς εἷς, ἢ ῥὶς μέσφι μέσου ἐς ἶσα τέμνει, — ἐπέκεινα δὲ τὸ ἄλγημα οὐ περῇ, ἀλλ' ἐν ἡμίσεϊ μίμνει τῷ τῆς κεφαλῆς χωρίῳ. Ἑτεροκρανίη

hi hoc perinde atque ὀσμήσεσι, ὀσμήσιος librariis deberi videtur: composita ἀναισθησία, εὐαισθησία, δυςαισθησία notissima et usitatissima, sed αἴσθησις, non αἰσθησίη, pro simplici valet; neque vero alio loco apud nostrum legis, sed semper αἴσθησις. Ego igitur repudio, neque ex auctore tam prave scriptis libris nobis servato in Lexx. inferendum censeo. Ἀκρασίῃ τοῦ σώματος «per corporis impotentiam" minus recte interpretatur Wiganus; melius Crassus «ab intemperie corporis."

Cap. 2. κἢν ἐπὶ πλεῦνας.] Wiganus: «videtur, inquit, ἡμέρας deficere. Ita loquitur 43. 22. ἐς ἡμέρας πλεῦνας et rursus 89. 25. Absurde enim πλεῦνας ad αἰτίας referatur. cett." — Equidem haud ausim affirmare re vera ἡμέρας Aretaeum adscripsisse: mihi quidem exempla nunc non succurrunt, ubi ad πλεῦνας subintelligatur ἡμέρας, sed neque video, cur non aeque bene ad πλεῦνας subintelligere possis ἡμέρας, quam ad τρίτῃ, τετάρτῃ subaudis ἡμέρῃ. cf. Bos Ell. ling. Gr.

καὶ προςεπιγίγνηται μέζω τε καὶ πλεῦν δυςαλθῆ.] Legebatur πλεῦνον. Wig.: «an πλεῦνα, quaerit, Symptomata nempe." Non mihi quidem videtur; sed πλεῦνον
ον
ortum esse puto e dittographia πλεῦν; itaque ον delevi et πλεῦν δυςαλθῆ coniungo, quod egregie respondet praegresso μέζω. Forma πλεῦν apud Herodotum passim obvia cf. Lex. Herod.

καὶ γὰρ καὶ τῆςδε ἡ μὲν ξανθὴ, λεπτὴ, διειδὴς, λευκοτέρου εἴδεος· ἡ δὲ κατακορὴς, ὡς κρόκον, ἢ λέκιθον φάναι, τοῦ αὐτοῦ εἴδεος. δευτέρη δὲ μελαντέρης χροιῆς, πρασίζουσα, ἰσατώδης, μέλαινα.] Librorum scriptura haec est: καὶ γὰρ τῆςδε ἡ μὲν ξανθὴ, λεπτὴ, διειδὴς, λεπτοτέρου εἴδεος, ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν, ἡδὲ (O. ἡ δέ) κατακορὴς, ὡς κρόκον ἢ λέκιθον φάναι, τοῦ αὐτοῦ εἴδεος κ. τ. λ. — Malui καὶ γὰρ καί scribere, propter continuo antecedentia: ἣ δὴ καὶ χολῶν ἐστι αἰτίη. Verba ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν abundare et e superiori sententia εἴδεα τοῦ πάθεος δοιά. κ. τ. λ, huc vitiose demanasse unusquisque facile videt et vero dudum vidit Petitus. Iam vero ratio exponenda, quare contra librorum omnium fidem λεπτοτέρου in λευκοτέρου mutaverim. Ante omnia dicam me in Hipp. Epid. I. et III. tam saepe λευκά et λεπτά alternantia et permutata in libris scriptis vidisse, nihil ut supra. Itaque licet rogare num λεπτοτέρου h. l. scribere potuerit Aretaeus. — Primo quidem offendit ἡ μὲν ξανθὴ, λεπτὴ, — λεπτοτέρου εἴδεος: est hoc nempe δὶς ταὐτόν, quod nostro usitatum non est: sed praeterea magis iam offendunt seqq. ἡ δὲ κατακορὴς, ὡς κρόκον ἢ λέκιθον φάναι, τοῦ αὐτοῦ (scilicet τοῦ λεπτοτέρου) εἴδεος: — hoc certe ita absurdum et sibi repugnans, ut nemo ita scribere possit: tandem λεπτοτέραις illis χολαῖς e vulgari lectione opponitur δευτέρη.. μελαντέρης χροιῆς; itaque differentiae a tenuitate et crassitie materiae opponitur differentia a colore petita! Quis quaeso haec aequo animo ferat? Omnes illas difficultates tollit paucarum literarum saepe inter se confusarum permutatio. — Χολῇ λευκοτέρου εἴδεος opponitur δευτέρη μελαντέρης χροιῆς: τὸ εἶδος τὸ λευκότερον in speciem tenuiorem, διειδῆ et in speciem κατακορῆ, λεκιθοειδῆ distinguitur. — Certam emendationem, me iudice, recipi oportebat. Iam vero comparativi λευκότερος et μελάντερος h. l. omnino minuendi vim habent (cf. Herm. ad Vig. p. 719.) ita ut λευκοτέρου omnino valeat λευκοχρόου et μελαντέρου etiam μελανοχρόου. — Hinc etiam patet illud λευκοχρόου locis, de quibus supra egimus, non temere esse reiiciendum. — Vid. infra ἐπὶ δὲ τὸ λευκότερον.

ἢν γὰρ ἐπὶ σπλάγχνῳ τινὶ ἴκτερος γένηται, ἐπὶ ἥπατι μὲν κ. τ. λ.] Pro γάρ initio μέν legunt cett. Sequens μέν h. l. γάρ extrusisse credo, nam particula causali omnino opus est. «Quo circa si" habet Crassus.

διαφανῆ δὲ κατὰ τὰ λευκὰ ἐν τοῖσι ὀφθαλμοῖσι· μετώπου δὲ πρὸς κροτάφοισι μᾶλλον· τοῖσι λευκοῖσι φύσι καὶ ἐπὶ σμικρῷ ἰκτέρῳ ἡ χροιὴ μέζων ἐπανθέει.] Libri: διαφανῆ δὲ καὶ τὰ ἐν τοῖσι λευκοτάτοισι ὀφθαλμοῖσι: tum pone κροτάφοισι, non pone μᾶλλον distingui solet. Μέζον ἐπανθέσει V. Pa. e. — μέζον ἐπανθήσει Pb. — μέζων ἐπανθέσι A. — Coel. Aurel: «Sequitur in passione constitutos mutatio coloris in fellis qualitatem, quae primo apparet, ac magis videtur in albidis partibus oculorum, atque plantarum talis vel venis, quae sub lingua sunt." Locum de meo restitui: μετώπου genitivo infertur, quia ἐν τοῖσι ὀφθαλμοῖσι idem valet quod τῶν ὀφθαλμῶν, adeoque pergit, quasi hoc antecederet. — Μᾶλλον ad διαφανῆ referendum censui, quare interpunxi pone hoc adverbium.

χωρούμενα· οὖρα κατακορέα ἐπὶ τὸ μελάντερον. ἄπεπτοι, ἀπόσιτοι, ἄγρυπνοι, ἄθυμοι, μελαγχολώδεες.

Ἐπὶ δὲ τὸ λευκότερον, χροιῇ μὲν λευκόχλωροι, γνώμῃ δὲ φαιδρότεροι· σιτίων ἄρξασθαι μὲν ὀκνηροὶ, ἐμφαγεῖν δὲ οὐκ ἀγεννεῖς· πέψαι ῥηΐδιοι τῶν πρόσθεν μᾶλλον. διαχωρέουσι λευκὰ, ξηρὰ, ἀργιλώδεα· οὐρέουσι ξανθὰ, ὠχρὰ, κροκοειδέα.

Ἀμφοῖν δὲ τὸ ξύμπαν σῶμα κνησμῶδες· θέρμη ἀνὰ ῥῖνας σμικρὴ μὲν, δακνώδης δέ. ἀμύσσον τὸ χολῶδες. Γεῦσις μὲν πικρῶν οὐ πικρὴ, τὸ θῶυμα, οὐ μὴν γλυκεῖα· γλυκέων δὲ πικρή. ἡ γὰρ ἐν τῷ στόματι χολὴ ἐνίζουσα τῇ γλώσσῃ, ἐπίπροσθεν τῶν ἐδεστῶν ἐντυγχάνουσα, τὴν αἴσθησιν σοφίζεται τήνδε. ἡ γὰρ γλῶσσα ἀναπιοῦσα τῆς χολῆς τῆςδε, οὐκ ἐκείνων, αἰσθάνεται. καὶ τὸν μὲν πρόσθεν τὸν τῆς ἀποσιτίης χρόνον ἀτρεμέει ἡ χολὴ, ἀτὰρ οὐδὲ ἡ γλῶσσα τῷ ἤθεϊ ἄχθεται. ἢν δὲ αναζέσῃ γεύμασι, ἐπίπροσθεν τῶν ἐδεστῶν τὴν γλῶσσαν ἥδε κινέει. ἤντε οὖν πικρὸν ἔῃ σιτίον, πικρῶν αἴσθησις· ἤντε γλυκὺ, χολώδεος· φθάνει γὰρ ἡ αἴσθησις τῆς χολῆς. Ἀπάτη δὲ ξύνεστι τοῖσι ἠγευμένοισι τὰ πικρὰ γλυκέα φαίνεσθαι· οὐ γὰρ οὕτως ἔχει. ἀλλ' ὅτι μὴ ἐπὶ τῷ ἰζάνοντι πικρῷ πικράζεται, μοῦνον διὰ τὸ ξύνηθες τῆς νούσου φαντασίῃ γλυκάζοντος γίγνεται. ἡ ὡυτὴ δὲ κατάστασις καὶ ἐν γλυκέσι καὶ ἐν πικροῖσι γεύμασι. ἀπατηλῶν ἄρα γευμάτων προκάλυμμα ἡ χολή.

Ἢν μὲν οὖν μὴ ξύν τινος σπλάγχνου θερμασίῃ φανῇ, ἀσινὲς μὲν ὡς ἐπίπαν, μακρότερον δέ. Ἢν δὲ καὶ ἐγχρονίσῃ καὶ ἐπιφλεγμήνῃ σπλάγχνον, ἐς ὕδρωπα τὰ πολλὰ καὶ καχεξίην τελευτᾷ. πολλοὶ δὲ καὶ δίχα ὕδρωπος ἐκτακέντες ὤλοντο. Ξύνηθες δὲ μειρακίοισι καὶ νέοισι, καὶ τοισίδε ἀσινέστερον· παιδίοισι δὲ οὐκ ἄηθες πάγχυ. οὐ πάντῃ δὲ ἀσφαλές.

βρωμώδεες δὲ τὴν ὀσμήν.] Βρομώδεες dant libri: de meo mutavi.

τὴν ἀναπνοὴν οὐκ εὔκολοι.] Conf. verba e cap. de Lienis aff.: ξὺν δυςφορίῃ δύςπνοια, ὡς ἀπὸ βάρεος τοῦ θώρηκος.

ἐπὶ δὲ τὸ λευκότερον· χροιῇ μὲν λευκόχλωροι.] H. pro λευκ. habet λευκόχλωρον et pro λευκόχλωροι H. G. v. l. Pb. λευκόχροοι.

ἀγεννεῖς.] Non male quidem ita O. Poëticae formae nostro familiares: ἀγενεῖς cett.

ἀμύσσον τὸ χολῶδες.] Hoc quidem maxime referri dixerim ad id, quod supra dixit: τὸ ξύμπαν σῶμα κνησμῶδες. Conf. ad ἀμύσσον Foës. Oecon. Hipp. voce ἀμυχή.

γεῦσις μὲν πικρῶν οὐ πικρὴ τὸ θῶυμα, οὐ μὴν γλυκεῖα· γλυκέων δὲ πικρή.] Θῶμα Pb. *c. d. e. f.* Pro γλυκεῖα vulgo γλυκέων. Crassus: «Gustatus amarorum quidem non amarus, quod mirum est, non tamen dulcis.» Hinc γλυκεῖα reposui, quod itidem dudum desideravit Petitus et Latine expressit Wiganus.

καὶ τὸν μὲν πρόσθεν τὸν τῆς ἀποσιτίης χρόνον ἀτρεμέει ἡ χολὴ, ἀτὰρ οὐδὲ ἡ γλῶσσα τῷ ἤθεϊ ἄχθεται· ἢν δὲ ἀναζέσῃ γεύμασι, ἐπίπροσθεν τῶν ἐδεστῶν τὴν γλῶσσαν ἥδε κινέει.] Libri postrema ad hunc modum scripta ferunt τὴν γλῶσσαν εἶδε κενεήν. Wiganus οἶδε κινέειν recepit et: «sensus hic, inquit, restitutionem, in loco plane desperato, Harleyano codici debemus, cum antea legeretur εἶδε κενεήν.» Haud magnopere tamen mihi placet ista cod. H. lectio: Crassus: «verum si cibis excitata bilis efferbuerit, ipsa cibis obiecta prius linguam movet ac stimulat.» Petitus ad vulg. lect.: «Corruptissimus, inquit, locus. Lege τὴν γλῶσσαν ἥδε κινέει, supple χολή *bilis*; postquam cibis oblatis efferbuerit, linguam movet. Vidit Crassus meliore usus codice.» — Equidem in eandem emendationem incideram, quam postea Petitum e Crassi Latinis duxisse vidi; itaque eo confidentius eam recepi.

φθάνει γὰρ ἡ αἴσθησις τῆς χολῆς.] Μὲν γάρ in hisce praebet unus liber *Pf.*

ἀλλ' ὅτι μὴ ἐπὶ τῷ ἰζάνοντι πικρῷ πικράζεται, μοῦνον διὰ τὸ ξύνηθες τῆς νούσου, φαντασίῃ γλυκάζοντος γίγνεται.] Vulgo: ἀλλ' ὅτι μὴ ἐπὶ τῷ ἰζαῖνον (ἰζαίνοντι H. M. O. ἴζανον Pb.) πικρῷ πικράζεται μόνος (μοῦνος V. Pa. *b. e. f.* μόνον H.) διὰ τὸ ξύνηθες κ. τ. λ. — Hinc ἰζάνοντι et μοῦνον intuli.

καὶ ἐν πικροῖσι.] Sic. O. H. V. Pa. *d. e. f.*; ἐν omittunt cett.

ἢν δὲ καὶ ἐγχρονίσῃ καὶ ἐπιφλεγμήνῃ σπλάγχνον.] Καὶ ἐπιφλεγμαίνῃ vulgo: Aoristum praebuerunt V. Pb.

ξύνηθες δὲ μειρακίοισι καὶ νέοισι.] Copulam καί de meo interposui: deficit in libris scriptis: sed Crassus et Wiganus Latine eam expresserunt. — Hic etiam in adnn. eam desiderare se dixit.

Cap. **16.** *ξυμπάντων ὁμοῦ παθέων καχεξίη τροπή· ἀτὰρ καὶ ἥδε μούνη ἄνευθεν τῶν ἄλλων κατὰ πρώτιστα γίγνεται πάθος. Καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων κ. τ. λ.*] Libri hunc locum sic scriptum offerunt:

ΠΕΡΙ ΚΑΧΕΞΙΗΣ.

Κεφ. ις'.

Ξυμπάντων ὁμοῦ παθέων καχεξίη τροπή· ἀτὰρ καὶ ἥδε μούνη ἄνευθεν τῶν ἄλλων κατὰ πρώτιστα γίγνεται πάθος. Καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων καὶ οὔνομα τόδε ξύμβολον καὶ ξυμπτώματα πολλὰ, ἰσχνότης τε, ἢ ὦχρος, ἢ οἶδος, καὶ εἴ τι ἕτερον πρόςκαιρον ἀνὰ τὸ σῶμα. Καχεξίη δὲ ἑνὸς μεγάλου πάθεος ἰδέη, καὶ τοῦδε τοὔνομα. ἡ γὰρ τοῦ ἀνθρώπου ἐς τὰ πάντα εὐεξίη καὶ ἡ ἐς πέψιν, ἢ ἐς ἀνάδοσιν αἵματος γέννα, ἠδὲ πᾶν ἔργον Φύσιος, ἐφ' οἷσι εὔπνοια, εὐτονίη, εὐχροίη, τὸ πρόσθεν ὑγείη· ἣν δὲ ἐς ἀσθενείην κακοχυμίης ἡ Φύσις τραπῇ, τόδε ἐστὶ ἡ καχεξίη.

Ἡ νοῦσος ἥδε δυςαλθὴς, ἠδὲ μήκιστον κακόν. καὶ γὰρ τίκτεται χρόνῳ μακρῷ καὶ οὐδὲ ἐπὶ μιῇ τοῦ σώματος κακίῃ, οὐδὲ ἐπὶ σπλάγχνῳ ἑνί· ἀλλὰ γὰρ τῶν ἁπάντων τροπῇ ἐς πονηρόν. Τοιγαροῦν τὰ ἀπότοκα τοῦδε νοσήματα ἄφυκτα γίγνεται, ὕδρωπες,

ξυμπάντων ὁμοῦ (τῶν H.) παθέων καχεξίη τροπή. ἅπασαι γὰρ αἱ νοῦσοι τῆςδε ἀπότοκοι. ἀτὰρ καὶ ἥδε μούνη ἄνευθεν τῶν ἄλλων Φαρμάκων ἐπίδοσιν ἔχουσα πολλὴν (πουλὴν Pa. b.) ἰλυώδεα κατὰ πρώτιστα γίγνεται πάθος· καὶ ἕξις κ. τ. λ. — Multa in hisce multos vexarunt: Petitus pro ἀπότοκοι desiderat ἀποτόκοι ut haec vox *parentes*, *progenitores* significet: tum vero animadvertens Crassum pro Φαρμάκων legisse παθημάτων coniicit ἀφορμῶν. — Wiganus in adn. locum fere intactum relinquit, Latine vero nescio quid venditat, quod e Graecis elici nullo modo potest. Reiskius pro τροπή vult τροφός: Trillerus πλοκή, a quo dissentit Bern. ad Nonnum I. p. 426. Idem Reiskius pro Φαρμάκων ἐπίδοσιν vult νούσων ὑπόστασιν. — Horum quidem rationes mihi perparum placent, adeo ut meam sententiam aequi et eruditi lectoris iudicio submittam. Una res maximi momenti interpretes fugit: esse nempe verba ἐπίδοσιν ἔχοντα πολλὴν ἰλυώδεα desumta e cap. 13ⁱⁱ loco: ἐπὶ τῷ ὕδρωπι, ἢν μὲν οὖρα πολλὰ παχέα, ἐπίδοσιν ἔχοντα πολλὴν ἰλυώδεα καταῤῥαγῇ. Quomodo ad hoc caput defluxerint, quis declarabit? Sed delenda esse certum est. — Nomen Φαρμάκων utrum legerit nec ne Crassus, incertum; sed certum, longe ineptissimum additamentum esse, quo quis τῶν ἄλλων explere voluerit, adeoque litura sanandum esse. — Restat tandem illud ἅπασαι γὰρ αἱ νούσοι τῆςδε ἀπότοκοι, quod quidem cum superiori ξυμπάντων ὁμοῦ παθέων καχεξίη τροπή ita pugnat, ut iam Petitus mutato accentu aliam vim vocabulo ἀπότοκοι tribuere voluerit. Quod tamen quo minus faciam duo me impediunt: primum, quod eodem hoc capite, in verbis τοιγαροῦν τὰ ἀπότοκα τοῦδε νοσήματα ἄφυκτα γίγνεται, nomen illud vulgari suo significatu sumitur; alterum, quod verba ξυμπάντων ὁμοῦ παθέων καχεξίη τροπή· ἀτὰρ καὶ ἥδε μούνη ἄνευθεν τῶν ἄλλων κατὰ πρώτιστα γίγνεται πάθος tam arcte secum cohaerent, ut non nisi aegre alia quacumque, nedum repugnante cum priori membro, sententia, vel sententiae membro, divelli possint. Quid igitur? Longe vero simillimum ex eodem fonte, e quo illud Φαρμάκων, fluxisse, et ineptum additamentum ea referre recentioris scioli primum periodi membrum explicare scilicet studentis. — En rationes, quare ista furcillis expellenda mihi videantur.

καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων καὶ οὔνομα τόδε ξύμβολον καὶ ξυμπτώματα πολλὰ, ἰσχνότης τε ἢ ὦχρος, ἢ οἶδος καὶ εἴ τι ἕτερον πρόςκαιρον ἀνὰ τὸ σῶμα.] Libri: καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων καὶ ξυμπτώματα πολλὰ καὶ οὔνομα τόδε ξύμβολον· ἰσχνότης δὲ ἢ ὦχρος (ὠχρότης H. G. v. l. Pc. d.) ἢ οἶδος κ. τ. λ. — In vulgata hac lect. certe patet ἰσχνότης, ὦχρος, οἶδος κ. τ. λ. ipsa illa πολλὰ ξυμπτώματα esse ἕξιος κακῆς. Itaque malui transponere verba καὶ οὔνομα τόδε ξύμβολον: et vero δέ in τε mutandum fuit, ut huic τε responderet καὶ εἴ τι ἕτερον. — Nomen σχέδιος idem valet, quod mox πρόςκαιρον: cf. initium cap. 2. huius libri de Cephalaea. — Ἕξις κακὴ σχέδιος opponitur τῇ καχεξίῃ, quae diu perstet.

ἡ γὰρ τοῦ ἀνθρώπου ἐς τὰ πάντα εὐεξίη καὶ ἡ ἐς πέψιν, ἢ ἐς ἀνάδοσιν αἵματος γέννα, ἠδὲ πᾶν ἔργον Φύσιος, ἐφ' οἷσι εὔπνοια, εὐτονίη, εὐχροίη, τὸ πρόσθεν ὑγείη· ἣν δὲ ἐς ἀσθενείην κακοχυμίης ἡ Φύσις τραπῇ, τόδε ἐστι ἡ καχεξίη.] In hisce ἡ ἐς τὰ πάντα Pc. d. f. — Porro arctissime cohaerent ἡ ἐς πέψιν ἢ ἐς ἀνάδοσιν αἵματος γέννα, cum quibus conf. verba e cap. superiori τὸ γὰρ ἐν τῇ ἀναδόσει αἷμα τὴν ἀεργίην τὴν τοῦ κώλου ἐπέχον διασπείρει πάντη χεόμενον, itemque verba infra obvia in ipso hoc capite: τοιγαροῦν οὐδὲ χρηστὸν, οὐδὲ εὔχρουν αἷμα γίγνεται, ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς Φύσιος. — Hinc fit ut paene malim legere καὶ ἡ ἐς πέψιν καὶ ἐς ἀνάδοσιν αἵματος γέννα, sed potuit, fateor, etiam ἢ scribere Aretaeus. — De hoc loco inprimis moneo, quod video Crassum et Wiganum hunc locum minus recte cepisse.

ἡ νοῦσος ἥδε.] Pf. ἡ νοῦσος δὲ ἥδε.

οὐδὲ ἐπὶ σπλάγχνῳ ἑνί.] Libri καὶ οὐδὲ ἐ. σ. ἑ.: de coniectura καί delevi.

ἀλλὰ γὰρ τῶν ἁπάντων τροπῇ ἐς πονηρόν.] V. Pa. b. ἀλλὰ τῶν ἁπάντων ἐστι τροπὴ ἐς (Pb. τὸ) πονηρόν.

τοιγαροῦν τὰ ἀπότοκα τοῦδε νοσήματα ἄφυκτα γίγνεται, ὕδρωπες. ἢ Φθίσιες, ἢ ξυντήξιες. καὶ γάρ τοι αἱ

ἢ φθίσιες, ἢ ξυντήξιες. καὶ γάρ τοι αἱ τῆς καχεξίης προφάσιες ἀδελφαὶ τῆς ξυντήξιος ἔασι· εὐσιτίῃ μὲν γάρ, — καί τοι καὶ προςφέρονται πολλά, — ὠμῶν δὲ καὶ ἀτρέπτων ἡ ἀνάδοσις. ἐργασίῃ γὰρ τροφῆς ἡ ἐς πέψιν ἄπορος.

Αἰτίη, δὲ νοῦσος μακρή· δυςεντερίη ξυνεχής· νούσων ὑποστροφαί· ἐνίοισι δὲ καὶ αἱμοῤῥοΐδων ῥόου ἐπίσχεσις, ἢ ἐμέτων ξυνήθων ἀπαλλαγή, γυμνασίων ἀργίη, αὐασμὸς ἱδρώτων καὶ μεγάλων πόνων ῥαθυμίη· εὖτε τῶν παρεόντων ἕκαστον, ὡς τὸ μηδὲν, οὐκ ἐπιστρέφει. Βάρος τοῦ σκήνεος· ὦχρος ἄλλοτε καὶ ἄλλοτε· γαστὴρ φυσώδης· ὀφθαλμοὶ κοῖλοι· ὕπνοι βαρέες, νωθροί. Ἀλλὰ τάδε ῥεμβώδεα μὲν γιγνόμενα νούσου ἀπιστίην ἴσχει· ἢν δὲ ῥιζώσαντα μίμνῃ, μηδὲ ἀπιέναι ἐθέλῃ, μεγάλου κακοῦ ἐστι ξύμβολα. Ἑσταότες μὲν οἰδαλέοι πόδας τε καὶ κνήμας· κατακλινόμενοι δὲ, τὰ κεκλιμένα μόρια. κἢν ἐναλλάξῃ τὴν κατάκλισιν, τὸ οἶδος ἐπ' ἐκεῖνα φοιτῇ. ὑγροῦ τε καὶ ψυχροῦ ἐς τὸ βάθος περίοδος· ἢν γὰρ ἡ θέρμη μὴ τὸ ὑγρὸν ἐξατμίζῃ, τοῦδε οὐκ ἀναχεομένου, εἶτα καταῤῥέει. Εὔσιτοι μὲν πολλῶν σιτίων, ἀδηφάγοι κάρτα. ἀνάδοσις ταχυ-

τῆς καχεξίης προφάσιες ἀδελφαὶ τῆς ξυντήξιος ἔασι· εὐσιτίῃ μὲν γὰρ κ. τ. λ.] Notemus iam *ἀπότοκα*, quod vocabulum est Hippocraticum e lib. spurio de Artic. ductum, ubi p. 208. Ed. Kühn: *τὰ δὲ ἀσθενέστερα σινόμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα.* Ad quem locum cf. Oecon. Foës., Hesych. voce *ἀποτόκους* cum adnotatione interpr., Erot. p. 90. — His collatis eo certius constat, ni fallor, initio in vulg. lect. minime contrario sensu illud *ἀπότοκοι* sumi posse, adeoque illa verba, quae eieci, omnino a recentiori manu profecta esse. Pro *καὶ γάρ τοι αἱ τῆς κ. π.* Libri ferunt *καὶ γάρ τι* (*τοι* O. H. V. Pa. *b.*) *καὶ τῆς κ. π.*: itaque de meo *καί* in *αἱ* mutavi, quod alio loco itidem faciendum fuit. — Pone *ἔασι* inseruntur in libris scriptis et editis omnibus verba: *ἡ δὲ νοῦσος μικρὴ* (*μακρὴ* H. V. Pa. *b. c. f.*) *δυςεντερίη ξυνεχής· νούσων ὑποστροφαὶ ἐνίοισι.* Haec quidem huc non pertinent, sed plura de illis dicam, cum ad eum perveniemus locum, quorsum transtuli.

εὐσιτίῃ μὲν γάρ, καίτοι καὶ προςφέρονται πολλά, ὠμῶν δὲ καὶ ἀτρέπτων ἡ ἀνάδοσις.] *Καίτοι* h. l. non est *tamen* sed *et sane*; sequens *καί*, ut facile vides, vim intensivam habet. — De isto *καί τοι* nonnulla collegi ad Hipp. de Aëre, Aq., locis.

αἰτίη δὲ, νοῦσος μακρὴ, δυςεντερίη ξυνεχὴς, νούσων ὑποστροφαὶ, ἐνίοισι δὲ καὶ αἱμοῤῥοΐδων ῥόου ἐπίσχεσις, ἢ ἐμέτων ξυνήθων ἀπαλλαγὴ, γυμνασίων ἀργίη, αὐασμὸς ἱδρώτων καὶ μεγάλων πόνων ῥαθυμίη· εὖτε τῶν παρεόντων ἕκαστον, ὡς τὸ μηδὲν, οὐκ ἐπιστρέφει.] Hic libri: *αἰτίη δὲ καὶ αἱμοῤῥοΐδων ῥόου κ. τ. λ.* —: de coniectura, ut supra dixi, intermedia huc transtuli, quod sensus loci requirit sibi. Conf. Coel. Aurel. m. chron. III. 6.: « Fit autem, sive nascitur haec passio intemperantia aegrotantis, vel curatione mala medicantis, aut post aegritudinem tardae resumptionis causa, item ex medicaminibus saepissime potatis, vel ex saxea duritie iecoris, aut lienis, vel ex fluxu haemorrhoidis longissimi temporis, aut vomitu, item ex febribus longo tempore corpore affecto, aut collectionibus, aut vomitu post vespertinos cibos, et his similibus." Postrema libri ita scripta ferunt: *εὖτε τῶν παρεόντων ἕκαστον ὡς τὸ μηδὲν οὐκ ἐπιστρέφειν*: Crassus: « quando enim horum singula, quae aderant, non amplius revertuntur." Eodem modo verbotenus Wiganus Latine et in adn.: « haec profecto, inquit, non intelligo." Imo vero sponte patet, *ἐπιστρέφει* esse legendum, quo facto locus facilis adeo intellectu, ut planior nullus esse possit. *Ἐπιστρέφειν* Latine *advertere*; significat Aretaeus symptomata morbi initio adeo levia esse ut instar rei nullius momenti aegrotantis mentem non advertant.

ἀλλὰ τάδε ῥεμβώδεα μὲν γιγνόμενα νούσου ἀπιστίην ἴσχει.] Crassus: « verum enimvero haec si erratice et non statis temporibus fiant: morbi inconstantiam infirmitatemque significant." Wiganus: « at haec, si vago modo invadant, morbi imbecillitatem significant." Pessime interpretantur, quia *ἐπιστρέφειν* supra male intellexerunt: *νούσου ἀπιστίαν ἔχει* significat *faciunt, ut morbum non esse credant.*

ῥιζώσαντα.] Notandum h. l. *ῥιζόω* intransitivum esse: qua de re adlato hoc loco monuit Schneid. ad Theophr. c. pl. I. 2. p. 7. vol. IV. Minime certum mihi est, eo loco *ῥιζοῦσι* non esse veram lectionem.

μεγάλου κακοῦ ἐστι ξύμβολα.] *Σύμβολα* antiquiores Edd. *ξύμβ.* O. et Pa. *b. c.*

τὰ κεκλιμένα μόρια.] *Μόρια* O. Crassus « partes" *μηρία* vulgo. *μυρία* V. Po.

κἢν ἐναλλάξῃ τὴν κατάκλισιν, τὸ οἶδος ἐπ' ἐκεῖνα φοιτῇ. ὑγροῦ τε καὶ ψυχροῦ ἐς τὸ βάθος περίοδος· ἢν γὰρ ἡ θέρμη μὴ τὸ ὑγρὸν ἐξατμίζῃ, τοῦδε οὐκ ἀναχεομένου εἶτα καταῤῥέει.] Editiones antiquiores *τὸ εἶδος.* O. H. V. Pa. *b. c. e. f.* *τὸ οἶδος.* Fueritne ergo *εἶδος* error typographicus in Goupylea? — Libri *ὑγροῦ τε ἢ ψυχροῦ.* De meo *ἢ* in *καί* mutavi. — Negationem *μή* de coniectura mea intuli, quia abesse nequit. — Bernardus ad Nonnum I. p. 114. et in vita Reiskii p. 269. *βάρος*, quod libri omnes ferunt, in *βάθος* mutandum censet, cui obsecutus sum. Quod ad postrema, *τοῦδε οὐκ ἀναχεομένου εἶτα καταῤῥέει* attinet, Petitus mutilum locum habuit; minime vero illi adsentior: nam *τοῦδε οὐκ ἀναχεομένου* Genitivus est absolutus, qui subiecti vice fungitur. Ceterum confer cum hisce in primis ea, quae paulo post sequuntur: *ἡ γὰρ ἐν τῇ κοιλίῃ τοῦ θερμοῦ ἀτονίη καὶ ἐν τῷ σκήνεϊ ὁμοίη.* Itaque ista caloris debilitas nostro causa est, cur humor non sublimis tollatur, adeo ut ad loca declivia defluat. Ne quis vulgatam *ὑγροῦ τε καὶ ψυχροῦ ἐς τὸ βάρος περίοδος* accipiat, quasi legeretur *ὑγρόν τε καὶ ψυχρὸν ἐς βαρύ τι μεταβάλλονται.* Nam hoc

τέρη πέψιος ὠμοτέρων μᾶλλον, ἢ ἀπέπτων· ἐξανέργαστον δὲ ἡ θρέψις· ἡ γὰρ ἐν τῇ κοιλίῃ τοῦ θερμοῦ ἀτονίῃ καὶ ἐν τῷ σκήνεϊ ὁμοίῃ· τοιγαροῦν οὐδὲ χρηστὸν, οὐδὲ εὔχρουν αἷμα γίγνεται, ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς φύσιος.

Καὶ ἐπὴν ὠμῶν ὅλον τὸ σῶμα πλησθῇ, καὶ ἡ ἐς τὰ σιτία ὄρεξις οἴχηται, τῆς καχεξίης ὧδε μέσφι στομάχου νεμομένης καὶ τοῦ πάθεος κορυφὴν ἴσχοντος ἤδη, οἰδαλέοι μὲν, ἀδρανέες δὲ καὶ ἐς πᾶσαν πρῆξιν ἄθυμοι· κοιλίη δὲ ξηροτέρη· ἄχολα τὰ πολλὰ καὶ λευκὰ, τρηχέα καὶ ὠμὰ διαχωρέουσι. Τὸ σκῆνος αὖοι, ἀνίδρωτες, κνησμώδεες, ὕπνος ἑδραῖος μὲν οὐδαμῇ, κεκλιμένῳ δὲ νυσταγμός· βραδύπνοοι, σφυγμοὶ ἀμαυροὶ, ἀσθενέες, πυκνοί· πυκνότατοι δὲ ἐπὶ πάσῃ καὶ σμικρῇ πρήξι. ἄσθμα δὲ ἐπὶ τοῖςδε ἡ ἀναπνοή. Φλέβες ἐπὶ τοῖσι κροτάφοισι ἐπηρμέναι ἀσαρκίῃ τῶν πέριξ, ἀτὰρ καὶ ἐπὶ τοῖσι καρποῖσι πουλὺ μέζονες διοιδέουσαι· μελάγχλωρον τὸ αἷμα. Ἐπὶ τοῖςδε φθίσις, ἢ ξύντηξις ἀνὰ σάρκα ὕδρωπα, ἤ τινα ἀσκίτην ἤγαγε· καὶ τῶνδε ἄφυκτος ἡ γέννα.

Φέρουσι δὲ ἡλικίαι, γῆρας, καὶ οὐκ ἀποδιδρήσκουσι· παῖδες, ταχὺ παθεῖν τε εὔκολοι καὶ ἀπαλλαγῆναι ῥηΐτεροι· ἀκμάζοντες οὐ πάγχυ μὲν παθεῖν ἑτοῖμοι, οὐ πάμπαν δὲ ἀπαλλαγῆναι εὔκολοι. Ὥρη δὲ οὐ μίη φέρει τόδε, οὐδὲ ἐς μίην τελευτᾷ· ἀλλὰ φθινόπωρον μὲν κύει, χειμὼν τιθηνεῖ, ἔαρ δὲ ἐς κορυφὴν τελεσφορεῖ, θέρος δὲ κτείνει.

neque verum, neque ab auctore dici potuit: humor frigidus non mutatur in grave quid, sed gravis iam est ipse: itaque Bernardum verum vidisse opinor.

ἀνάδοσις ταχυτέρη πέψιος, ὠμοτέρων μᾶλλον ἢ ἀπέπτων· ἐξανέργαστον δὲ ἡ θρέψις· ἡ γὰρ ἐν τῇ κοιλίῃ τοῦ θερμοῦ ἀτονίῃ καὶ ἐν τῷ σκήνεϊ ὁμοίῃ. τοιγαροῦν οὐδὲ χρηστὸν, οὐδὲ εὔχρουν αἷμα γίγνεται, ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς φύσιος.] Pro *θρέψις* Goup. in varr. lectt. ponit *τρέψις*, quod recepit Wiganus et interpretatur: «nam eius haud elaborata est confectio.” Mirus sane viri eruditi error: nam *πέψις*, *ἀνάδοσις*, *θρέψις* in corporibus omnino sibi subsequuntur. Ceterum verba *ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς φύσιος* in libris scriptis et editis omnibus pone *θρέψις* inseruntur, unde ad pristinam sedem revocavi. Transpositio haec se ipsa defendit; itaque nihil de illa amplius moneo.

καὶ ἐπὴν ὠμῶν ὅλον τὸ σῶμα πλησθῇ.] Edd. antiquiores *ὠμόν*; sed Goup. in varr. lectt. *ὠμῶν*; ego e Cod. *Pb.* *ὁμοῦ* enotavi, unde *ὠμοῦ* fere effeceris ad *αἷμα* referens: praetuli tamen *ὠμῶν*, quod et in O. receptum, ut ad quodvis humorum in corpore genus spectet.

ἐπὶ πάσῃ καὶ σμικρῇ πρήξι.] Edd. antiquiores *πᾶσι*; verum *πάσῃ* O. ex H. V., idemque vidi in *Pa. c.*

Φλέβες ἐπὶ τοῖσι κροτάφοισι.] *Φλέβες αἱ ἐπὶ τ. κ.* *Pe. f.*

πουλὺ μέζονες.] *Πολύ* vulgo: sed O. *Pa. b.* *πουλύ.*

ἐπὶ τοῖςδε φθίσις. ἢ ξύντηξις ἀνὰ σάρκα ὕδρωπα ἤ τινα ἀσκίτην ἤγαγε.] *Ξύντηξις* O. *Pe. f.*: tum pone hoc nomen *ἀναπνοή* in libris cett. circumfertur: Crassus omittit; et vero Petitus, Wiganus et Reiskius delendum censuere. Bernardus ad Nonnum II. p. 92. *αὐαντή* pro *ἀναπνοή* legendum opinatur: equidem prorsus ab eiusmodi ratione dissentio et una litura sanari posse arbitror. Forte librarius seq. *ἀνὰ σάρκα* scripturus errore posuit *ἀναπνοή* et rursus pergens *ἀνὰ σάρκα* scripsit, neque delevit vocem abundantem. — Tandem *τιν᾽ ἀσκίτην* Edd. antiquiores: *τινά* praebent O. *Pa.*

ἑτοῖμοι.] Libri *ἕτοιμοι*: de meo accentum mutavi, nomen ad veterum Atticorum et Ionum morem describens. Cf. Koen. ad Greg. Cor. p. 21.

φθινόπωρον μὲν κύει, χειμὼν τιθηνεῖ, ἔαρ δὲ ἐς κορυφὴν τελεσφορεῖ, θέρος δὲ κτείνει.] Notanda consecutio metaphorica in *κύειν*, *τιθηνεῖν*, *τελεσφορεῖν*, *κτείνειν*.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

ΠΕΡΙ

ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ ΣΗΜΕΙΩΤΙΚΟΝ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

ΠΕΡΙ ΥΔΡΩΠΟΣ.

Κεφ. α΄.

Ὕδρωψ ἀτερπὲς μὲν ἐςιδεῖν πάθος, χαλεπὸν δὲ καὶ παθεῖν. διαδιδρήσκουσι γὰρ τόδε πάγχυ παῦροι ὑπ᾽ εὐτυχίης, καὶ θεῶν ἐπικουρίῃ μᾶλλον ἢ τέχνης· τὰ γὰρ μέζονα πάντα ἰῶνται μοῦνοι θεοί. Ἢ γὰρ ἐν σπλάγχνῳ καιρίῳ νόσημα φωλεῦσαν ἔτρεψε ἐς καχεξίην τὸ πᾶν, ἢ τὸ ξύμπαν σκῆνος λοιμοῦ κατάρξαντος ἐς κακοχυμίην ἤμειψε τὰ σπλάγχνα. εὖτε ἀλλήλοισι ἄμφω ἐς τὸ κακὸν ξυντιμωρέει, ἀσινὲς δὲ οὐδὲν, ἐξ οὗπερ καὶ σμικρὴ τῇ φύσι γίγνοιτο ἂν ἐπικουρίη. Ἔστι δὲ ἐς ἐπομβρίην ῥεῦμα ψυχρὸν, παχὺ, ὁκοῖον ἡ ὁμίχλη τῷ παντί· ἡ τροπὴ ὑγρῆς καὶ ψυχρῆς αἰτίης ἐς τοιήνδε ἕξιν ἑτεροιούσης τὸν ἄνθρωπον. Οὐ γὰρ τὸ ἐν τῇ κοιλίῃ τῇ κάτω ἀλιζόμενον ὑγρὸν ὕδρωπα καλέομεν, ἐπεὶ οὐδὲ τὸ πάθος τῆδέ ἐστι· ἀλλ᾽ ὅτε ξυμπαρομαρτέει τῇ νούσῳ ὁ ὄγκος, τὸ οἶδος, ἡ χροιὴ, ἠδὲ ἐς τὸ ὕδωρ ξυντήκουσα ἕξις, ὕδρωψ τέ ἐστι καὶ καλέεται. κὴν γὰρ ἐκραγῇ κοτὲ τὸ ὕδωρ αὐτομάτως ἔξω, ἢ ταμών τις τὸ ὑποχόνδριον ἐκχέῃ, ἐφ᾽ ἕδρης ἔασι ὑδρωπιώδεες. Ἡ μὲν οὖν πρωτίστη αἰτίη, καχεξίη.

Lib. II. Cap. 1. *διαδιδρήσκουσι γὰρ τόδε πάγχυ παῦροι ὑπ᾽ εὐτυχίης καὶ θεῶν ἐπικουρίῃ μᾶλλον ἢ τέχνης.*] Pro *γάρ* Pd. *δέ*. — *Ἐπικουρίῃ* de meo supplevi, Codd. omittunt: nimirum aegre fero praepositionem *ὑπό* e superioribus repetendam esse in vulgata loci scriptura; nam supplere debebis *καὶ διαδιδρήσκουσι ὑπὸ θεῶν μᾶλλον, ἢ τέχνης*, quod fieri non posse contendo. Aeque minus licet supplere *καὶ θεῶν εὐτυχίης μᾶλλον ἢ τέχνης*, neque enim sensum sanum hoc refert. Reposui igitur nomen, quod paulo inferius etiam occurrit et Crassus et Wiganus Latine expresserunt. — *Εὐτυχίης* in hoc morbo mentio facta ab Aretaeo ad imitationem loci e parte spuria libri Hipp. de V. A. § 52. mihi: *ὑδρώπων δύο μὲν φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἄφυκτος, ὁ δὲ μετ᾽ ἐμφυσημάτων, ἐγχειρέων γίγνεσθαι, πολλῆς εὐτυχίης δεόμενος.* Locum dudum adscripsit Petitus.

τὰ γὰρ μέζονα πάντα ἰῶνται μοῦνοι θεοί.] Μοῦνον Pa. *b*. — Ceterum advertit haec sententia, quam proverbii speciem referre dixerim.

εὖτε ἀλλήλοισι ἄμφω ἐς τὸ κακὸν ξυντιμωρέει.] Pro *ἀλλήλοισι* libri ferunt *ἄλλοισι*. — Vere emendarunt Wiganus, Reiskius. Imitatur Aretaeus Hippocratem in lib. de V. A. § 17. mihi: *καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι ξυντιμωρέει.* — Cf. adn. nostram ad l. l. p. 140.

γίγνοιτο ἂν ἐπικουρίη.] Pb. c. d. e. f. *γίγνοιτ᾽ ἄν*.

ἔστι δὲ ἐς ἐπομβρίην ῥεῦμα ψυχρὸν, παχὺ, ὁκοῖον ἡ ὁμίχλη τῷ παντί.] Respicit iterum Heracliti dictum, quod descripsimus ad cap. 4. lib. II. de s. m. ac., uti recte vidit Petitus. — Sed minus recte tum hic, tum Wiganus h. l. *τὸ πᾶν* intelligunt de corpore hominis universo: spectatur rerum universum, mundus, quo modo accepisse videtur Crassus. — Minime placet Petiti coniectura pro *ῥεῦμα* legentis *πνεῦμα*: nempe *ῥεῦμα ἐς ἐπομβρίην* optime intelligo; minime vero *πνεῦμα ἐς ἐπομβρίην*. — Quae vero adfert, perparum ad eius sententiam firmandam valent, quin imo verba e medio capite, *ἢν δὲ ἐς ὁμίχλην καὶ ὕδωρ τρέπηται τὸ πνεῦμα*, potius vulgatam h. l. tuentur.

οὐ γὰρ τὸ ἐν τῇ κοιλίῃ τῇ κάτω ἀλιζόμενον ὑγρὸν ὕδρωπα καλέομεν.] Libri omnes *ἀλλόμενον*. — Emendavit Wiganus. — Cf. verba e cap. de Cholera *τὰ ἐν τῷ στομάχῳ ἁλιζόμενα*. — Eodem modo emendavit Bernardus. Inusitatum nostro, quod Reiskius proposuit, *ἀολλεόμενον*.

ἀλλ᾽ ὅτε ξυμπαρομαρτέει τῇ νούσῳ ὁ ὄγκος, τὸ οἶδος, ἡ χροιὴ, ἠδὲ ἐς τὸ ὕδωρ ξυντήκουσα ἕξις, ὕδρωψ τέ ἐστι καὶ καλέεται.] Pro *ἠδέ* in hisce vulgo *ἥδε*, quod et Crassus Latine expressit: unus Pc. *ἡ δέ* (sic). — Me iudice sententiae apodosis solis verbis *ὕδρωψ τέ ἐστι καὶ καλέεται* continetur: itaque *ἥδε* ferri nequit, sed in copulam aliquam est mutandum; primum igitur *ἤ τε* emendaveram; postea vero potius arrisit *ἠδέ*, quod quum ad utramque librorum lect. proxime accedit, tum vero eo etiam praestat, quod *ἕξις* non habet articulum, qui melius omittitur ante hoc nomen, quo res indicatur minus visui patens, quam *ὁ ὄγκος, τὸ οἶδος* et *ἡ χροιή*. — Parum recte *ἀχροίη* desiderat Petitus: *ἡ χροιή* est solitus ille in Hydropicis color pallidus.

Ἰδέαι δὲ πλεῦνες, ἀτὰρ καὶ οὔνομα ἕτερον καὶ ἕτερον. Ἢν μὲν γὰρ ἡ παρέγχυσις ἔνυγρος ἐν τῇσι λαγόνεσι ἐμπλώῃ καὶ ὑπὸ τῆς πρήσιος ἐν τοῖσι πατάγοισι δονέῃ, ὅκως τύμπανον, τυμπανίης κικλήσκεται. Ἢν δὲ ὕδωρ ἄλις ἐς τὸ περιτόναιον ἐμπεριχέηται, ἐμπλώῃ δὲ τῷ ὑγρῷ τὰ ἔντερα, καλέομεν ἐπίκλησιν ἀσκίτην. Ἢν δὲ αἱ λαγόνες μὲν μηδὲν τουτέων ἴσχωσι, τὸ πᾶν δὲ παροιδαίνῃ σκῆνος, ἣν μὲν ἐπὶ λευκῷ φλέγματι καὶ παχέϊ, καὶ ψυχρῷ, φλεγματίης καλέεται· ἣν δὲ ἐς χυμὸν αἱμάλωπα, ὑδατώδεα, λεπτὸν, ξυντακῶσι αἱ σάρκες, ἀνὰ σάρκα γίγνεται ὕδρωψ. Κακὴ μὲν ἡ ἑκάστου ξύστασις· οὐ κακίων δὲ πολλόν τι ἡ τῶνδε ἐπιμιξίη. τῶν γὰρ ἀμφὶ τὰς λαγόνας εἷς ἑνὶ τῶν ἀνὰ τὸ πᾶν ξυμβῇ γέ κοτε. Χαλεπώτατος δὲ ἢν ὁ τυμπανίας τῷ ἀνὰ σάρκα μιχθῇ· καὶ γὰρ ἰδίῃ τῶν μὲν ἀμφὶ τὰς λαγόνας, ἀσκίτου τυμπανίας χερείων· τῶν δὲ ὅλου τοῦ σκήνεος, ὁ λευκοφλεγματίας τοῦ ἀνὰ σάρκα μείων. Ἐπιεικὴς μὲν ὢν, ὡς ἐν ἀπελπίστοισι, ἢν ὁ μείων ξυστῇ τῷ μείονι. κακίων δὲ, ἢν εἷς τις τῶν μειόνων ἑνὶ τῶν μεζόνων ἐς τὠυτὸ ξυμβῇ. ἢν δὲ ἐς ἄκρας ἡ μίξις ἅμα ἵκηται δυοῖν μεγάλοιν, μέζον κακὸν τὸ ἔκγονον.

Σημεῖα δὲ μέγιστα, καὶ ῥήϊστα ἰδεῖν, καὶ θιγέειν, καὶ ἐςακοῦσαι. Ἐπὶ μὲν τῷ ἀσκίτῃ ἰδέειν ὄγκον ἐν τῇσι λαγόσι, οἶδος ἀμφὶ τὼ πόδε· πρόςωπον δὲ καὶ βραχίονες, καὶ τὰ ἄλλα, ἰσχνά· οἰδέουσι ὄρχιές τε καὶ πόσθη, καὶ ὁ ξύμπας καυλὸς σκολιὸς ἐξ ἀνί-

κὴν γὰρ ἐκραγῇ κοτε τὸ ὕδωρ αὐτομάτως ἔξω, ἢ ταμών τις τὸ ὑποχόνδριον ἐκχέῃ, ἐφ' ἕδρης ἔασι ὑδρωπιώδεες.] Pro *ἐκχέῃ* V. *ἐγχέῃ*. — Pc. in margine *ἐφ' ἕδρῃ*. Libri editi et scripti omnes *οἱ ὑδρωπιώδεες*; articulus delendus visus est. Illud *ἐφ' ἕδρης ἔασι ὑδρωπιώδεες* alii alio modo Latine reddiderunt interpretes. Crassus: «adhuc in sede sua permanent hydropici." — Petitus: «manet, constat morbus." — Wiganus: «morbus tamen Hydropicis confirmatus remanet." — Adponam alios quosdam ex auctore nostro locos, qui haec verba illustrabunt. Cap. 8. huius libri legis: *παιδίοισι δὲ πολλὸν ὑπὸ τοῦ αἵματος τὸ ἰλυῶδες ἑψηθὲν γενέσιος, ὅκως πῦρ τὴν ἕδρην ἴσχει.* Cap. 10: *ἢν... ἐν ἕδρῃ ἵζῃ ἡ αἰτίη τουτέων.*— Cap. de cur. Cephalaeae: *φιλυπόστροφον γὰρ κακὸν καὶ ἐν ἕδρῃ ἵζον τὰ πολλὰ φωλεύει.* — Nos haud absimili modo «zij zijn toch in den grond waterzuchtig." Comparo Hippocraticum *πυθμενόθεν οὐκ ἴσασι.*

Ἰδέαι δὲ πλεῦνες, ἀτὰρ καὶ οὔνομα ἕτερον καὶ ἕτερον.] Vulgata in libris omnibus lectio haec est: *ἰδέαι δὲ πλεῦναι, ἧς ἀτὰρ ὄνομα* (*οὔνομα* O. Pa. *b.*) *ἕτερον καὶ ἕτερον.* — Ineptissimum *πλεῦναι, ἧς* in *πλεῦνες* mutandum esse vidit Scaligerus, qui in marg. exemplaris Henyschiani correxit. — Sed praeterea *καί* pone *ἀτάρ* de meo reposui, quippe sine quo sensus loci sanus esse nequit.

ἣν γὰρ ἡ παρέγχυσις ἔνυγρος ἐν τῇσι λαγόνεσι ἐμπλώῃ καὶ ὑπὸ τῆς πρήσιος ἐν τοῖσι πατάγοισι δονέῃ ὅκως τύμπανον, τυμπανίης κικλήσκεται.] Pro *ἡ* Pa. *b.* *εἴη*. H. V. G. v. l. Pc. *d. e.* *ἐμπλέῃ* Pa. *b.* *ἐμπέῃ* Pb. in m. *ἐμπέσῃ*. — *ὑπὸ τῆς π.* dant libri scripti omnes et O.; antiquiores Edd. *ἀπὸ τῆς π.* — Libri cett. *δοκέῃ* (V. Po. *δοκέει*) *πως τυμπάνῳ*, quod et Crassus legisse videtur. — Recepi Wigani emendationem certissimam, id unum si excipias, quod hic *ὅπως* communiter scripsit. — Parum recte vero Wiganus pro *ἔνυγρος* desideravit *ἄνυγρος*: vide quam inepte Aretaeus dixisset: *ἢν παρέγχυσις ἄνυγρος ἐμπλώῃ!*

ἣν δὲ ὕδωρ ἄλις ἐς τὸ περιτόναιον ἐμπεριχέηται, ἐμπλώῃ δὲ τῷ ὑγρῷ τὰ ἔντερα.] Libri omnes *ἐμπεριέχηται* quod non ferendum puto: requirerem certe *ἐν τῷ περιτοναίῳ ἐμπεριέχηται.* — Legendum *ἐμπεριχέηται*, sicuti paulo ante *παρέγχυσις* a *χέω*: — *ἐμπεριχέηται* h. l. e. *ἐγχέηται ἐς τὸ περιτόναιον περὶ τὰ ἔντερα.*

καὶ παχέϊ.] *Παχεῖ τε* H. Pa.

ξυντακῶσι.] Sic O. Pa. *b.* *συντ.* cett.

οὐ κακίων δὲ πολλόν τι ἡ τῶνδε ἐπιμιξίη.] Petitus *οὐ* deletum cupit; etiam Wiganum negationem in Latinis omisisse video. — Causam, cur eam delerem, vidi nullam: mox enim: *ἐπιεικὴς μὲν ὢν, ὡς ἐν ἀπελπίστοισι, ἣν ὁ μείων ξυστῇ τῷ μείονι.* Prorsus displicet Bernardi in vita Reiskii p. 330. coniectura, *οὐ θῶυμα κακίων.* Nihil deficit!

τῶν γὰρ ἀμφὶ τὰς λαγόνας.] Ceteri *τῶνδε*: perperam; huc defluxit e superiori *τῶνδε ἐπιμιξίη.*

ἐπιεικὴς μὲν ὢν, ὡς ἐν ἀπελπίστοισι, ἣν ὁ μείων ξυστῇ τῷ μείονι.] Ὡς de meo supplevi; vocula abesse nequit: — de hoc eius usu vide Vig. Ed. Herm. p. 569. nota 29. — *ἀνελπίστοισι* H. V. G. v. l. *Pf.* et *c.* in marg. — *ἣν ὁ μείων* vera loci scriptura est ex H. in O. recepta: — *ἣν ὁμοίως* cett. — Dixeris paene Crassum legisse: *ἣν ὁ μείων ξυστῇ τῷ μείονι ὁμοίως.*

κακίων δὲ, ἢν εἷς τις τῶν μειόνων ἑνὶ τῶν μεζόνων ξυμβῇ.] Pro *ἢν εἷς τις* edi solet *εἴ τις*: sed pro *εἰ* H. V. ferunt *ἤν* et Pa. *b. d. e. f.* *ἢν εἴ τις*, in quo latere existimavi quod iam exhibeo.

ἅμα ἵκηται.] Sic O. — Vulgo *ἅμ' ἥκηται*: sed *ἅμα* fert Pb. *ἵκηται* V.

τὸ ἔκγονον.] Ita de meo scripsi: *ἔγγονον* cett., quod non ferendum mihi videtur. Notissima res est, librarios haec nomina *μυριάκις* confundere.

θιγέειν.] Ionica Aoristi forma, qualis mox *ἰδέειν.*

πρόςωπον δὲ καὶ βραχίονες κ. τ. λ.] Libri *πρόςωπα* plur. num.; de meo singularem numerum reposui. Paulo

σου τοῦ οἴδεος. Θίγειν ἤδὲ ἐρείσαντά πη τὴν χεῖρα κατὰ λαγόνα εἰςωθεῖν· τὸ γὰρ ὑγρὸν ἐπὶ τὰ ἄλλα μέρεα μεταῤῥέει· ἀτὰρ καὶ ἐν τῇσι τοῦ ἀνθρώπου τῇδε ἢ τῇδε ἐπιστροφῇσι ἐς τὰς μετακλίσιας τὸ ὑγρὸν ὄγκον τε καὶ κλύδωνα ποιέει· ἐςακούειν δὲ καὶ τοῦ κλύδωνος. ἀλλὰ κἢν πη τὸν δάκτυλον ἐρείσῃς, ὁ χῶρος γίγνεται κοῖλος, ἐς χρόνον τε πουλὺν μίμνει κοῖλος. Τάδε μὲν οὖν τὰ ἀσκίτου.

Τυμπανίης δὲ πρὸς τῇ τοῦ ὄγκου θέῃ καὶ ἀκοῦσαι ἐστὶ δονέων. ἢν γὰρ πατάξῃς τῇ χειρὶ, τὸ ἐπιγάστριον δονέει, οὐδὲ μεταχωρέει τὸ πνεῦμα ἐν τῇσι ἐπιστροφῇσι· πνεῦμα γὰρ, κἢν μετακλινθῇ τὸ ἀμπέχον ἄνω τε καὶ κάτω, ἴσον πάντη μένει. ἢν δὲ ἐς ὀμίχλην καὶ ὕδωρ τρέπηται τὸ πνεῦμα, — καὶ γὰρ ἀσκίτης ἀπὸ τυμπανίου, — ἀμείβεται μὲν, ἢν μὴ ἐς τέλος τραπῇ κοτε, ἡμιτελὴς μεταῤῥέων.

Ὁ δὲ ἀνὰ σάρκα ἠδὲ τοῦ λευκοῦ φλέγματος τὰς μὲν λαγόνας ἴσχουσι κενεὰς, οἰδαλέοι δ' ἔασι καὶ πρόςωπα καὶ βραχίονας· ἀτὰρ ἠδὲ ὁκόσα τοῖσι ἄλλοισι κενεὰ, τοῖςδε γίγνεται πλήρεα. Φλέγμα μὲν γὰρ λευκὸν ἐπὶ τῷ λευκοφλεγματίᾳ ξυνίσταται, ψυχρόν τε καὶ παχύ· τοῦδε ἐμπίπλαται τὸ πᾶν. οἰδαίνει δὲ τὸ πρόςωπον, αὐχήν τε καὶ βραχίονες· παχὺ δὲ τὸ ἐπιγάστριον ἀπὸ τοῦ οἴδεος· μαζοὶ δὲ ἐς ὄγκον αἴρονται, ὁκόσοι νέοι ἀκμὴν ὄντες ἐν εὐτυχίῃ τῆς ἡλικίης. Ἐπὶ δὲ τῷ ἀνὰ σάρκα, τηκεδὼν τῆς σαρκὸς ἐς χυμὸν σαρκοειδέα, ἰχώρ τε αἱμάλωπος, ὁκοῖος ῥέει ἐπὶ ἐντέρων ἕλκεσι· τοιόςδε καὶ ἐπὶ θλάσμασι ἀπὸ βάρεος ἐμπεσόντος, ἢν τάμῃς τι ἐπιπολῆς, ὁ χυμὸς ἐκρέει. Ἡ δὲ τοῖν δυοῖν ἐπιμιξίῃ ἀμφοῖν ἴσχει τὰ σημήϊα.

Ξύμπασι δὲ ὁμοῦ ξύνεστι, ὦχρος, δύςπνοια, βὴξ ἄλλοτε καὶ ἄλλοτε· νωθέες, ὄκνος πουλύς· ἀπόσιτοι, ἢν δέ τι προςαίρωνται, κἢν βραχὺ καὶ ἄφυσον, φυσώδεες, διατάσιες, ὡς ἀπὸ πλησμονῆς· ἄνικμοι, διὸ οὐδὲ ἐπὶ λουτροῖσι ἰκμαλέοι· λευκοὶ, γυ-

post in ipso hoc capite: *οἰδαίνει δὲ τὸ πρόςωπον, αὐχήν τε καὶ βραχίονες.*

τὰ ἄλλα ἰσχνά.] Τἄλλα *l.* Pa. *b.*: mox *πόσθαι* A. Pd.

κατὰ λαγόνα εἰςωθεῖν.] *Κατὰ λαγόνα* felicissima est Wigani emendatio vulgatae lect. *κατὰ λόγον*, quae sensu cassa facile ex eo, quod exhibui, oriri potuit.

μεταῤῥέει.] *Καταῤῥέει* Pf.

ἐςακούειν δὲ καὶ τοῦ κλύδωνος.] Libri in his *τε καί*, quod e superiori *ὄγκον τε καὶ κλύδωνα* huc demanasse videtur: ego certe *δὲ καί* requiro. Primo tactu *κλύδωνα* percipi posse dixit et ad eum animum attendendum, iam vero etiam auditu sonum esse percipiendum monet, itaque *δὲ καί* i. e. *et vero* optime quadrat.

ἐς χρόνον τε πουλὺν μίμνει κοῖλος.] Sic O. ex M. vere: cett. *ἐς χῶρον τε κ. τ. λ.* Etiam Scaligerus in marg. exemplaris Henyschiani *ἐς χρόνον* reponit.

τάδε μὲν οὖν τὰ ἀσκίτου.] *Οὖν* h. l. O. ex V. exhibet: omittunt cett.

δονέων.] *Δοκέων* Pc. in marg. et Pe. Vides quam certa sit emendatio supra recepta: *ἢν δονέῃ, ὅκως τύμπανον.*

κἢν μετακλινθῇ τὸ ἀμπέχον.] Cett. *μετακλιθῇ*: sed Pf. *μετακλινθῇ*: cf. cap. 11. libri superioris: *κἢν ὕπτιος κατακλινθῇ ὥνθρωπος*, quaeque ad haec verba citavi.

τὰς μὲν λαγόνας ἴσχουσι κενεὰς, οἰδαλέοι δ' ἔασι κ. τ. λ.] Hoc loco *δ'* ante *ἔασι* de meo reposui, ut responderet superiori *μέν*: cett. *δ'* omittunt. — Pro *καὶ πρόςωπα* Pa. *καὶ τὰ πρόςωπα.*

ἐπὶ τῷ λευκοφλεγματίᾳ ξυνίσταται.] *Λευκοφλεγματίᾳ* O. ex V. — *λευκῷ φλεγματίῃ* cett. — *ξυνίσταται* mihi praebuerunt *Pe. f.* — *συνίσταται* cett.

ὁκόσοι νέοι ἀκμὴν ὄντες ἐν εὐτυχίῃ τῆς ἡλικίης.] Offendit hoc Wiganum, qui: « an, inquit, *νέοι καὶ ἀκμάζοντες*, vel *ἀκμὴν ἔχοντες*, vel *ἐν ἀκμῇ ὄντες*?" Recte vidit Petitus *ἀκμήν* adverbialiter sumendum esse. Simili modo *ἀρχήν* a Graecis usurpatur.

ἰχώρ τε αἱμάλωπος, ὁκοῖος ῥέει ἐπὶ ἐντέρων ἕλκεσι.] Petitus: « scribe, inquit, *αἱματωπός*, sanguineus, colore sanguineo: *αἱμάλωψ* et *αἱμαλωπίς* apud Dioscoridem reperitur et substantivum est: *αἱμάλωπος* nusquam." Equidem, si quid mutatum vellem, scriptum cuperem *ἰχῶρά τε αἱμάλωπα*, ut adiective sumatur *αἱμάλωπα*, uti supra in verbis *ἢν δὲ ἐς χυμὸν αἱμάλωπα, ὑδατώδεα, λεπτὸν ξυντακῶσι αἱ σάρκες.* Attamen ferri posse videtur vulgata lectio, in qua *αἱμάλωπος* non sit adiectivum, sed Genitivus substantivi. Pro *ἐπὶ ἐντέρων ἕλκεσι* vulgo *ἀπὸ ἐντέρων ἕλκεσι*, sed *Pb. d. f.* *ἀπ'* — Pc. *ἐπ'*.

ἢν τάμῃς τι ἐπιπολῆς.] *Ἐπιπολύ* libri scripti ferunt: emendavit Wiganus e Crassi *Latinis*, itaque in O. *ἐπιπολῆς* legitur.

τοῖν δυοῖν.] Vulgo *τῶν δυεῖν*: sed H. V. A. O. *τοῖν δυοῖν* Pa. *b.* *τῶν δυοῖν.*

βὴξ ἄλλοτε καὶ ἄλλοτε.] Ita cum Wig. distinguo; minus recte Goup. cett. *ἄλλοτε καὶ ἄλλοτε νωθέες* coniungunt. Formulae *βὴξ ἄλλοτε καὶ ἄλλοτε, πόνος ἄλλοτε καὶ ἄλλοτε* in libris spuriis nonnullis Hippocratis frequentes.

ἐπιφανέες καὶ ἐν προςώπῳ καὶ κάρποισι καὶ ἐπιγαστρίῳ.]

ναικώδεες. Οἱ δὲ ἀνὰ σάρκα μελάγχλωροι, μελανόφλεβες· ἀσκίτῃσι μὲν καὶ τυμπανίῃσι ἐπιφανέες καὶ ἐν προςώπῳ, καὶ κάρποῖσι, καὶ ἐπιγαστρίῳ. ἐπὶ δὲ τοῖσι ἀνὰ σάρκα καὶ τῷ φλεγματίῃ οἴδεϊ ἅπαντα κρύπτεται. Ὕπνοι βαρέες, νωθροὶ, σμικροί· ἀψυχίη, σμικρολογίη, φιλοζωΐη. καρτερίη, οὐκ ἀπ' εὐθυμίης καὶ εὐελπιστίης, ὅκως τοῖσι ἐν εὐτυχίῃ, ἀλλ' ἐξ αὐτέου τοῦ πάθεος. Οὔτι φατὸν τὴν αἰτίην, θωυμάσαι δὲ τόδε μέγα· ἐπὶ μέν γε ἄλλοισι οὐ πάμπαν ὀλεθρίοισι οἱ νοσέοντες ἄθυμοι, κατηφέες ἔρανται τοῦ θανάτου· ἐπὶ δὲ τοῖσι, εὐέλπιδες καὶ φιλόζωοι γίγνονται. ἄμφω δὲ τὰ ἐναντία τίκτουσι αἱ νοῦσοι.

Γίγνεται ὕδρωψ καὶ ἐξαπίνης κοτὲ ἐπ' ἀθρόῃ ψυχροποσίῃ, ἣν ὑπὸ δίψεος χανδὸν πουλὺ ψυχρὸν ἐγχέῃ τις ὕδωρ, εἶτα τὸ ὑγρὸν ἐς τὸ περιτόναιον ἐνεχθῇ· δι' ἃ δὲ ἐν τῇσι κοιλίῃσι τὸ ἔμφυτον θερμὸν κατεψύχθη, ἔπειτα ἐς τοὺς κενεῶνας σταγόνες ἐκρέουσι, αἳ πρόσθεν ἐς διαπνοὴν ἐξηερούμεναι διεφοροῦντο. Τόδε οὖν εἰ γίγνεται, ῥηϊτέρη ἡ τῶνδε ἴησις, πρίν τι τῶν σπλάγχνων, ἢ ὅλον τὸν ἄνθρωπον παθεῖν. Ἀτὰρ ἠδὲ ἔδεσμα φυσῶδες, καὶ ἀπεψίη, καὶ βούπρηστις, ἔτεκον ὕδρωπας.

Ἔστι δὲ ξυνὸν πάντων τὸ κακὸν, ἀνδρῶν, γυναικῶν, ἡλικίης πάσης, πλὴν ὁκόσον ἄλλοι ἐς ἄλλο εἶδος ἔασι ὡραῖοι· ἀνὰ σάρκα παῖδες, ἠδὲ τοῦ λευκοῦ φλέγματος. νέοι δὲ μέχρι ἀκμῆς, οἱ κατὰ λαγόνας πλήσμιοι. γέροντες μὲν πάντα παθέειν ἑτοῖμοι, ψυχρὸν γὰρ τὸ γῆρας· ἀλλ' ἐς ὑγροῦ πλῆθος ἔασι ἀναίτιοι. τοῖςδε οὖν τυμπανίης ξυνήθης.

Legebatur *καὶ εὐπρόςωποι*: Petitus *εὐπρόςοπτοι* voluit; recepi unice veram Wigani emendationem. — Ad *ἐπιφανέες* e praegresso *μελανόφλεβες* nomen *φλέβες* est repetendum.

καρτερίη, οὐκ ἀπ' εὐθυμίης καὶ εὐελπιστίης, ὅκως τοῖσι ἐν εὐτυχίῃ, ἀλλ' ἐξ αὐτέου τοῦ πάθεος. Οὔτι φατὸν τὴν αἰτίην, θωυμάσαι δὲ τόδε μέγα· ἐπὶ μέν γε κ. τ. λ.] Vulgo editur: *καρτερίη οὐκ ἀπ'* (*ἀπὸ* Pa. d. e. f.) *εὐθυμίης καὶ εὐελπιστίης, ὅκως τοῖσι* (*τισίν* Pc.) *ἐν εὐτυχίῃ, ἀλλ' ἐξ αὐτέου τοῦ πάθεος, οὔτε* (*οὔτι* Goup. et libri scripti: *Οὔτι* O.) *φατὸν τὴν αἰτίην θωυμάσαι· τὸ δὲ μέγα, ἐπὶ μέν γε κ. τ. λ.* — Sponte patet pone *πάθεος* puncto esse distinguendum: tum vero coniungenda esse *οὔτι φατὸν τὴν αἰτίην* et *θωυμάσαι τόδε μέγα*; quum vero utrumque ad seqq. spectet, *δέ* ante *τόδε* adscripsi de meo. Illud *οὔτι φατόν* poëtas redolet; cf. Hesiod. Aspis. vs. 144.

ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος, οὔτι φατειός.

Callim. Hymn. in Delum vs. 60:

σπερχομένη μέγα δή τι καὶ οὐ φατόν.

ἔρανται τοῦ θανάτου.] Ita de meo scripsi, cett. *ἐράται.* — Hoc quidem ferri nequit, *ἐρασταί* certe requisiveris: nec tamen dubito, quin ab *ἔραμαι* noster *ἔρανται* dederit.

ἣν ὑπὸ δίψεος χανδὸν πουλὺ ψυχρὸν ἐγχέῃ τις ὕδωρ.] *Πουλύ* O. Pa. b. *πολύ* cett. — *τις* de meo interposui, quia aegre ferebam abesse in libris. — Desumta sunt haec ex libro Hipp. spurio de internis aff. p. 469. Ed. Kühn.: *ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας ὕδωρ πουλὺ πίῃς. ἐπείπερ ἐκ τοῦδε γίνεσθαι φιλέει μάλιστα.* — Locum iam laudavit Petitus.

εἶτα τὸ ὑγρὸν ἐς τὸ περιτόναιον ἐνεχθῇ.] In his *ἠνεχθῇ* (sic) Pc. d. e. *ἠνέχθη* (sic) O. — Vulgatam retinui, subiunctivus a superiori *ἤν* pendet, perinde atque *ἐγχέῃ*. — Articulum ante *περιτόναιον* sola O. Ed. habet.

δι' ἃ δὲ ἐν τῇσι κοιλίῃσι τὸ ἔμφυτον θερμὸν κατεψύχθη] Vulgo *δι' ἃ δὲ τῇσι*: sed V. Pa. c. *διὰ δὲ τῇσι.* — De meo praepositionem *ἐν* interposui; forte *δ' ἐν* ferebant libri nostris codicibus antiquiores.

ἐς τοὺς κενεῶνας ... ἐς διαπνοήν.] Utroque loco *εἰς* vulgo: priori *ἐς* O. — utroque loco *ἐς* praebent Pa. b.

καὶ βούπρηστις.] Iam Petitus ad Nicandri et Dioscoridis locos provocavit, quorum alter Alexipharm. vs. 341:

πᾶσα δὲ οἱ νηδὺς διαπίμπραται, ὡς ὁπόθ' ὕδρωψ
τυμπανόεις ἀνὰ μεσσὸν ἀφυσγετὸς ὀμφαλὸν ἵζει.

Alter lib. de Venenis. cap. 3. —: *τοῖς δὲ βούπρηστιν πεπωκόσι δοκεῖ κατὰ τὴν γεῦσιν ὅμοιόν τι βρωμώδει νίτρῳ· παρακολουθεῖ δὲ ἄλγημα στομάχου καὶ κοιλίας σφοδρόν· ὄγκος τε στομάχου καὶ κοιλίας, ὁμοίως ὑδρωπικοῖς· καὶ περιτείνεται αὐτοῖς ἡ ἐπιφάνεια ὅλου τοῦ σώματος· τά τε οὖρα ἐπέχεται.* — Quo loco quidem omissis altera sede verbis *στομάχου καὶ κοιλίας* legere mallem: *παρακολουθεῖ δὲ ἄλγημα στομάχου καὶ κοιλίας σφοδρὸν, ὄγκος τε ὁμοίως ὑδρωπικοῖς, καὶ περιτείνεται κ. τ. λ.*

ἡλικίης πάσης, πλὴν ὁκόσον ἄλλοι ἐς ἄλλο εἶδος ἔασι ὡραῖοι.] In libris *πλήν* abest: de coniectura dudum adieceram, antequam viderem idem desiderasse Wiganum in adnn. Libri *ὥριοι*: de meo *ὡραῖοι* scribo.

ἀνὰ σάρκα παῖδες, ἠδὲ τοῦ λευκοῦ φλέγματος· νέοι δὲ κ. τ. λ.] Breviloquentia omnino in his inest; possis ea ita explere: *ἐς εἶδος τὸ ἀνὰ σάρκα παῖδες, ἠδὲ ἐς τὸ τοῦ λευκοῦ φλέγματος.*

ἑτοῖμοι.] Ita de meo Ionice, *ἕτοιμοι* cett.

Ἅπαντα μὲν οὖν πονηρὰ τὰ εἴδεα, ἀλλὰ τουτέων λευκοφλεγματίης μὲν εὐηθέστερος.] In libris omnibus scriptis et editis legis: *ἅπαντα μὲν οὖν πονηρὰ τὰ εἴδεα του-*

Ἅπαντα μὲν οὖν πονηρὰ τὰ εἴδεα, ἀλλὰ τουτέων λευκοφλεγματίης μὲν εὐηθέστερος· πολλὴ γὰρ καὶ ποικίλη ἐπὶ τοῦδε ἡ εὐτυχίη ἱδρῶτος, ἢ οὔρων, καὶ κοιλίη κοτὲ αὐτέων κατεῤῥάγη, λυομένης ἤδη τῆς τοῦ ὕδρωπος ἕξιος. Χαλεπὸς δὲ τυμπανίης καὶ τοῦδε ὁ ἀνὰ σάρκα μᾶλλον· τὸν γὰρ ἰητρὸν ἐν τῷδε τῷ πάθεϊ ὅλον χρὴ τὸν ἄνθρωπον ἀλλάξαι· τόδε μέντοι οὐδὲ θεοῖσι ῥηΐτερον.

Ὑδεριῇ δὲ καὶ ἐν σμικρῷ κοτὲ ἄνθρωπος, ἢ κεφαλὴν ἐπὶ ὑδροκεφάλῳ, ἢ πνεύμονα μοῦνον, ἢ ἧπαρ, ἢ σπλῆνα· καὶ ἐπὶ γυναικῶν ὑστέρη· καὶ τῶν ἄλλων ἥδε εὐαλθεστέρη. ἢν γὰρ τὸ στόμιον ἀνῇ ἐκ τῆς πρόσθεν μύσιος, ὑγρὸν μὲν, εἰ ἔχοι, ἐκχέει ἔξω· ἢν δὲ πνεῦμα, ἐξεφυσήθη τόδε· ἢν δέ τι ἀνὰ σάρκα ἡ ὑστέρη πάθῃ, ὡς ἐπίπαν ὅλη ἡ ἄνθρωπος ὑδεριᾷ.

Ἰδέη τις ἑτέρη ὕδρωπος ἥδε γιγνώσκεται· κύστιες σμικραὶ, συχναὶ, πλήρεες ὑγροῦ ἐγκέονται τῷ χωρίῳ, ἔνθα ὁ ἀσκίτης ξυνίσταται· ἀτὰρ ἐμπλέουσι τῷ πολλῷ ὑγρῷ· τέκμαρ δέ· ἢν γὰρ τετρήνας τὸ ἐπιγάστριον ἐκχέῃς, ἐπὶ βραχείῃ φορῇ τοῦ ὑγροῦ ἔνδοθεν ἂν ἐπέφραξε ἡ κύστις· κἢν τὸ ὄργανον διώσῃ, αὖθις ἐκρέει. Τόδε μέντοι τὸ εἶδος οὐκ εὔηθες· πόθεν γὰρ ἂν ἐκπέσωσι αἱ κύστιες, ὁδὸς οὐκ εὔπορος. Λόγος δὲ μετεξετέροισι, ὅτι ἧκόν κοτε δι' ἐντέρων τοιαίδε κύστιες· ἐγὼ δὲ οὐκ ὄπωπα, διὰ τόδε οὐδὲ νῦν γράφω· οὐδὲ γὰρ περὶ αὐτέων ὅ τι λέξω ἔχω. Εἴτε γὰρ ἐκ τοῦ κώλου, ἢ τῆς γαστρὸς ἡ φορὴ, τίς ὁ τρόπος τῆς ξυστάσιος; ὁδὸς γὰρ ἐς ἔξοδον ἁπάντων δι' ἕδρης

τέστι ὕδρωψ γὰρ πάντων τῶν νοσημάτων κακόν. ἀλλὰ τουτέων λευκοφλεγματίης μὲν εὐηθέστερος. Haesit in hisce Wiganus, qui: « τουτέστι an recte?" quaerit, et Petitus, qui: « ita, inquit, emenda et distingue: πονηρὰ τὰ εἴδεα ταῦτ' ἔστι ὕδρωψ γὰρ κ. τ. λ." — Rem acu non tetigerunt: verba, quae eieci, originem duxere ex Hippocraticis in Progn.: οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νουσημάτων πάντες κακοί. — Nimirum ad Aretaei verba, ἅπαντα μὲν οὖν πονηρὰ τὰ εἴδεα, lector aliquis adnotavit: τουτέστι (nempe τουτέστι τὸ παρ' Ἱπποκράτει λεγόμενον) ὕδρωπες δὲ ἐκ πάντων τῶν νοσημάτων κακοί. — Scilicet aut memoriter verba citavit, aut postea a librariis corrupta sunt et ita in textum invecta. — Abundantia ergo delevi.

πολλὴ γὰρ καὶ ποικίλη ἐπὶ τοῦδε ἡ εὐτυχίη, ἱδρῶτος, ἢ οὔρων, καὶ κοιλίη κοτὲ αὐτέων κατεῤῥάγη, λυομένης ἤδη τῆς τοῦ ὕδρωπος ἕξιος.] Libri hunc locum ita scriptum efferunt: πολλὴ γὰρ καὶ ποικίλη ἐπὶ τοῦδε ἡ εὐτυχίη· ἱδρῶτος ἢ οὔρων ἢ κοιλίης κοτὲ ἐπ' αὐτέοις (κοτὲ αὐτέων H. V. G. v. l. Pa. b. c.: utrumque Pe. f.) κατεῤῥάγη, λυομένης κ. τ. λ. — Pone εὐτυχίη recte commate tantum distinxit Wiganus, nam coniungenda sunt εὐτυχίη ἱδρῶτος ἢ οὔρων; iam vero sponte patet κοιλίης a librariis scriptum esse pro κοιλίη, quia superiora nomina genitivo efferebantur, scripsi igitur καὶ κοιλίη κοτὲ αὐτέων κατεῤῥάγη: nempe καί melius huic loco adaptatum est, et notissima res est, ἤ et καί sexcenties confundi: praetuli αὐτέων plurimorum codd. auctoritate fretum et prae ἐπ' αὐτέοις re vera praestans, quum hoc fere indicet, praeter signa praedicta novum aliud supervenire, quod huius loci non est.

Χαλεπὸς δὲ τυμπανίης καὶ τοῦδε ὁ ἀνὰ σάρκα μᾶλλον.] Vulgo χαλεπή: sed Wiganus e cod. H. edidit χαλεπόν: equidem in cod. Pb. legi $\overset{\text{ὸ}}{\text{χαλεπ}}$ (sic), quod quidem compendium est terminationis generis masculini, cf. Bast. Comm. palaeogr. p. 772. — Forte eodem modo in H. scribitur, ita ut Wig. χαλεπόν ex eodem compendio legerit: sed hoc utut est, mihi χαλεπός prae χαλεπόν longe praestare videtur, χαλεπή ne ferri quidem posse.

τὸν γὰρ ἰητρὸν ἐν τῷδε τῷ πάθεϊ ὅλον χρὴ τὸν ἄνθρωπον ἀλλάξαι.] Γάρ hoc loco de meo exhibui libris omnibus δέ ferentibus. — O. ex H. recte τῷδε τῷ π. —, ceteri fere τῷ omittunt: unus Pa. ἐν τῷ πάθεϊ.

ὑδεριῇ δὲ καὶ ἐν σμικρῷ κοτὲ ἄνθρωπος.] Ὑδεριᾷ ediderunt olim: Wiganus ὑδεριῇ. — Atque hoc quidem ferunt H. V. (qui οὐδεριῇ) G. v. l. et libri P. omnes. Unus Pb. ὤνθρωπος fert, sed h. l. articulo addito opus non est.

ἢ πνεύμονα μοῦνον, ἢ ἧπαρ, ἢ σπλῆνα.] Ὑδέρου πλεύμονος mentio fit lib. II. de morbis. p. 277. Kühnio. — Cf. lib. de int. aff. p. 469. ibid., quem locum iam adscripsit Petitus. — Hydrops iecinoris describitur lib. de int. aff. p. 471. — De Hydrope lienis iam Petitus citavit locum e lib. de M. Mul. I. p. 683. ubi mentio fit σπληνὸς ὑδατώδεος.

καὶ ἐπὶ γυναικῶν ὑστέρη.] De uteri Hydrope cf. Hipp. lib. spurium de M. Mul. I. p. 681. — et Soranum p. 276.

ἀτὰρ ἐμπλέουσι τῷ πολλῷ ὑγρῷ.] Edebatur antea ἀτὰρ ἢν ἐμπλέωσι; in O. vero cod. V. auctoritate ἤν omissum est, et vero in Pa. itidem omittitur. Dubium non est, quin ἤν librariorum errore e superioribus huc demanaverit; sed ipse ille error fecit, ut ἐμπλέωσι subiunctivo scriberent, pro quo indicativum substitui. Pro ἐμπλέωσι Wiganus vult ἔμπλεοί εἰσι, forsitan in errorem inductus Crassi Latinis: « ceterum quod humore multo refertae sint." Ipse tamen interpretatur: « ceterum et humori multo innatant." Qua ratione quidem illud τῷ πολλῷ ὑγρῷ nondum apposite redditur; nimirum τὸ πολλὸν ὑγρόν h. l. est ipse ille multus humor, qui vulgo in ascite in cavo abdominis adest.

διὰ τόδε οὐδὲ νῦν γράφω· οὐδὲ γὰρ περὶ αὐτέων ὅ τι

εὔροος. εἴτε αὐτοῦ τοῦ ὑγροῦ τῆς ἐν λαγόνι ξυλλογῆς, ἄπιστος ἡ τῶν ἐντέρων ῥαγή· οὐ γὰρ ἀσινὲς, οὐδὲ ἀνώλεθρον, τρωθὲν ἔντερον.

ΠΕΡΙ ΔΙΑΒΗΤΕΩ.

Κεφ. β΄.

Θώϋμα τὸ διαβήτεω πάθος, οὐ κάρτα ξύνηθες ἀνθρώποισι· σαρκῶν καὶ μελέων ἐς οὖρον ἡ ξύντηξις. Ὑγρὴ καὶ ψυχρὴ, ὅκως ἐν ὕδρωψι, αἰτίη. Ὁδὸς δὲ ἡ ξυνήθης, νεφροί τε καὶ κύστις. Οὐ γὰρ διαλείπουσι οὐρέοντες, ἀλλὰ, ὅκως περ ἐξ ἀφέσιος ὀχετῶν, ἄπαυστος ἡ φορή. Χρονίη μὲν ἡ τῆς νούσου φυὴ, μακρῷ κυΐσκεται χρόνῳ. Βραχύβιος δὲ ὥνθρωπος, ἢν ἡ κατάστασις τελεσθῇ· ὀξείη γὰρ ἡ τηκεδὼν, ταχὺς δὲ ὁ θάνατος, ποτὶ καὶ βίος αἰσχρὸς καὶ ἐπίπονος. Δίψος ἀκρατὲς, πολυποσίη ἀνισόμετρος οὔροισι πολλοῖσι· πλεῖον γὰρ ἐκρεῖ τὸ οὖρον. καὶ οὐκ ἂν ἐπίσχοι τις αὐτέους, οὔτε πίνοντας, οὔτε οὐρέοντας. Ἢν δὲ ἐπ' ἀκαρὲς ἀντίσχωσι, ἢν μὲν τοῦ πιεῖν, ἄνικμοι μὲν τὸ στόμα, αὐαλέοι δὲ τὸ σκῆνος, τὰ δὲ σπλάγχνα καίεσθαι δοκέουσι· ἀσώδεες, ἄποροι, οὐκ ἐς μακρὸν θνήσκουσι· πυριφλεγέες δίψαι. Ἀπουρέειν δὲ τίς ἂν ἐπίσχοι τρόπος, ἢ τίς αἰσχύνη πόνου κρέσσων; — ἀλλὰ κἢν ἐς σμικρὸν ἐγκρατέες γένωνται,

λέξω ἔχω.] Ceterae edd.: διὰ τόδε νῦν οὐδὲν γράφω: quod ego exhibeo praebent V. Pa. b. e. f. — eaque lectio mihi unice vera esse videtur. In fine ἔχω dudum adieceram, antequam videram Wiganum idem voluisse: nimirum obversabatur Hippocraticum illud e lib. de V. A. § 62. ὕδατι δὲ ποτῷ.... ἄλλο μὲν οὐδὲν ἔχω ἔργον, ὅ τι πρεσβέω.

ὁδὸς γὰρ ἐς ἔξοδον ἁπάντων δι' ἕδρης εὔροος.] Libri ferunt εὐρόης: nempe terminatio substantivi superioris ad adiectivum perperam, uti fieri solet, a librariis est translata. Etiam Wig. εὔροος desideravit.

εἴτε αὐτοῦ τοῦ ὑγροῦ τῆς ἐν λαγόνι ξυλλογῆς, ἄπιστος ἡ τῶν ἐντέρων ῥαγή.] Pro εἴτε libri omnes ferunt ἡ δέ, quod de meo correxi: nimirum hoc membrum respondet superiori εἴ τε γὰρ ἐκ τοῦ κώλου, ἢ τῆς γαστρὸς ἡ φορή: unde h. l. cogitatione, ut aiunt, supplendum: εἴ τε ἡ φορὴ ἐκ τοῦ ὑγροῦ τῆς ἐν λαγόνι ξυλλογῆς. — Nunc demum intelligitur apodosis ἄπιστος ἡ τῶν ἐντέρων ῥαγή, quam quomodo ceteroquin accipere oporteat, non video. — Crassi et Wigani Latina satis denotant locum illis obscurum fuisse. — Ad rem ipsam quod attinet, operae pretium est ad h. l. contulisse Swietenium comm. ad Aph. Boerhaavii 1226. tomo IV. p. 167. mihi; ubi ipse locus noster cum Aëtii altero adfertur. — Vid. Ruischii obs. anatomico-chirurg. I. p. 25. fig. 24.

οὐ γὰρ ἀσινὲς οὐδ' ἀνώλεθρον τρωθὲν ἔντερον.] In hisce οὐδέ Pb. d. f. — Respicitur h. l. Aph. Hipp. 18. VI. κύστιν διακοπέντι.... ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην.... θανατῶδες.

Cap. 2. Θώϋμα τὸ δ. π.] Θῶμα scribitur in Pa. b. d. e.

νεφροί τε καὶ κύστις.] Pro τε ferunt δέ H. V. Po. Itaque fortasse τε coniectura Goupyli est, profecto retinenda illa.

ὅκως περ ἐξ ἀφέσιος ὀχετῶν.] Libri scripti et editi omnes ἀφέξιος. — Wiganus in notulis: «An ἀφέσιος, inquit, ab ἀφίημι? ἀφέξιος ab ἀπέχω alio sensu invenitur (117. 21.). Sed ἀφέσιες ὑγρῶν legitur 61. 12." — Hanc coniecturam dudum occupaverat Goupylus, nec vero dubitavi, num certam emendationem in textum introducerem. Isti ὀχετῶν ἀφέσι oppositum est *claudere rivos* in Virgiliano trito: «claudite iam rivos pueri, sat prata biberunt."

χρονίη μὲν ἡ τῆς νούσου φυὴ, μακρῷ κυΐσκεται χρόνῳ.] In Ed. Oxon. pone φυή non distinguitur, ita ut κυΐσκεται etiam φυή subiectum sibi habere videatur. Equidem non credo id voluisse Aretaeum, sed eum intellexisse χρονίη μὲν ἡ τῆς νούσου φυή ἐστι, — μακρῷ κυΐσκεται χρόνῳ ἡ νοῦσος. — Possis igitur suspicari postrema tanquam glossema eiicienda esse: ipse aliquamdiu dubius haesi, nunc tamen credo ista esse retinenda et Aretaeum ipsa illa ταὐτολογίᾳ morbum perdiu protahi indicare voluisse.

βραχύβιος δὲ ὥνθρωπος, ἢν ἡ κατάστασις τελεσθῇ.] Libri omnes ἄνθρωπος; de meo ὥνθρωπος scripsi: nimirum articulum requiri puto h. l., ubi sermo est de ipso homine illo in quo ἡ κατάστασις ἐτελέσθη. — Sexcenties autem librarii ἄνθρωπος et ὥνθρωπος confundunt.

ταχὺς δὲ ὁ θάνατος, ποτὶ καὶ βίος αἰσχρὸς καὶ ἐπίπονος.] Libri: ταχὺς δὲ ὁ θάνατός ποτε καὶ βίος αἰσχρός κ. τ. λ. — Recepi verissimam Wigani emendationem.

οὐκ ἂν ἐπίσχοι τις,] In his ἐπίσχῃ H. V. Pc. d. e. f.

ἢν δὲ ἐπ' ἀκαρὲς ἀντίσχωσι.] Aristoph. in Pluto vs. 244: γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ. ubi vide Scholiasten. — Cf. Suidam in ἀκαρῆ, ubi Comici versus citatur. — Porro in seqq. notandum alteri membro, ἢν

παροιδέουσι ὀσφὺν, ὄρχιας καὶ ἰσχία· κῆν ἀνῶσι, ἐκχέουσι μὲν τὸ ὕδωρ ἀλέν, τὰ δ' ἐποιδέοντα ἐξαρύεται· ξυνδίδοται γὰρ ἐς κύστιν ἡ πλημμύρα.

Κῆν μὲν τελεσθῇ τὸ κακὸν, εὔσημον. ἐπὴν δὲ μέλλῃ, ἄνικμοι τὸ στόμα· σίαλος λευκὸς, ἀφρώδης, ὅκως ἀπὸ δίψεος καὶ οὐδέκω δίψος· ὑποχονδρίων βάρος. Αἴσθησις ἀπὸ τῆς γαστρὸς ἐς κύστιν θέρμης, ἢ ψύξιος, ὅκως πρὸς ὁδοιπορέοντος τοῦ νοσήματος ἀτὰρ ἠδὲ οὐρέουσι τοῦ ξυνήθεος σμικρόν τι μᾶλλον· δίψος τε, ἀλλ' οὐδέκω μέγα.

Ἢν δὲ ἐπὶ μᾶλλον αὔξηται, θέρμανσις σμικρὴ μὲν, δακνώδης δὲ, ἐνίζουσα τοῖσι σπλάγχνοισι· ἐπιγάστριον ῥυσοὶ, ἐπίφλεβοι, ἰσχνοὶ δὲ τὴν ὅλην ἕξιν· εὖτε καὶ ἡ οὔρησις καὶ τὸ δίψος ἐπαυξέα γίγνεται ἤδη κοτέ· κῆν ἐς ἄκρον τὸν καυλὸν ἡ ξυναίσθησις φανῇ, εὐθὺς οὐρέουσι. Τῇδέ μοι δοκέει καλέεσθαι διαβήτης ἐπίκλησιν, ὁκοῖόν τι διαβήτης ἐὼν, οὕνεκεν ἐν τῷ σκήνεϊ τὸ ὑγρὸν οὐ μίμνει, ἀλλὰ ὅκως διαβάθρῃ τῷ ἀνθρώπῳ ἐς ἔξοδον χρέεται. Διαρκέουσι δὲ ἐς χρόνον τινὰ, εἰ καὶ μὴ κάρτα πολλὸν, ὅτε πινεῦντες οὐρέουσι, τηκεδὼν δὲ γίγνεται δεινή. οὔτε γάρ τι ἐκ τῆς πόσιος μέγα ἐς τὸ σκῆνος ἔρχεται καὶ ξυναπέρχεται τῶν σαρκῶν ἐς τὰ οὖρα μυρία.

μὲν τοῦ πιεῖν κ. τ. λ. —, respondere quaestionem ἀπουρέειν δὲ τίς ἂν ἐπίσχοι τρόπος; κ. τ. λ.

ἡ ῥοὴ τοῦ γόνου γίγνεται.] Libri Pa. *τὸ γοῦν οὐ, τὸ γ' οὖν οὐ.* — Hinc editores *τοῦ γούνου*, quod retinere nolui reputans formam Ionicam istam, (cum qua conferas *νοῦσος, νόσος*,) non certam esse, quandoquidem Herodotus et Hippocrates ea non utuntur. Nimirum facile fieri potest, ut librariorum errori debeatur vocem dissecantium. — Ceterum Gal. de locis affectis VI. 6. (p. 439. Kühn.) *ὀνομάζεται γὰρ τὸ σπέρμα καὶ γονὴ καὶ γόνος.* Cf. Oecon. Hipp.

νοσέουσι δὲ καὶ γυναῖκες τήνδε τὴν νοῦσον κ. τ. λ.] Haec Soranus p. 262: *οὐκ ἐπὶ μόνων ἀνδρῶν, ἀλλὰ καὶ ἐπὶ γυναικῶν ἀποτελεῖται γονόῤῥοια· ἔστι δὲ σπέρματος ἔκκρισις χωρὶς προθυμίας καὶ ἐντάσεως ἐκ μικρῶν φέρουσα διαστημάτων, ὥστε τὸν ὄγκον ὠχραίνεσθαι καὶ ἀδυναμεῖν καὶ συντήκεσθαι· χαλᾶται γὰρ ἡ μήτρα καὶ ἀδυναμία παρέπεται καὶ συντήκεται τὰ σώματα κατὰ βραχύ· συῤῥεῖ γὰρ πρὸς τὴν μήτραν κατ' ὀλίγον ἡ ἀπὸ τοῦ σώματος ὕλη ἀλλοίωσιν βραχεῖαν ἐν τοῖς τόποις ὑπομένουσα, καθάπερ ἐπὶ τῶν ὀφθαλμιώντων τὸ δάκρυον· χρονίζειν δὲ εἴωθε τὸ πάθος τῷ γένει ῥοῶδες ὑπάρχον.* —

μα, ψυχρὴ οὖσα ἡ φύσις; Ἢν δὲ καὶ νέοι πάσχωσι, γηραλέους χρὴ γενέσθαι πάντας τὴν ἕξιν, νωθώδεας, ἐκλύτους, ἀψύχους, ὀκνέοντας, κωφοὺς, ἀσθενέας, ῥικνοὺς, ἀπρήκτους, ἐπώχρους, λευκοὺς, γυναικώδεας, ἀποσίτους, ψυχρούς· μελέων βάρεα, καὶ νάρκας σκελέων· ἀκρατέας, καὶ ἐς πάντα παρέτους. Ἥδε ἡ νοῦσος ὁδὸς ἐς παράλυσιν πολλοῖσι γίγνεται. πῶς γὰρ οὐκ ἂν τῶν νεύρων ἤδη ἡ δύναμις πάθοι, τῆς ἐς ζωῆς γένεσιν φύσιος ἀπεψυγμένης; Καὶ ἡμέας ἄνδρας ποιέει ζωοῦσα ἡ θορὴ, θερμοὺς, ἐνάρθρους, λασίους, εὐφώνους, εὐθύμους, κραταιοὺς νοῆσαί τε καὶ ῥέξαι. Οἷσι δὲ οὐκ ἔνεστι ζωοῦσα ἡ θορὴ, ῥικνοὶ, ἀσθενέες, ὀξύφωνοι, ἄτριχες, ἀγένειοι, γυναικώδεες. Ἢν δέ τις ἀνὴρ ἐγκρατὴς ἔῃ τῆς θορῆς, κραταιὸς, εὔτολμος, ἀλκήεις μέσφι θηρίων. τέκμαρ δὲ, ἀθλητῶν οἱ σαόφρονες. Καὶ γὰρ καὶ οἱ φύσι τινῶν κρέσσονες, ὑπ' ἀκρασίης πολλὸν τῶν χειρόνων γίγνονται χερείονες· πολλὸν δὲ οἱ φύσι χερείους, ὑπ' ἐγκρατείης γίγνονται κρεσσόνων κρέσσονες. Ἀτὰρ οὐδὲ ζῶον ἐξ ἄλλου τευ γίγνεται κραταιὸν, ἢ θορῆς. Μέγα οὖν καὶ ἐς ὑγείην, καὶ ἐς ἀλκὴν, καὶ ἐς εὐψυχίην, καὶ ἐς γένεσιν ζωοῦσα ἡ θορή. Ἀπὸ σατυριήσεως ἐς γονοῤῥοίην ἀπόσκηψις, ἡ κατάστασις.

ΠΕΡΙ ΣΤΟΜΑΧΙΚΩΝ.

Κεφ. ϛ'.

Στόμαχος ἡδονῆς καὶ ἀηδίης ἡγεμών· καρδίης καίριον γειτόνευμα ἐς τόνον καὶ θυ-

Vides hanc morbi descriptionem differre ab ea, quam noster tradit.

τὸ δὲ ῥέον ὑγρὸν, λεπτὸν, ἄχρουν, ἄγονον.] Silentio praeterire non licet Petiti ad hunc locum adnotationem: «Semen, inquit, eorum, qui gonorrhoea laborant, humidum, tenue, frigidum et infoecundum recte dicitur: *ἄχρουν* decolor cur idem appelletur, non video: quare *ἄχρειον* haud dubitem legere." — Equidem a viro eruditissimo dissentio: Galenus *περὶ σπέρματος* I. 12: *λευκὸν γὰρ*, inquit, *καὶ παχὺ καὶ γλίσχρον ἐστὶ τὸ σπέρμα.* — Itaque quum in sano viro sit *λευκόν*, a nostro dicitur *ἄχρουν* in gonorrhoea laborantibus, in quibus simul vere *ὑγρὸν, λεπτόν* esse perhibetur. Sed praeterea si ponamus auctorem scripsisse, semen in his esse *ἄχρειον, ἄγονον*, illum *δὶς ταὐτόν* dixisse fingemus, nisi potius statueres alteram vocem alterius glossam habendam esse.

πῶς γὰρ οὐκ ἂν τῶν νεύρων ἤδη ἡ δύναμις πάθοι, τῆς ἐς ζωῆς γένεσιν φύσιος ἀπεψυγμένης;] Libri *ἥδε ἡ δύναμις*, quod hoc loco sensu cassum, quum de certa quadam nervorum vi sermo non sit. Hinc Wiganus pro *ἥδε* reponere voluit *ἤδη*, quam emendationem utique recipiendam duxi, voculam pro *δή* positam arbitratus.

κραταιοὺς νοῆσαί τε καὶ ῥέξαι.] Ῥέξαι Homericum verbum notissimum. — Ad *ζωοῦσα ἡ θορή*, quod paulo ante obvium Wiganus: «an *ζέουσα fervens?*" quaerit. — Nihil muto: saepius *ζωοῦσα* occurrit in hoc capite: neque idoneam video causam, cur *ζέουσα* praeferam. — Non miror Aretaeum *τὴν θορήν* appellare *ζωοῦσαν*, si quidem philosophi fuerint, qui *ψυχῆς* adeo *ἀπόσπασμα* vocarent *τὸ σπέρμα.* Ceterum pone *ῥέξαι* libri scripti omnes ferunt *δηλοῦσι οἱ ἄνδρες* et mox pone *γυναικώδεες* ferunt *δηλοῦσι οἱ εὐνοῦχοι.* Mihi quidem utrumque recentioris exegetae proles videtur, adeo ut confidenter deleam. Non concoquo *ἡμέας ἄνδρας ποιέει ζώουσα ἡ θορὴ* .... *δηλοῦσι οἱ ἄνδρες.* Ita profecto Aretaeus non scripsit: neque vero haec defendi posse arbitror sequenti *τέκμαρ δὲ ἀθλητῶν οἱ σαόφρονες*, quum ea, quae delevi, facilem orationis progressum misere impediant, quod de hisce affirmare non licet.

ἀλκήεις μέσφι θηρίων.] Vulgo *ἀλκῆς*, *ἀλκέης* Pb. *ἀλγέης* Pa. c. d. e. f. — *ἀλκήεις* H. M. O. Est hoc vocabulum Poëticum: Hymn. in Minervam. vs. 3: *Παλλάδ* .. *ἀλκήεσσαν.* Noster *ἀλκήεις μέσφι θηρίων* h. l. sicuti supra *ἀηδὲς μέσφι ἀκοῆς.* — Crassus: «Audax neque vel feras expavescens." Simili modo accepit Petitus. Malo cum Wigano interpretari: «fortes ita ut fortitudine ad ferarum naturam accedant."

ὑπ' ἐγκρατείης.] Cett. *ὑπ' ἐγκρατίης.*

καὶ ἐς ὑγείην.] Ὑγίην vulgo: *ὑγείην* Pc. d. e. f.

ἀπὸ σατυριήσεως ἐς γονοῤῥοίην ἀπόσκηψις, ἡ κατάστασις.] Vulgo *ἀπὸ σ. ἐς γονοῤῥοίης ἀπόσκηψιν ἡ κ.* in qua lect. Pa. *γονόῤῥοιαν.* Pd. e. f. *γονοῤῥοίην.* — Sed Pb. *ἐς γονοῤῥοίας ἀπόσκηψιν ἡ κ.* — Omnino dandum fuit *ἐς γονοῤῥοίην ἀπόσκηψις.* Hipp. Aph. VI. 56. *ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες.* — Iam vero accipio: *ἀπόσκηψις ἀπὸ σατυριήσεως ἐς γονοῤῥοίην, τῆς σατυριήσεως κατάστασίς ἐστιν.*

Cap. 6. *περὶ στομαχικῶν.*] De significatione huius nominis

μὸν, ἢ ἀθυμίην, τῆς ψυχῆς συμπαθείῃ. ἥδε στομάχου πρώτιστα δύναμις. τάδε μὲν οὖν μοι ἄλλῃ λέλεκται. Ἀπότοκοι ἡδονῆς μὲν, εὐπεψίη, εὐσαρκίη, εὐχροίη τοῦ σώματος· ἀηδίης δὲ τουτέων τἀναντία, κοτὲ καὶ ἀθυμίῃ μὴ ἔχων τροφήν· μελαγχολώδεσι δὲ καὶ ἀποσιτίῃ. Ἢν οὖν ὅδε νοσέῃ, μῖσος καὶ ἀποστροφὴ τῶν γευμάτων, οὐκ ἢν προςαίρωνται μοῦνον, ἀλλὰ κἢν ἀθέητα μένῃ τὰ σιτία. ἀναπεμπάζονται δὲ ναυτίῃ, ἢ ἀπορίῃ, ἢ πλάδῳ, ἢ καρδιαλγίῃ· καὶ σιαλοχόοι δὲ, καὶ ἔμετοι ἐνίοις. Κἢν ὁμῶς τὸ σῶμα τείρῃ, ἢν γαστὴρ μείνῃ κενεὴ, τόνδε τὸν πόνον ῥηΐτερον φέρει τῆς προςάρσιος. ἢν δὲ καὶ ὑπ' ἀνάγκης κοτὲ ἐς τὴν ἐδωδὴν ἴῃ, πολλὸν κακίων ὅδε ὁ πόνος τοῦ λιμοῦ. ἐν τῷ στόματι λεῆναι, ἄλγος· καταπιεῖν, μέζων ὀδύνη. Ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶςδε, ἐς δὲ τὰ ἀλλόκοτα χρηστῶς, ἀλλαγῇ τῶν κατὰ φύσιν ἐς τὸ ἔμπαλιν· ἀλλ' ἀχθηδὼν ἐς πάντα καὶ φυγὴ καὶ μῖσος σιτίων. Ἐπὶ δὲ τοῖσι μεσηγὺ τῶν ὠμοπλατέων χωρίοισι ἄλγος, πουλὺ δὲ καὶ μέζον, ἢν προςφέρωνται καὶ καταπίνωσι. ἄσῃ, ἀπορίη· ὄψιες ἀμαυραί· ὤτων ἦχοι· βάρεα κεφαλῆς· νάρκη μελέων· καὶ τὰ γυῖα λύονται· παλμὸς ἐν τοῖσι ὑποχονδρίοισι· φαντασίη τῆς ῥάχιος ἐς τὼ σκέλεε κινευμένης. ἄλλοτε ἄλλῃ τῇδε κἀκεῖσε φέρεσθαι δοκέουσι, κἢν ἑστήκωσι, κἢν κατακέωνται, ὅκως ὑπὸ αὔρης ἀνέμων κάλαμοι ἢ δένδρεα. Φλέγμα ψυχρὸν, ὑδαρὲς ἀποβλύζουσι· ἐπὴν

et variis, quas veteres illo indicaverint, affectionibus operae pretium est contulisse Galenum de comp. med. sec. locos VIII. 2. (p. 127. seq. Ed. Kühn.). — *Στόμαχον* audire nostro os ventriculi et huius capitis initium docet, et plura in ipso obvia, docet etiam cap. sequens *περὶ κοιλιακῶν*.

ἀπότοκοι ἡδονῆς μὲν εὐπεψίη, εὐσαρκίη, εὐχροίη τοῦ σώματος, ἀηδίης δὲ τουτέων τἀναντία, κοτὲ καὶ ἀθυμίῃ μὴ ἔχων τροφήν· μελαγχολώδεσι δὲ καὶ ἀποσιτίῃ.] *Καὶ ἀποσιτίῃ* V. Pa. *b.* *κἀποσιτίῃ* cett. Ad verba descripta Petitus: «Lege, inquit, *κοτὲ δὲ καὶ ἀθυμέει*, si velis syntaxi constare." Et mox: «Similiter legendum *ἀποσιτέει*. Alioqui expediat filum huius contextus vel ipse Lynceus, quisquis nunc audit, criticorum." — Wiganus ad *ἀθυμίῃ*: «an *ἀθυμέῃ*, quaerit, ut constet syntaxis?" — Equidem nominativum, ut aiunt, absolutum h. l. facile ferri posse arbitror. — Iuvat exemplum adponere ex Hipp. progn.: *κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, ἀλλὰ πληρὴς ἐὼν ζέῃ ἐν τῷ φάρυγγι*. — Loco nostro *μὴ ἔχων τροφήν* valet *τοῦ στομάχου μὴ ἔχοντος τροφήν*.

οὐκ ἢν προςαίρωνται μοῦνον.] *Μοῦνον* praebuere P*b. c. e. f.* *μόνον* cett.

ἀλλὰ κἢν ἀθέητα μένῃ τὰ σιτία.] *Μένῃ* pro vulg. *μὲν ᾖ* dant V. G. v. l. P*a. c. f.*

ἀναπεμπάζονται δὲ ναυτίῃ, ἢ ἀπορίῃ, ἢ πλάδῳ, ἢ καρδιαλγίῃ.] Wiganus *ἀναπεμπάζεσθαι* h. l. interpretatur, *memoria repetere* consentienter cum Crasso. — Equidem longe alio modo accipio, nempe de alimentis e ventriculo in os redeuntibus. — Schol. Aristoph. ad vesp. 783. ad *ἀναμασώμενοι*. — *ἐκ μεταφορᾶς*, inquit, *τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζώων καὶ αὖθις ἀναμασωμένων τὸ ἀναμασώμενοι εἴρηκεν*. — Itaque *ἀναπεμπάζονται* passivum est et *τὰ σιτία* subiectum sibi habet.

κἢν ὁμῶς τὸ σῶμα τείρῃ, ἢν γαστὴρ μείνῃ κενεὴ, τόνδε τὸν πόνον ῥηΐτερον φέρει τῆς προςάρσιος. ἢν δὲ καὶ ὑπ' ἀνάγκης κοτὲ ἐς τὴν ἐδωδὴν ἴῃ, πολλὸν κακίων ὅδε ὁ πόνος τοῦ λιμοῦ. ἐν τῷ στόματι λεῆναι, ἄλγος· καταπιεῖν μέζων ὀδύνη. ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶςδε, πρὸς δὲ τὰ ἀλλόκοτα χρηστῶς, ἀλλαγῇ τῶν κατὰ φύσιν ἐς τὸ ἔμπαλιν· ἀλλ' ἀχθηδὼν ἐς πάντα καὶ φυγὴ καὶ μῖσος σιτίων.] Codicum huius loci lectio haec est: *κἢν ὁμῶς* (*ὅμως* O.) *τὸ σῶμα τείρῃ, κἢν γαστὴρ μείνῃ κενεὴ τῶνδε, τὸν πόνον ῥηΐτερον φέρει τῆς προςάρσιος. ἢν δὲ καὶ ὑπ' ἀνάγκης κοτὲ ἐς τὴν ἐδωδὴν ἴῃ, πολλὸν κάκιον· ὁ δὲ πόνος τοῦ λιμοῦ ἐν τῷ στόματι λεῆναι ἄλγος, καταπιεῖν μέζων ὀδύνη· ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶςδε· ἐς δὲ τὰ ἀλλόκοτα χρηστῶς· ἀλλαγὴ τῶν κατὰ φύσιν ἐς τὸ ἔμπαλιν· ἀχθηδὼν ἐς πάντα καὶ φυγὴ καὶ μῖσος σιτίων.* — Quas mutationes intulerim, non repetam, cum e contextu, quem exhibeo, constet. Paucis illustrabo nonnulla: nempe in verbis *ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶςδε — ἀλλαγῇ τῶν κατὰ φύσιν ἐς τὸ ἔμπαλιν*, negatio *οὐχί* ad seqq. omnia refertur. Similem structuram videre licet apud Demosth. pro corona (p. 307. Ed. Tauchn.): *συνεπαινεσάντων δὲ πάντων καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδὲν οὐκ, εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους· ἀλλ' ἀπὸ τῆς ἀρχῆς κ. τ. λ.* — Hinc intelligitur, quo iure *ἀλλαγή* in Dativum mutaverim et *ἀλλά* ante *ἀχθηδών* suppleverim. Nempe eiusmodi structura ibi locum suum proprium habet, ubi falsae, quam quis suscipere possit, opinioni occurrimus. Aretaeus h. l. lectorem monet a depravato appetitu illo, quem *κίσσαν*, *picam* vocant, affectionem stomachicam eo nomine differre, quod in illo *τὰ ἀλλόκοτα* appetant, in hac vero nihil omnino. — De reliquorum interpretum de hoc loco sententiis taceo, quum boni nihil apud eos invenerim. Pessime in Ed. Oxon. *ὅμως* scriptum est, quod neque codd. ferunt, nec sensum probabilem efficit.

ἐπὶ δὲ τοῖσι μεσηγύ.] *Μεσηγύ* P*a. b. e. f.* *μεσσηγύ* cett.

πουλὺ δὲ καὶ μέζον.] *Πουλὺ δὲ μέζον* P*a. b.*: in P*d.* *καί* itidem abest, sed *πολύ* fertur communi dial., ut in Edd. antiquioribus.

καὶ τὰ γυῖα λύονται.] Ad imitationem Homerici *λῦσε δὲ γυῖα*.

δὲ καὶ χολὴ ῇ, πικρόχολοι, σκοτώδεες· ἄδιψοι, κὴν ἐπ' ἐδέσμασι διψῆν δοκέωσι. ἄγρυπνοι, νωθροὶ, νυσταλέοι, οὐχ ὕπνῳ ἀτρεκέϊ, κωματώδεσι δ' ὁμοιοπαθέες, ἰσχνοὶ, ἔξωχροι, ἀσθενέες, ἔκλυτοι, λειποδρανέες, ἄψυχοι, δειλοὶ, ἡσύχιοι, ἐξαπίνης δὲ ὀργίλοι· κάρτα μελαγχολώδεες, καὶ γὰρ ἐξώκειλάν κοτε ἐς μελαγχολίην οἱ τοιοίδε.

Τάδε μέντοι τῆς ψυχῆς, τοῦ στομάχου ἐνδίδοντος, εἶναι δεῖ τὴν πάθην. οἱ δὲ δὴ ἄνθρωποι οὐκ εἰδότες τὰ ξυμπαθέα μέρεα, ἐφ' οἷσι τὰ δεινότατα γίγνεται, τὸν στόμαχον αἴτιον ἡγεῦνται. Μέγα δὲ ἐς πίστιν ὧν λέγω, ἡ ξυνάφεια τῆς κραδίης, ἔνθα πάντων ἡ ἀρχή. μέσον γὰρ ἐνίζει τῷ πνεύμονι ἡ κραδίη, ἡ δὲ τούτων μεσότης τῷ στομάχῳ συνάπτει, ἄμφω δὲ προςπεφύκασι τῇ ῥάχι. διὰ τόδε τὸ πρὸς τὴν καρδίην γειτόνημα, καὶ καρδιαλγίη, καὶ ἔκλυσις, καὶ τὰ μελαγχολώδεα.

Αἰτίαι δὲ τῆς νούσου καὶ ἄλλαι μὲν μυρίαι· καιρίη δὲ, πῦον συχνὸν ἀπὸ κοιλίης διὰ στομάχου χυθέν. Ξύνηθες δὲ καὶ τοῖς ὑπό τε ἀνάγκης ἐκδεδιῃτημένοις λεπτῇ καὶ σκληροτέρῃ διαίτῃ. ἀτὰρ καὶ τοῖσι ἐς παιδείην πονεῦσι καὶ ἐς τήνδε τλήμοσι· οἷσι θείης μὲν μαθήσιος πόθη, ὀλιγοσιτίη δὲ καὶ ἀγρυπνίη, καὶ μελεδώνη λόγων τε καὶ πρηγμάτων σοφῶν. οἷσι ὑπεροψίη μὲν διαίτης ἁδρῆς καὶ ποικίλης, λιμὸς δὲ ἡ τροφὴ, καὶ ὕδωρ ποτὸν, καὶ ἐν ὕπνῳ ἀϋπνίη· οἷσι μαλθακὴ μὲν εὐνὴ ἄστρωτος χαμαὶ, ἀμφίβλημα δὲ εὐτελὲς, ἀμπεχόνη ἀραιὴ, τὸ δὲ τοῦδε κράνος ὁ κοινὸς ἠὴρ, πλοῦτος δὲ, ἐννοίης θείης περιουσίη τε καὶ χρῆσις. τάδε γὰρ αὐτέοισι ἀγαθὰ γίγνεται ἔρωτι παιδείης. Καὶ εἰ προςαίρονται, εὐτελὲς μὲν σιτίον, οὐδὲ ἐς κόρον ἐδωδῆς, ἀλλ' ἐς ζωὴν μοῦνον. οὐκ ἐπ'

ὑπὸ αὔρης ἀνέμων.] Poeticum hoc: Eurip. Med. 834: *χώρας καταπνεῦσαι μετρίας ἀνέμων ἡδυπνόους αὔρας.*

Φλέγμα ψυχρὸν, ὕδαρὲς ἀποβλύζουσι.] Audiamus senis Phoenicis ad Achillea verba apud poetam Il. IX. 490.

πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα,
οἴνου, ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.

ἐπὴν δὲ καὶ χολὴ ῇ, πικρόχολοι, σκοτώδεες.] Ceteri omnes *πικροχόλοισι*: facilis imprimis fuit lapsus ad Dativum, quum sequens nomen literam *σ* habeat initio. De coniectura nominativum restitui.

νυσταλέοι, οὐχ ὕπνῳ ἀτρεκέϊ, κωματώδεσι δ' ὁμοιοπαθέες.] Legebatur *κωματώδεες, ὁμοιοπαθέες*: Wig. adnotat.: «An *κωματώδεσι ὁμοιοπαθέες*; nam quid *ὁμοιοπαθέες* per se significare possit, non video." — Vere ille: sed praeterea *δέ* supplendum fuit in antithesi.

λειποδρανέες.] Idem significat, quod Homericum *ὀλιγοδρανέων*.

καὶ γὰρ ἐξώκειλάν κοτε ἐς μελαγχολίην οἱ τοιοίδε.] *Ἐξοκέλλω* usitatissimum tali sensu: exempla in Lexx. obvia, addam Luciani hoc: de Saltat. 83: *εἰς ἀσχήμονα ὑπόκρισιν δι' ὑπερβολὴν μιμήσεως ἐξοκείλαντα.* Transitive occurrit apud Eurip. Troad. 136. *ἐμέ τε τὰν μελέαν Ἑκάβην ἐς τάνδ' ἐξώκειλ' ἄταν.*

τάδε μέντοι τῆς ψυχῆς τοῦ στομάχου ἐνδίδοντος εἶναι δεῖ τὴν πάθην.] Unus Pb. *τὰ πάθη*, quod quum facile prae vulgata praestare videri possit, operae pretium est hac de re monere. Vulgatae structura haec est: *τάδε μέντοι τὴν πάθην εἶναι δεῖ τῆς ψυχῆς, ἐνδίδοντος τοῦ στομάχου.* Illud *ἐνδίδοντος* fere valet *προςδίδοντος, μεταδίδοντος*: — vix ferri posse credo lectionem cod. *b*, quia certe potius *τάδε μέντοι τῆς ψυχῆς τοῦ στομάχου ἐνδίδοντος εἶναι δεῖ πάθεα* exspectaverim, non *τὰ πάθη* addito articulo. — *τὴν πάθην* valet fere *morbi* s. *affectionis naturá*: docet nempe, quod paulo post sequitur, *τὸν στόμαχον αἴτιον ἡγεῦνται.*

ἡ ξυνάφεια τῆς κραδίης ..... τῷ πνεύμονι ἡ κραδίη.] Κραδίης cod. V. *κραδίη* Pa. cett. *καρδίης* et *καρδίη*.

ἡ δὲ τούτων μεσότης τῷ στομάχῳ συνάπτει.] Legebatur *τὸν στόμαχον*: sed Dativum sibi requirit intransitivum *συνάπτει.* — Puto equidem Wiganum idem voluisse: nam quod in notulis eius fertur ad vs. 15. eius editionis adscriptum: «*τοῦ στομάχου.* Legendum *τῷ στομάχῳ*", id ad hunc locum pertinere arbitror; neque enim vir vere eruditus supra *τῆς ψυχῆς τῷ στομάχῳ ἐνδίδοντος* requirere potuit.

διὰ τόδε τὸ πρὸς τὴν καρδίην γειτόνημα κ. τ. λ.] Τόδε *τό* de meo scripsi, libris *τό* non habentibus.

ξύνηθες δὲ καὶ τοῖς ὑπό τε ἀνάγκης ἐκδεδιῃτημένοις λεπτῇ καὶ σκληροτέρῃ διαίτῃ.] Cett. *ἀνάγκαις* Dativo: dudum emendavit Wiganus. — *λεπτῇσι καὶ σκληροτέρῃσι διαίταις* V. Pa. *b. e. f.* — Vim verbi *ἐκδιαιτᾶσθαι* non satis expresserunt interpretes: *ἐκδιαιτᾶσθαι* est *victus rationem mutare*: itaque *ἐκδιαιτᾶσθαι λεπτῇ καὶ σκληροτέρῃ διαίτῃ* est *victus rationem lautiorem in tenuiorem et duriorem mutavisse.* — Si cum genitivo construatur, genitivus victus rationem eam denotat, unde ad alteram transitus fiat. — Exempla invenies in Lexx.

ὀλιγοσιτίη.] Ὀλιγοποσίη H. V. A. Pa. *b. e. f.* — Pc. *ποσίη* habet *ὀλιγοσιτίη* (sic).

πλοῦτος δὲ, ἐννοίης θείης περιουσίη τε καὶ χρῆσις.] Librorum scriptura haec est: *πλοῦτος δὲ ἐννοίης θείης περιουσίης τε* (*τε καί* H. Pc. *d. e.*) *χρῆσις.* — Wiganus voluit *ἐπιουσίη τε χρημάτων.* — Simplicissima emendatio est, qua Genitivum *περιουσίης* in nominativum transformes.

οἴνῳ θώρηξις, οὐ θυμηδίη· οὐ ῥέμβος καὶ περίοδοι· οὐ σωμάτων ἄσκησις, οὐδὲ σαρκῶν περιβολή· τίνος γὰρ οὐκ ἂν ἀπάγοι παιδείης ἔρως; πατρίδος, τοκήων, κασιγνήτων, ἑωυτῶν μέσφι θανάτου. Τοῖςδε οὖν τηκεδὼν μὲν τοῦ σκήνεος· ἄχροοι δὲ τὴν μορφὴν καὶ ἐν νεότητι γηραλέοι καὶ ὑπ' ἐννοίης κωφοὶ, ψυχὴν δὲ ἀμειδέες, ἀμείλιχοι· στομάχου δὲ κακοσιτίῃ ταχὺς ὁ κόρος τῆς ξυνήθεος, εὐτελέος καὶ ἑτοίμου τροφῆς· ἀηθείῃ δὲ ποικίλης ἐδωδῆς ὄκνος πάντων γευμάτων· ἢν δὲ καὶ λάβωσί τι τῶν ξένων, βλάβῃ, ἀπόστροφοι εὐθὺς ἐς πάντα. Ἥδε ἐστὶ στομάχου χρονίη νοῦσος· φλεγμοναὶ δὲ καὶ ῥεύματα, καὶ καρδιωγμὸς, ἢ πόνος, στομαχικὸν οὐ κικλήσκεται πάθος.

Θέρος ἄγει τήνδε τὴν νοῦσον, ἔνθα καὶ πέψιος καὶ ὀρέξιος καὶ πάντων ἀδυναμίη. Ἡλικίη δὲ, γῆρας· οἷσι καὶ δίχα πάθεος, διὰ τὸ τοῦ βίου τέλος, καὶ ἡ ὄρεξις ἐς τέρμα ἥκει.

ΠΕΡΙ ΚΟΙΛΙΑΚΗΣ ΔΙΑΘΕΣΙΟΣ.

Κεφ. ζ'.

Κοιλίη, σπλάγχνον πεπτήριον, κάμνει τὴν πέψιν, ὁκότε διάῤῥοια τὸν ἄνθρωπον ἴσχει. Καὶ ἔστι ὑγρῆς τροφῆς ἀπέπτου ἡ διάῤῥοια· ἀλλ' εἰ μὴ ἐπὶ σχεδίου τῆς αἰτίης γίγνοιτο τόδε ἐς μίην, ἢ δευτέρην ἡμέρην μοῦνον, πρὸς δὲ καὶ ὅλος ὁ ἄνθρωπος ἀσθενέει ἀτροφίῃ τοῦ σκήνεος, χρονίη νοῦσος ἡ κοιλιακὴ γίγνεται, ἀτονίῃ τοῦ πέσσοντος θερ-

θώρηξις.] De Hippocrateo θώρηξις cf. Foës. in Oecon.

οὐ σωμάτων ἄσκησις, οὐδὲ σαρκῶν περιβολή.] Crassus: «non corporum exercitatio, nec carnis copia gravantur." — Wiganus; «membra non exercent, neque satis quidem vestiunt." Parum recte hic σαρκῶν περιβολή accepit, rectissime vero Crassus: σαρκῶν περιβολή una voce est εὐσαρκίη, quae cum σωμάτων ἀσκήσι arcte coniuncta: vid. quae dixi ad Hipp. de V. A. p. 247. ubi: καὶ τὸ σῶμα ἐκ γυμνασίων καὶ εὐσαρκώσιος ἔχῃ.

τοκήων.] Notemus formam Homericam: καὶ ἄστεος ἠδὲ τοκήων. Il. III. 140.

ἄχροοι δὲ τὴν μορφὴν καὶ ἐν νεότητι γηραλέοι.] Τὴν μορφήν, quod in libris ceteris deficit e cod. H. recepi et ad faciem maxime retuli, quod et Crassus fecit, quem itidem hoc vidisse suspicor: — tum etiam δέ de meo adieci; Schneid. in Lex. in voce; «In Archytae λόγοις καθολικοῖς δέκα steht folgender Unterschied bemerkt: μορφὴ ἡ ἔξωθεν ἐπιφαινομένη ποιότης ἐκ χρώματος, ἢ ἡ ἐπιπολάζουσα εὔχροια, ἢ — δύςχροια."

καὶ ὑπ' ἐννοίης κωφοὶ, ψυχὴν δὲ ἀμειδέες, ἀμείλιχοι.] Libri ferunt καὶ ὑπ' ἐννοίης κοῦφοι, ψυχὴν δὲ ἀμειδέες, ἀμείλιχοι. — Equidem e Crassi stupidi κωφοί legendum esse sum suspicatus, antequam Wiganum idem voluisse videram et Casaubonum ad Persium (p. 61.[b]). — Maxime miratus sum Petitum vulgatum κοῦφοι defendere, qua in re longe a vero aberrat me iudice. ἀμείλιχος legis apud Poëtam Il. IX. 158. Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος.

στομάχου δὲ κακοσιτίῃ ταχὺς ὁ κόρος τῆς ξυνήθεος, εὐτελέος καὶ ἑτοίμου τροφῆς· ἀηθείῃ δὲ ποικίλης ἐδωδῆς ὄκνος πάντων γευμάτων.] Vulgo κακοσιτίη nominativo ponitur et pone hoc vocabulum distinguitur. Verissime emendavit Petitus κακοσιτίῃ ταχὺς ὁ κόρος coniungens. — Minus recte monuit ἀηθείη nominativo dandum esse, quod in Goupylea ceterisque Edd., excepta Oxoniensi dativo effertur, nimirum legebatur ὄκνος δὲ π. γ. Itaque malui δέ pone ὄκνος delere, ut ἀηθείῃ.. ὄκνος coniungerentur, quemadmodum supra κακοσιτίῃ.. ταχὺς ὁ κόρος.

ἥδε ἐστι στομάχου χρονίη νοῦσος.] Ἥδε pro librorum lect. εἰ δέ requisivit Petitus, Latine expressit Crassus, edidit Wiganus.

θέρος ἄγει τήνδε τὴν νοῦσον.] Τήν, quod libri omittunt, de meo reposui.

Cap. 7. περὶ κοιλιακῆς διαθέσιος.] De meo tum in indice huic libro praefixo, tum in huius capitis inscriptione περὶ κοιλιακῆς διαθέσιος scripsi, libris περὶ κοιλίης διαθέσιος ferentibus; nimirum non intelligis, quid sibi velit περὶ κοιλίης διαθέσιος, nisi quaenam κοιλίης διάθεσις spectetur addito epitheto indicetur. — Paulus Aeg. III. 40. περὶ λειεντερίας καὶ κοιλιακῆς διαθέσεως. — Auctor defin. med. p. 422. Kühn. κοιλιακὴ διάθεσίς ἐστι ῥευματισμὸς τῆς κοιλίας. κ. τ. λ. — Alex. Trall. VIII. 5. ἡ κοιλιακὴ διάθεσις γίνεται κ. τ. λ. Plura exempla conquirere supersedeo; κοιλίης in librorum lectione compendio scripturae fortasse originem suam debet.

ἀλλ' εἰ μὴ ἐπὶ σχεδίου τῆς αἰτίας γίγνοιτο,... πρὸς δὲ καὶ ὅλος ὁ ἄνθρωπος ἀσθενέει.] Ἀλλ' ἢν μή dant libri; de meo εἰ reposui, quod propriam hic suam sibi habet sedem, (cf. Herm. ad Vig. p. 834.) et vero requiritur propter sequentem Optat. γίγνοιτο. — Ceterum animadvertendus transitus ab optat. γίγνοιτο ad indic. ἀσθενέει:

μοῦ, καὶ ψύξι τῆς κοιλίης. Εὖτε λύεται μὲν ἐς θερμὸν ἡ τροφὴ, ἀλλ' οὐκ ἐκπέσσει θερμὸν, οὐδὲ ἐς χυμὸν οἰκεῖον τρέπει, ἡμιτελέα δὲ λείπει ἀδρανίῃ· ἡ δὲ ἀφεθεῖσα τοῦ τέλεος τῆς ἐργασίης ἐς κακὸν ἀλλοιοῦται καὶ χροιῇ, καὶ ὀδμῇ, καὶ συστάσι. λευκὴ μὲν γὰρ καὶ ἄχολος ἡ χροιὴ, κάκοδμα δὲ καὶ βορβορώδεα, ὑγρὴ δὲ καὶ ἀσύστατος ἀπραγίῃ, μούνην δὲ ἀρετὴν ἴσχουσα τῆς πέψιος τὴν ἀρχήν.

Διὰ τόδε φυσώδεες τὴν γαστέρα· ἐρυγαὶ ξυνεχέες, κακώδεες, ἢν δὲ καὶ κάτω περήσωσι, τρύζει μὲν τὰ ἔντερα, φῦσαι δὲ διεξίασι δασεῖαι, ὑγραὶ, ἀργιλώδεες· φαντασίῃ δὲ ἐπ' αὐτέῃσι, ὡς διεκθέοντος ὑγροῦ· πόνος τῆς κοιλίης βαρὺς, ὁκοῖον νύγμα, ἄλλοτε καὶ ἄλλοτε. Ἰσχνὸς δὲ καὶ ἄτροφος ὤνθρωπος, ὠχρὸς, ἀδρανὴς, οὐδέν τι πρῆξαι τῶν συνήθων εὔτονος· ἀλλὰ κῆν βαδίζῃ, λύεται τὰ μέλεα· φλέβες κροτάφων ἐπηρμέναι, ἀτροφίῃ γὰρ κοιλοκρόταφοι· ἐπίφλεβοι δὲ καὶ παντὶ τῷ σώματι. Οὐ γὰρ οὐ πέσσει μοῦνον ἡ νοῦσος, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐς τὸν ὄγκον ἀναδιδοῖ. δοκέει γάρ μοι οὐ τῆς πέψιος μοῦνον, ἀλλὰ καὶ τῆς ἀναφορῆς τὸ πάθος ἔμμεναι.

Ἢν δὲ καὶ ἐπαυξὴς ἡ νοῦσος γίγνηται, ἄγει καὶ τὰ ἀπὸ τοῦ παντὸς ἐς τὴν κοιλίην πάλιν, εὖτε ἤδη τηκεδὼν τῆς ἕξιος· αὐαλέοι δὲ τὸ στόμα, ἄνικμοι δὲ τὴν ἐπιπο-

hic modus in membro sententiae affirmante, alter in priore negante εἰ μή.

Εὖτε λύεται μὲν ἐς θερμὸν ἡ τροφὴ, ἀλλ' οὐκ ἐκπέσσει θερμὸν, οὐδὲ ἐς χυμὸν οἰκεῖον τρέπει, ἡμιτελέα δὲ λείπει ἀδρανίῃ· ἡ δὲ ἀφεθεῖσα τοῦ τέλεος τῆς ἐργασίης ἐς κακὸν ἀλλοιοῦται κ.τ.λ.] Libri omnes in hisce ferunt ἡμιτελέα δὲ λείπει ἀδρανίῃ τοῦ τέλεος· ἡ δὲ ἀφεθεῖσα τῆς ἐργασίης ἐς κακὸν ἀλλοιοῦται. — Equidem licet Latina quaedam his adposuisse videam Crassum et Wiganum, non intelligo ἀδρανίῃ τοῦ τέλεος. — Quid enim? λύεται μὲν ἐς θερμὸν ἡ τροφὴ, ἀλλ' οὐκ ἐκπέσσει (αὐτὴν τὸ) θερμὸν, ἡμιτέλεα δὲ λείπει (τοῦτο αὐτὴν) ἀδρανίῃ (τῇ ἑωυτέου, non τῇ τοῦ τέλεος). Itaque lenissimam adhibui medelam transponendo vocabula, quo facto probabilem sensum elicio: ἡ δὲ ἀφεθεῖσα τοῦ τέλεος τῆς ἐργασίης egregie convenit cum seq. μούνην δὲ ἀρετὴν ἔχουσα τῆς πέψιος τὴν ἀρχήν. Omnia iam perapte sibi consequuntur.

μούνην δὲ ἀρετὴν ἴσχουσα τῆς πέψιος τὴν ἀρχήν.] — Libri omnes μοῦνον, quod non ferendum: omnis sententiae vis est in μούνην ἀρετήν; adverbium perineptum h. l.

διὰ τόδε φυσώδεες τὴν γαστέρα.] Libri φυσώδεες ἐς τὴν γαστέρα. Delevi ἐς, quod vitiosae repetitioni syllabae postremae vocabuli antecedentis originem debere putabam.

τρύζει μὲν τὰ ἔντερα.] Hipp. in progn. εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι καὶ κατ' ὀλίγον διαχωρέειν.

φῦσαι. δὲ διεξίασι δασεῖαι, ὑγραὶ, ἀργιλώδεες.] Petitum offendit et intellectu difficile illi videtur istud φῦσαι.. ἀργιλώδεες, pro quo legendum esse dicit φῦσαι.. ἀργαὶ, εἰλώδεες. Mihi quidem non satis perspicuum est, qui dici possint ἀργαὶ, εἰλώδεες φῦσαι, quae διεξίασι. Sed δασεῖαι, ὑγραί iam ad materiem una cum emisso flatu excretam referendum est, eodemque spectat, me iudice, ἀργιλώδεες. Eo facilius autem hoc intelligo, quod Aretaeus supra dixit de alimento male concocto: λευκὴ μὲν γὰρ καὶ ἄχολος ἡ χροιή.

φαντασίῃ δὲ ἐπ' αὐτέῃσι ὡς διεκθέοντος ὑγροῦ.] Αὐτέοισι cett.; sed referendum ad φῦσαι est, quo cum genere conveniat est necesse.

ἐπίφλεβοι.] Opportune monet Petitus nomen ex Hipp. ductum esse; legitur in libro spurio Epid. VI. cf. Foës. in Oecon., qui citat hoc epitheton e cap. de diabete, ut mihi videtur.

ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐς τὸν ὄγκον ἀναδιδοῖ.] Mirum in modum haec Latine expresserunt interpretes. Crassus: « verum statim neque in molem corporis distribuit." Wig.: « sed nec id, quod concoctionis principium habet, ad incrementum corporis distribuit." — Cf. Herm. ad Vig. p. 723.

ἢν δὲ καὶ ἐπαυξὴς ἡ νοῦσος γίγνηται.] Libri omnes ἢν δὲ καὶ ἐπ' αὐξήσει ἡ νοῦσος γίγνηται. Vid. quae adnotavi ad cap. 3. lib. I. de s. m. chron., ubi similis dictio obviam est.

εὖτε ἤδη. τηκεδὼν τῆς ἕξιος.] Libri εὖτε ἦδε (V. ἤδη) ἡ τηκεδὼν. τῆς ἕξιος (O. nescio unde τοῦ σκήνεος). — Nemo facile dubitaverit, quin ἤδη verum sit, itaque cum Wigano e V. recipio; minus probo eum dedisse ἤδη ἡ τηκεδών, nam articulus unde natus sit, docet corruptum ἦδε ἡ τ., ita ut eum deleverim. Unde Wig. hauserit τοῦ σκήνεος, non dixit ipse, itaque revocavi quod in iis codd., quos ego vidi, editionibusque ceteris scriptum inveni.

αὐαλέοι δὲ τὸ στόμα, ἄνικμοι δὲ τὴν ἐπιπολήν.] Pone ἐπιπολήν libri omnes ferunt ἀνίδρωτες, quod Crassus interpretatur « nihil sudant" et Wig. « sudoris expers (nempe superficies)." — Notum est ἀνιδρωτί et ἀνίδρωτος; notum ἀνιδρῶντες apud Hipp. Dorice pro ἀνιδροῦντες et cum praepositione ἀνά compositum. Apud Hipp. de V. Acut. p. 430. Littréo ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετός, ubi ἄνιδρως libri permulti, cod. vero vetustiss. ἄνιδρος mutatum in ἀνιδρώς (sic). Conferendi sunt Suid. et Hesych. cum interprett. in κάθιδρος, nempe hoc apud Suidam reposuit Bernhardy pro olim vulgato κάθιδρως (sic), quod certe accentu peccare arbitror. Quamquam video Stephanum in thesauro, licet δύσιδρος adferat, vix probare istiusmodi formas per ο breve. — Itaque de forma ἀνίδρωτες dubito, num sit legitima: sed praeterea interpretatio est superiorum ἄνικμοι τὴν ἐπιπολήν. Quae quidem ratio est, cur vocabulum vix probandum et insuper abundans deleverim.

λήν. Κοιλίη ἄλλοτε πυριφλεγὴς, ὡς ἀπ' ἄνθρακος, ἄλλοτε δὲ, ὡς ἀπὸ κρυστάλλου, ψυχροπαγής· κοτὲ δὲ καὶ αἷμα τοῖσι ἐσχάτοισι σκυβάλοισι ἐπιῤῥέει ξανθὸν, ἄκρητον, ὡς δοκέειν φλεβὸς στόμιον ἀνεῷχθαι· ἀνεσθίει γὰρ τὸ δριμὺ τὰς φλέβας. Μήκιστον δὲ καὶ δυςαλθὲς κακόν. καὶ γὰρ ἢν δοκέῃ πεπαῦσθαι, ἄνευ φανερῆς προφάσιος παλινδρομέει ἐςαῦθις ἠδὲ καὶ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλίνορσος ἥκει. ἐς περίοδον γοῦν ἤδη φοιτῇ.

Γέρουσι ξύνηθες τὸ κακὸν, καὶ γυναιξὶ μᾶλλον ἢ ἀνδράσι. παιδίοισι δὲ διάῤῥοια μὲν ξυνεχὴς ἐφημέρῳ ἀκρασίῃ τροφῆς, ἀλλ' οὐ κοιλίῃ ἐνσκήπτει ἡ νοῦσος. Τίκτει δὲ θέρος τῶν ἄλλων ὡρέων μᾶλλον· μετόπωρον, δεύτερον· χειμὼν δὲ ὁ ψυχρότατος, ἣν ἀγχοῦ σβέσιος τὸ θερμὸν ἥκῃ. Ἐπὶ χρονίῃ δὲ νούσῳ καὶ ἥδε, καὶ δυςεντερίῃ, καὶ λειεντερίῃ τίκτεται. ἀλλὰ καὶ χανδὸν ψυχροποσίῃ κοτὲ ξυνέστησε τὴν νοῦσον.

ΠΕΡΙ ΚΩΛΙΚΩΝ.

Κεφ. η'.

Κωλικοὶ δὴ κτείνονται εἰλεῷ καὶ στρόφῳ ὀξέως Πάνυ μὲν οὖν αἴτια μυρία ἴσχει τῆς διαθέσιος. Σημήϊα, βάρος μὲν ἐπὶ ἀσιτίῃ, ἔνθα δὴ τὸ πάθος μάλιστά γε κραίνει. ὄκνος πουλὺς, νωθέες· ἀπόσιτοι, ἰσχνοὶ, ἄγρυπνοι, οἰδαλέοι πρόςωπα. Κῆν μὲν πρὸς τῷ σπληνὶ νοσέῃ κῶλον, μελάγχλωροι· λευκόχλωροι δὲ, ὁκόσοις πρὸς ἥπατι, ξυμπα-

κοιλίη ἄλλοτε πυριφλεγὴς, ὡς ἀπ' ἄνθρακος, ἄλλοτε δὲ, ὡς ἀπὸ κρυστάλλου, ψυχροπαγής.] Pro *ἀπ' ἄνθρακος* H. V. G. v. l. Pc. *d. f.* *ἐπ' ἄνθρακος*: — tum vero libri *ψυχροσταγδής*. — Crassus: «alias tanquam a crystallo conglaciat." Adeo ut fere *ψυχροπαγής* exprimat. — Petitus, licet ad codd. scripturam propius accedat *ψυχροσταγής*, praefert *ψυχροπαγής* ad ductum interpretationis Crassi. — Wiganus *ψυχροσταγής* legendum censet. — Equidem exhibui, quod Crassus Latine dedit et cum superiore *πυριφλεγής* satis congruere videbatur: neque vero satis intelligo h. l. *ψυχροσταγής*.

κοτὲ δὲ καὶ αἷμα τοῖσι ἐσχάτοισι σκυβάλοισι ἐπιῤῥέει.] Libri *τοῖσι ἐσχάτοισι ἐν σκυβάλοισι*. — Delevi otiosum *ἐν*. — Principio *κοτέ* dedi, pro vitiosa librorum lect. *ὁκότε*.

ξανθὸν, ἄκρητον, ὡς. δοκέειν φλεβὸς στόμιον ἀνεῷχθαι.] Libri *ξ. ἄκριτον, ἀμιγὲς, ὡς δοκέειν*. Verissime Wigg. *ἄκριτον* in *ἄκρητον* mutandum esse monuit; sed simul delere debuerat *ἀμιγές*, quod interpretationem refert superioris *ἄκρητον*. — Quid quod ipse adfert Galeni verba ex glossario: *ἄκρητον. τὸ ἄκρατον· οὕτως γὰρ ὀνομάζεται πᾶν τὸ ἀμιγὲς ἑτέρου.*

μήκιστον δὲ καὶ δυςαλθὲς κακόν.] Sic Pa. cett. *δέ* omittunt.

καὶ γὰρ ἢν δοκέῃ πεπαῦσθαι, ἄνευ φανερῆς προφάσιος παλινδρομέει ἐςαῦθις ἠδὲ καὶ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλίνορσος ἥκει· ἐς περίοδον γοῦν ἤδη φοιτῇ.] Pro *ἠδὲ καί*, quod de coniectura reposui, libri dant *ἢν ἤδη καί*, unde *ἥκῃ* natum in H. V. Pd. — Pro *ἤδη φοιτῇ*, libri *ἠδὲ* (*ὅδε* H. Pc. d.) *φοιτῇ*. — Leni mutatione sensum loci et sanam scripturam restituisse mihi videor.

ἀλλ' οὐ κοιλίῃ ἐνσκήπτει ἡ νοῦσος.] Libri dant *ἀλλ' οὐ κοιλίης κύτεϊ ἡ νοῦσος*. — Quae in textum recepta est, ingeniosa et felicissima et verissima emendatio est Koenii ad Greg. Cor. p. 427., ubi vide.

χειμὼν δὲ ὁ ψυχρότατος, ἣν ἀγχοῦ σβέσιος τὸ θερμὸν ἥκῃ.] Ἀγχοῦ σβέσι (σβέσῃ H. Pd.) dant libri. Debitum casum restitui de coniectura.

ἐπὶ χρονίῃ δὲ νούσῳ καὶ ἥδε καὶ δυςεντερίῃ καὶ λειεντερίῃ τίκτεται.] Ad *δυςεντερίῃ καὶ λειεντερίῃ* Wig. adnotat: «malim in Dativo casu legere et vertere: *Diuturno etiam morbo hic adfectus et dysenteriae et lienteriae succedit.*" Ego prorsus dissentio: tum verborum ordo vetat, tum horum morborum inter se consecutio. Hipp. Aph. VII. 75. 76.: *ἐπὶ διαῤῥοίῃ δυςεντερίη. — ἐπὶ δυςεντερίῃ λειεντερίη.*

Cap. 8. *πάνυ μὲν οὖν αἴτια μυρία ἴσχει τῆς διαθέσιος.*] Advertit *ἴσχει*, quod, quin h. l. intransitive, fere pro *ἔστι*, ponatur, nullus dubito: sed apud Herodotum et ipsum adeo poëtam *ἔχω* quidem sic sumi vidi, non *ἴσχω*. cf. adnn. ad cap. 12. infra.

ἔνθα δὴ τὸ πάθος μαλιστά γε κραίνει.] Vulgo *ἐνθάδε*, sed *ἔνθα δή* in O. receptum est e V. A., idemque ipse in Pa. legi. Iam vero omnes libri ferunt *μάλιστα δὲ κραίνει*: at particulae *δέ* locus ibi non est, neque enim video quid indicare possit: itaque *γέ* reposui, quod apte quadrat. Bern. in vita. Reiskii (p. 282.) tentat: *ἔνθαδε*, vel *ἔνθα δὲ τὸ πάθος μάλιστα ἀγριαίνει*. Non placet!

κῆν μὲν πρὸς τῷ σπληνὶ νοσέῃ κῶλον, μελάγχλωροι· λευκόχλωροι δὲ ὁκόσοις πρὸς ἥπατι, ξυμπαθείῃ κ. τ. λ.] Pro *ὁκόσοις* vulgo editur *ὁκόσοι* Pc. *d. e. f.* *ὁκόσοι δέ* ferunt. — Nominativus ferri nequit h. l., quum non habeat,

θείῃ τῶν ἄγχιστα σπλάγχνων. Ἢν δὲ προαιρῶνται τροφὴν, καὶ ἐπὶ σμικρῇ καὶ ἀφύσῳ κάρτα φυσώδεες· καὶ προθυμίη μὲν ἐς διαπνοὴν, ἀδιέξοδοι δὲ φῦσαι· ἐρυγαί τε ἄνω βιώμεναι, ἀτὰρ καὶ αἵδε ἀτελέες· ἢν δέ πη περήσῃ βίῃ, φῦσαι βρωμώδεες μὲν αἱ ἄνω καὶ ὀξυρεγμιώδεες. Νεφροὶ καὶ κύστις ξυμπαθέα πόνῳ, καὶ ἰσχουρίῃ· τουτέοισι ἄλλα ἀντ' ἄλλων Θωῦμα δὲ τουτέων μέζον· ἐς ὄρχιας καὶ κρεμαστῆρας ἀδόκητον ἄλγος ἐπιφοιτῇ. πολλοὺς τῶν ἰητρῶν ἥδε ἡ ξυμπαθείη λήθει· καὶ γὰρ καὶ ἐξέταμόν κοτε τοὺς κρεμαστῆρας, ὡς ἰδίην ἂν ἔχοντας αἰτίην· ἀλλὰ γὰρ καὶ τουτέοισι ἀντ' ἄλλων ἄλλα.

Γίγνονται δὲ καὶ ἀπότοκοι τοῦδε νοῦσοι, ἀποστάσιες μὲν καὶ ἕλκεα οὐκ εὐήθεα· ὕδεροι δὲ καὶ φθίσιες, ἀναλθέα. Ἐπὶ γὰρ ψύξι καὶ χυμοῖσι παχέσι καὶ φλέγματι πολλῷ κολλώδεϊ ξυνίσταται ἡ νοῦσος. Ἀτὰρ καὶ ἡλικίῃ καὶ χώρῃ ψυχρῇ ἐπιφοιτῇ, καὶ χείματι καρτερῷ.

ΠΕΡΙ ΔΥΣΕΝΤΕΡΙΗΣ.

Κεφ. θ'.

Ἐντέρων τὰ μὲν ἄνω λεπτὰ καὶ χολώδεα μέσφι τοῦ τυφλοῦ χολάδες ἐπίκλην. Ἀπὸ δὲ τουτέων τὰ κάτω παχέα, καὶ σαρκώδεα, μέσφι τῆς ἀρχῆς τοῦ εὐθέος ἐντέρου.

quorsum referatur: leni igitur mutatione dativum revocavi. Nimirum expleo cogitatione: λευκόχλωροι δὲ, ὀκόσοις πρὸς ἥπατι νοσέει τὸ κῶλον. Postrema e superioribus facile repetuntur.

καὶ προθυμίη μὲν ἐς διαπνοὴν, ἀδιέξοδοι δὲ φῦσαι· ἐρυγαί τε ἄνω βιώμεναι, ἀτὰρ καὶ αἵδε ἀτελέες.] In hisce advertit διαπνοή de flatus per anum emissione usurpatum, quae vocis significatio minus solita. Porro libri omnes βιούμενοι, exceptis V. A. Pa. b., ubi μειούμεναι: legendum est βιώμεναι a βιάομαι (nam βιοῦσθαι longe aliud quid cf. Lex. Herod. in βιᾶσθαι et βιοῦν.): docet sequens ἢν δέ πη περήσῃ βίῃ. — In his βίῃ O. Pa. b. βίᾳ cett.

βρωμώδεες.] De meo reposui pro lect. codd. βρομώδεες.

νεφροὶ καὶ κύστις ξυμπαθέα πόνῳ καὶ ἰσχουρίῃ, τουτέοισι ἄλλα ἀντ' ἄλλων.] Vulgo νεφρός: plur. num. O. ex H. — νέφροις καὶ κύστει Pb. a correctore. — Venio ad ἄλλα ἀντ' ἄλλων, quod mox iterum ponitur: ἀλλὰ γὰρ καὶ τουτέοισι ἀντ' ἄλλων ἄλλα. — Sunt haec ad Hippocratis imitationem expressa, cuius verba describam, quemadmodum ipse legenda arbitror: Epid. I. statu 2. legis: κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον δυσεντεριώδεες καὶ τεινεσμοὶ καὶ λειεντεριώδεες, καὶ διάῤῥοιαι χολώδεες λεπτοῖσι, πολλοῖσι, ὠμοῖσι καὶ δακνώδεσι· ἔστι δ' οἷσι καὶ ὑδατώδεες· πολλοῖσι δὲ καὶ περίῤῥοιαι μετὰ πόνου χολώδεες, ξυσματώδεες, πυώδεες· στραγγουριώδεα οὐ νεφριτικὰ, ἀλλὰ τουτέοισι ἀντ' ἄλλων ἄλλα. — Itaque Hipp. formula ἀντ' ἄλλων ἄλλα denotat l. l. urinae stillicidium, quod observaverat, non pendere a renum morbo, quod facile quis credat, sed a ceteris intestinorum turbis. Neque alio sensu eam nunc usurpat noster, qui continuo illum imitatur.

θωῦμα.] Θῶμα Pb. Frequens in libris fluctuatio inter θωῦμα, θῶμα et τρωῦμα, τρῶμα cett.

ὡς ἰδίην ἂν ἔχοντας αἰτίην.] Ἂν de meo supplevi; neque enim abesse posse videtur particula eiusmodi loco, ubi id proponitur, quod ipse auctor verum non esse credit.

καὶ τουτέοισι ἀντ' ἄλλων ἄλλα.] V. Pa. b. hic etiam ἄλλα ἀντ' ἄλλων.

καὶ φλέγματι πολλῷ κολλώδεϊ.] Vulgo φλέγμασι πολλῷ κολλώδεσι. — M. φλέγματι. — Crassus: „et longe glutinosa pituita." — Wigano auctore in notulis sing. num. restitui; Petitus contra πολλοῖς desideravit.

ἀτὰρ καὶ ἡλικίῃ καὶ χώρῃ ψυχρῇ ἐπιφοιτῇ καὶ χείματι καρτερῷ.] Libri: ἀτὰρ καὶ ἡλικίῃ καὶ ὥρῃ ψυχρῇ ἐπιφοιτῇ, χώρῃ, καὶ χείματι καρτερῷ. Crassus et Wiganus interpretantur, quasi legissent: ἀτὰρ καὶ ἡλικίῃ καὶ ὥρῃ καὶ χώρῃ ψυχρῇ ἐπιφοιτῇ καὶ χείματι καρτερῷ. Iam vero primo librorum scriptura id non fert, neque vero malo medeberis, etiamsi cum Wigg. καὶ χώρῃ legendum censeas, nam hoc ipsum simul transponendum erit: tum vero non video, cur noster, semel mentione facta ὥρης ψυχρῆς, mox iterum inferret καὶ χείματι καρτερῷ. Itaque puto Aretaeum dedisse ἀτὰρ καὶ ἡλικίῃ καὶ χώρῃ ψυχρῇ ἐπιφοιτῇ καὶ χείματι καρτερῷ, librarium pro χώρῃ scripsisse ὥρῃ, et subnotata voce emendasse
χώρῃ
ὥρῃ, unde alieno loco χώρῃ in textum invectum fuerit, relicto simul falso ὥρῃ.

Cap. 9. ἐντέρων τὰ μὲν ἄνω λεπτὰ καὶ χολώδεα... χολάδες ἐπίκλην.] Χολάδες Crassus scripsit et a Goupylo inde Graece ediderunt omnes: egregie ita etiam cod. H.; sed V. A. et Po. χολώδεες: — ἐπίκλησιν ex H. dedit Wigg. — Malui vulgatum ἐπίκλην servare: nam, licet χολάδες Homericum sit et poëtae usitata formula sit ἐπίκλησιν καλέουσιν (v. c. Il. XXII. 506. Od. V. 273.) et aliis locis etiam hic ἐπίκλησιν, non ἐπίκλην, usurpet; hoc

Ἐγγίγνεται οὖν ἐν ἅπασι ἕλκεα· δυςεντερίῃ δὲ τῶνδε τῶν ἑλκέων αἱ ἰδέαι· διὰ τόδε ποικίλαι ἔασι αἱ νοῦσοι. Τὰ μὲν γὰρ ἐπιπολῆς ξέει τὰ ἔντερα, ἀναδορὴν μούνην ποιεύμενα καὶ ἔστι ἀσινέα· ἀτὰρ καὶ ἀσινέστερα πολλὸν, ἢν κάτω ᾖ τὰ πάθη· ἄλλη ἰδέη, εἰ σμικρῷ μέν ἐστι ϐαθύτερα τὰ ἕλκεα, εὐήθεα δὲ καὶ τάδε· ἄλλα ϐαθέα καὶ οὐχ' ἱστάμενα, ἀλλ' ἐσθιόμενα, φαγεδαινώδεα, ἕρποντα καὶ ἐπισφακελίζοντα, θανατώδεα. ἀτὰρ καὶ φλεβία ἐπὶ τῇσι νομῇσι γίγνεται περίβρωτα, ἔν τε τοῖσι ἕλκεσι καὶ στάξιες αἱμοῤῥαγίης. Τὸ μέζον ἄλλο εἶδος ἑλκέων· ὀχθώδεα, τρηχέα, ἀνώμαλα τυλαίνια, ὡς ἐν ξύλῳ ὄζον εἴπομεν. δυςαλθέα τάδε, οὔτε γὰρ ὠτειλὴν ῥηϊδίως ἴσχει, ῥηΐτερόν τε λύονται.

Αἰτίαι δὲ δυςεντερίης μυρίαι, ἐπίκαιροι δὲ, ἀπεψίαι, ψύξιες ξυνεχέες, δριμέων πρόςαρσις, μυττωτοῦ, κρομμύου αὐτοῦ καὶ σκορόδου, κρεῶν παλαιῶν δριμέων ἐδωδὴ, ἐφ' οἷσι ἀπεψίη· ὑγρὸν ἄηθες, κυκεὼν, ἢ ϐρυτέων πόμα, ἢ οἷα κατὰ χώρην ἑκάστην ἀντὶ οἴνου γίγνεται, δίψεος ἄκεα· ἀτὰρ καὶ πληγὴ, καὶ ψύξις, καὶ ψυχροποσίη τίκτουσι ἕλκεα.

tamen loco ab Aretaeo potius prosae scriptoribus usitatum ἐπίκλην exspecto, quia χολάδες a poëta mutuatus est et ad etymum huius nominis alludit, cum τὰ ἔντερα τὰ ἄνω χολώδεα dicit, adeoque minus probabiliter in reliquis etiam imitationem orationis Homericae spectare putandus est.

τὰ μὲν γὰρ ἐπιπολῆς ξέει τὰ ἔντερα.] Articulum τά de meo interposui.

ἄλλη ἰδέη, εἰ σμικρῷ μέν ἐστι ϐαθύτερα τὰ ἕλκεα, εὐήθεα δὲ καὶ τάδε.] Varietas lectionis horum verborum probe tenenda est; vulgo: ἄλλη δὲ εἰ σμικρῷ μὲν ἔτι ϐαθύτερα τὰ ἕλκεα, οὐκ εὐήθεα δὲ καὶ τάδε. — In his pro σμικρῷ V. Pa. b. σμικρόν. Sed H.: ἀλλ' ἣν δὲ σμικρῷ μὲν ἔτι ϐαθύτερα τὰ ἕλκεα, οὐκ εὐήθεα δὲ καὶ τάδε. — Hanc quidem loci scripturam Wig. in suam recepit editionem. — Mihi unice vera lectio in vulgata ἄλλη δὲ εἰ σμικρῷ, vel σμικρόν, latere videtur: nempe e superioribus, δυςεντερίῃ δὲ τῶνδε τῶν ἑλκέων αἱ ἰδέαι, patet ad ἄλλη supplendum esse ἄλλη ἰδέη εἰ σμικρῷ κ. τ. λ. sicuti verissime locum emendavit Bern. ad Nonnum I. p. 39. — Iam vero minus apte ἔτι poni visum est, quia de profundioribus ulceribus sermo nondum fuit; quapropter pro ἔτι reposui ἐστι: nam haec frequenter inter se permutari quivis novit. — Denique negatio οὐκ delenda erat, quippe quae omnem loci sensum pessumdat. — Omnia iam menda tandem sublata esse arbitror.

ἀλλ' ἐσθιόμενα, φαγεδαινώδα.] Petitus: «Crassus, inquit, *sed exedentia, glandulosa*, cet. — De ulceribus intestinorum loquitur, quae glandulosa appellare absonum plane est. Vera lectio est ὀδυνώδεα, *dolentia.*" — Nimis confidenter postremum affirmat: Aretaeus h. l. externum ulcerum habitum depingit; mox de dolore loquitur cum τὰ ξυνεόντα ἑκάστοισι τῶν νοσεόντων describit. Equidem in ἀδενώδεα latere arbitror φαγεδαινώδεα, licet non nesciam vulgo φαγεδαινικά usurpari: at me iudice φαγεδαινώδεα non minus legitima forma est. Ἀδενώδεα sine dubio ineptum.

ἀτὰρ καὶ φλεβία ἐπὶ τῇσι νομῇσι γίγνεται.] Sic O. Pa. b. γίγνονται cett.

ἔν τε τοῖσι ἕλκεσι καὶ στάξιες αἱμοῤῥαγίης. Τὸ μέζον ἄλλο γένος ἑλκέων· ὀχθώδεα, τρηχέα, ἀνώμαλα τυλαίνια, ὡς ἐν ξύλῳ ὄζον εἴπομεν.] Αἱμοῤῥαγίης O. αἱμοῤῥαγίας cett. — Vulgo τὸ μέζον ad superiora trahitur, ita ut inter μέζον et ἄλλο distinguatur; perperam sic distingui dudum vidit Wiganus. — Nomen τυλαίνια a Crasso et Wigano *callosa* redditur Latine, quasi adiectivum esset; me iudice falluntur: Credo diminutivum esse: τύλος, τύλη, τύλαινα, τυλαίνιον: — confero φλυκτὶς φλύκταινα, φλυκταινίδιον. — Iam melius intelligitur ὀχθώδεα... τυλαίνια, ὡς ἐν ξύλῳ ὄζον εἴπομεν. — Pro sing. num. ὄζον O. ex H. ὄζους, quod cur prae vulgato praeferam, non video.

δυςαλθέα τάδε, οὔτε γὰρ ὠτειλὴν ῥηϊδίως ἴσχει, ῥηΐτερόν τε λύονται.] Olim δυςαχθέα edebatur: sed O. ex H. V. A. δυςαλθέα, quod in altero latere recte vidit Petitus. — Vulgo ῥηΐτερόν τε γὰρ λύονται: sed O. γάρ non habet, nec vero vidi in Pa. b. —; praestat haec lectio: nam ad λύονται subaudiendum est αἱ ὠτειλαί, adeo ut particulae causali locus omnino non sit. — Minus perspicue Wig. Latine: «neque enim ad cicatricem facile perducuntur, quia levi momento solvi possunt." Quomodo locus accipiendus mihi videatur, e Latinis patebit.

ψύξιες ξυνεχέες.] Sic O. Pa. b. e. f. συνεχέες cett.

μυττωτοῦ, κρομμύου αὐτοῦ καὶ σκορόδου.] Καί O. ex H.; omittunt cett. — Gal. in Exeg. Μυττωτὸν ὑπότριμμα Διοσκουρίδης εἶναί φησι σκορόδων ἢ κρομμύου. — Respicit Diosc. II. 181. — Sed hunc locum si cum seqq. ἢ ϐρυτέων πόμα, ἢ οἷα κ. τ. λ. conferas, fere suspiceris Aretaeum μυττωτοῦ, κρομμύου αὐτοῦ, ἢ σκορόδου scripsisse.

κυκεών.] Cf. Foës. Oecon. Hipp. in voce. Ipse Casaub. etiam ad Athen. p. 512. lectorem demittit ad Hippocratis interpretes.

ἢ ϐρυτέων πόμα.] A. γρυτέων, libri cett. ῥυτέων. — Goupylus ϐρυτέων desideravit in varr. lect., idemque huius fide recepit Wiganus. Petitus idem desideravit, collato loco e cap. 9. lib. I. de s. m. ac. δριμὺ δὲ καὶ... τὸ τῶν ϐρυτέων πόμα. — Licet sciam Hesych. habere ῥυτά· τὰ στέμφυλα et ϐρυττία· στέμφυλα, et in Leonis Synopsi legi οἶδα δέ τινας θείου ἀπύρου παρέχοντας κεράτια ὀκτὼ μετὰ ῥυτοῦ πίνειν, nolui non cum ceteris nostri locis consentienter hanc vocem scribere.

ἢ οἷα.] Ἢ οἷον H. V. Pb. c. d. e. f.

τάδε καὶ ξὺν τῇ τροφῇ λελυμένῃ μὲν, ἀλλὰ τρηχείῃ.]

Αἱ δὲ ἐκκρίσιες καὶ τὰ ξυνεόντα τοῖσι ἕλκεσι ἕτερα καὶ ἕτερα ἐπ᾽ ἄλλοισι καὶ ἄλλοισι. Ἢν μὲν γὰρ ἐπιπολῆς ἔῃ, ἄνωθεν μὲν λεπτὰ, χολώδεα, ἄνοσμα, πλὴν ὁκόσον ἀπ᾽ ἐντέρων. Τὰ δὲ ἀπὸ τῆς νήστιος κατακορέα μᾶλλον, κροκοειδέα, κακώδεα· τάδε καὶ ξὺν τῇ τροφῇ λελυμένῃ μὲν, ἀλλὰ τρηχείῃ. ἄλλοτε κάκοδμόν ἐστι, τὰ δὲ ἕλκεα σηπεδονώδεα· ἄλλοτε δὲ ἴσχει, ὡς ἀπὸ σκυβάλων μοῦνον, τὴν ὀσμήν. Ἀπὸ δὲ τῶν κάτω ἐπὶ τοῖσι ἕλκεσι, ὑδατώδεα, λεπτὰ, ἄνοσμα· ἢν δὲ ἐπὶ μᾶλλον βαθέα, ἰχωροειδέα, ὑπέρυθρα, οἰνώδεα ἢ ὅκως κρεῶν πλύμα· ἄλλοτε μὲν ἰδίῃ τάδε, ἄλλοτε δὲ ξὺν τοῖσι κοπρίοισι· καὶ τάδε ὑγρὰ, λελυμένα τῷ περιῤῥόῳ, ἄχολα, ἄνοσμα, ἢ ξυνεστῶτα, ξηρὰ ἐξίασι, ὀλισθηρὰ τῷ περιῤῥόῳ. Ἢν δὲ μέζω καὶ λειότερα ᾖ τὰ ἕλκεα, ἐπὶ μὲν τοῖσι ἄνω χολώδεα, καὶ ἀφ᾽ ὧν καὶ δι᾽ ὧν ἔρχεται, — καὶ γὰρ τὴν ἕδρην, — δάκνει· δριμεῖα γὰρ ἡ χολὴ, καὶ ἐπὶ μᾶλλον, ἢν ἀφ᾽ ἕλκεος. καὶ ἡ χολὴ δὲ πίων, ὅκως λίπας. Ἐπὶ δὲ τοῖσι βαθυτέροις τοῖσι κάτω, αἱμάλωψ παχὺς σὺν φλέγματι, σαρκοειδέα οὐ κάρτα πίονα, ξυσματώδεα, ὡς ἀπ᾽ ἐντέρων εἶναι. ἀτὰρ καὶ ὅλα συμμέμικται μέρεα. Φέρεται δὲ λευκὰ, παχέα, μυξώδεα, στέατι ξυγκοπέντι ἴκελα, ξὺν τῷ περιῤῥόῳ· τάδε μέντοι ἀπὸ τοῦ παραμήκεος ἐντέρου. ἄλλοτε δὲ μυξώδεα μοῦνον, ὀδαξώδεα, σμικρὰ, στρογγύλα, δακνώδεα, ἐξαναστάσιας πυκινὰς καὶ προθυμίην ξὺν ἡδονῇ ποιεύμενα, ἐκκρίσιας δὲ κάρτα σμικράς. τεινεσμὸς τοῦδε ἡ ἐπίκλησις. Ἀπὸ δὲ τοῦ κώλου φέρονται καὶ σάρκες ἐξέρυθροι καὶ μεγάλαι, περιγραφὴν πολλὸν μέζονα

Τὰ δὲ καὶ κ. τ. λ. vulgo. — Crassus etiam « aliqua vero et cum alimento." O. τάδε, forte ex H.: undecumque venit, recipiendum est.

τὰ δὲ ἕλκεα σηπεδονώδεα.] Sic O. ex H. σηπεδὼν vulgo — σηπεδῶνα Pe. f.

ἄλλοτε δὲ ἴσχει ὡς ἀπὸ σκυβάλων μοῦνον τὴν ὀσμήν.] O. ex H. τὴν ὀσμήν, cett. ἡ ὀσμή. Possis scilicet etiam hanc lectionem defendere!

ἄλλοτε μὲν ἰδίῃ τάδε.] H. Pf. ταῦτα habent, quod adponitur etiam in Pc. e.

ἢν δὲ μέζω καὶ λειότερα ᾖ τὰ ἕλκεα, ἐπὶ μὲν τοῖσι ἄνω χολώδεα καὶ ἀφ᾽ ὧν καὶ δι᾽ ὧν ἔρχεται, — καὶ γὰρ τὴν ἕδρην, — δάκνει· δριμεῖα γὰρ ἡ χολή.] Crassus: « ceterum si maiora laevioraque ulcera sint et in superioribus intestinis, eorum ratione a quibus et per quae transeunt, biliosa effunduntur, sedem enim vellicant." — Wiganus: « Quodsi maiora sint et laeviora ulcera, idque in superioribus intestinis biliosa, tam eorum ratione e quibus, quam horum, per quae transeunt, emittuntur: sedem quoque vellicant, quia bilis acris est." — Pessime locum accepit uterque interpres: age! expleamus sententiam: ἢν δὲ μέζω καὶ λειότερα ᾖ τὰ ἕλκεα, ἐπὶ μὲν τοῖσι ἄνω (ἐντέροισι τὰ διαχωρήματα) χολώδεα (ἐστὶ) καὶ (τοὺς τόπους) ἀφ᾽ ὧν καὶ (τοὺς) δι᾽ ὧν ἔρχεται (δάκνει)· καὶ γὰρ (καὶ) τὴν ἕδρην δάκνει. δριμεῖα γὰρ ἡ χολή. — Iam, puto, omnia plana sunt: — illi breviloquentiam etiam postremis inesse non viderunt.

ξυσματώδεα, ὡς ἀπ᾽ ἐντέρων εἶναι.] Εἶναι h. l. abundare vides; de hoc usu pleni sunt grammaticorum libri.

ἀτὰρ καὶ ὅλα συμμέμικται μέρεα.] Libri dant μέλεα. — Crassus: « quinetiam et integrae intestinorum *partes* commixtae sunt." — Wiganus μέρεα legendum esse suspicatur in notulis: huic quidem sum obsecutus.

τάδε μέντοι ἀπὸ τοῦ παραμήκεος ἐντέρου.] Legebatur ἀπὸ τοῦ εὐθέος τοῦ παραμηκέος ἐντέρου. Glossam delevi, cf. adn. ad. II. 10. de S. m. ac. supra.

τεινεσμός.] Vulgo τεινασμός editur: sed O. τεινεσμός et V. G. v. l. et Pa. b.

ἀπὸ δὲ τοῦ κώλου φέρονται κ. τ. λ.] Κούφου H. V. A. Pa. b. c. d. f. κωφοῦ vulgo. — Petitus ad h. l. haec adnotat: « Crassus vertit a *coeco*; quasi κωφός coecum etiam significet. Verum non constat ubi haec vox pro τυφλός legatur. In MS. *Mentel.* non κωφοῦ, sed κούφου scriptum est, accentu in penultima, quasi a κοῦφος; quod nec probo: tamen ex ea lectione coniicere est veram fuisse, κώλου." Mihi quidem ista viri egregii emendatio in textum recipienda visa est, licet pluribus defendi possit vulgata: v. c. disputari potest perfacilem esse lapsum a κωφοῦ ad κουφοῦ, non item a κώλου ad κωφοῦ: tum Aretaeum saepius minus usitata nomina corporis partium usurpare, ponere illum τὴν πάρθενον τὴν ἐν τοῖσι ὀφθαλμοῖσι pro τὴν κούρην, illum τὸ ἀπευθυσμένον appellare τὸ παράμηκες ἔντερον; et vero haud omnino absurdum esse eum κωφοῦ pro τυφλοῦ scripsisse, si quidem apud Erot. ex Hipp. κώφωσις ὀφθαλμῶν occurrit, quod forte apud Divinum senem noster legerit. At me, inquam, ista non movent: neque enim credo auctorem distinguere velle quae materies a coeco intestino profluat, quod neque ab eo fieri potuisse videtur, sed puto eum distinguere velle materies a colo prodeuntes: hinc mox γίγνεταί κοτε καὶ ἐν κώλῳ πύου ἀπόστασις et paulo post ῥέει κοτὲ πολλὸν ἀπὸ τοῦ κώλου ὕδωρ.

φέρονται.. σάρκες ἐξέρυθροι καὶ μεγάλαι, περιγραφὴν πολλὸν μέζονα ἔχουσαι. εἰ δὲ βαθέα γίγνεται τὰ ἕλκεα καὶ αἷμα παχὺ, τρυγῶδες κ. τ. λ.] In hisce de meo interposui voculas εἰ δέ, quae excidisse mihi visa sunt. — Crassus: « carnes longe rubicundae et grandes excernuntur, circumscriptionem multo maiorem habentes: in ipso

ἔχουσαι. εἰ δὲ βαθέα γίγνεται τὰ ἕλκεα, καὶ αἷμα παχὺ, τρυγῶδες· τάδε κάκοδμα τῶν πρόσθεν μᾶλλον. Ἐπὴν δὲ ἕρπῃ καὶ ἐσθίῃ τὰ ἕλκεα, καὶ ἴσχηται μηδαμᾶ ἐπὶ μηδενὶ, ἄνωθεν μὲν πρὸς τοῖσι χολώδεσι τοῖσι κατακορέσι, κροκώδεα καὶ ἔπαφρα, τρυγίζοντα καὶ μέλανα, ἰσατώδεα, πρασοειδέα, παχύτερα τῶν πρόσθεν, κακώδεα ὅκως σηπεδὼν, διαχωρέει· τροφὴ νῦν ἀπεπτοτέρη, ὡς ὑπὸ ὀδόντων λάβρων τετριμμένη μοῦνον. Ἢν δὲ τὰ κάτω ἀνεσθίηται, αἱμάλωπες μέλανες, παχέα, σαρκοείδεα, ἐξέρυθρα, θρομβώδεα, ἄλλοτε μὲν μέλανα, ἄλλοτε δὲ παντοίως ποικίλα, κάκοδμα, οὐ φορητά. ἀφέσιες τῶν ὑγρῶν ἀβούλητοι. Ἀπελύθη κοτὲ καὶ εὔμηκες ἄκριτον κατὰ πλεῦνα, ὅκως ὑγιὲς τὸ ἔντερον, καὶ δέος παρέσχε ἀμφὶ ἐντέρου τοῖσι ἀγνοοῦσι τὸ πρῆγμα. Τόδε δ' ἐστὶ τοιόνδε· τῶν ἐντέρων ὅκως τῆς κοιλίης, χιτῶνες ἔασι δοιοὶ, ἀτὰρ καὶ ἀλλήλοισι ἐπιβάλλουσι οἵδε λοξοί. ἢν οὖν ἡ διπλόη λυθῇ, ὁ μὲν ἐντὸς χιτὼν ἀποστὰς ἐς μῆκος ἔξω χωρέει· ὁ δὲ ἐκτὸς μίμνει μοῦνος, καὶ σαρκοῦται, καὶ ἐπωτειλοῦται, καὶ ἀλθέξονται, καὶ ζώουσι ἀσινέες. πάσχει δὲ τὸ κάτω μοῦνον, αἰτίη δὲ τῶν χιτώνων τὸ σαρκοειδές. Ἢν δὲ αἷμα ἀπό τευ ἀγγείου φέρηται, ξανθὸν, ἢ μέλαν καθαρὸν ῥέει, ἠδὲ ἐπίπαγος ἐπιπετάννυται πλατέσι ἀραχνίοισι ἴκελος, θρομβοῦται γὰρ ἢν ψυχθῇ· οὐδὲ γὰρ ἡ πί-

enim profunda fiunt ulcera, cruor etiam crassus, faeculentusque emanat. — Hic igitur *βαθέα γὰρ γίγνεται* vel legit, vel de suo, quod probabilius esse credo, finxit. — Wiganus in Latinis nihil supplevit: at re vera aliquid deësse patet inde quod, si in vulgata *βαθέα γίγνεται τὰ ἕλκεα καὶ αἷμα παχὺ τρυγῶδες* legas, *γίγνεται* etiam ad *αἷμα παχὺ, τρυγῶδες* sit referendum; iam vero sermo esse nequit de sanguine crasso in ulceribus orto, sed de sanguine crasso, foeculento excreto, adeo ut certo certius aliquid supplendum sit. Itaque reposui quod auctorem scripsisse putabam: — particulae causali, quam Crassus in Latinis interposuit, locus non est.

ἐσθίῃ.] Ἐσθίηται H.

καὶ ἴσχηται μηδαμᾶ ἐπὶ μηδενί.] Sic O. H. V. A. Pa. *b. d. f.* *ἐπὶ μηδέν* cett., quod minus probandum.

κακώδεα, ὅκως σηπεδών.] Sic O., fortasse ex H., quamquam hac de re non monetur, — *ὅκως ἡ σηπεδών* cett.: ipse etiam in vulgata aegre ferebam articulum.

ὡς ὑπὸ ὀδόντων λάβρων τετριμμένη μοῦνον.] Apud Hesych. *λάβρον* exponitur *βορόν*; *βορός* vero *πολυφάγος*, *ἄπληστος*. — Hoc quidem sensu *λάβρων* h. l. accipiendum; poëtas redolet illud *ὀδόντες λάβροι*. Eurip. Herc. urens 252:

ὦ γῆς λοχεύμαθ', οὓς Ἄρης σπείρει ποτὲ
λ ά β ρ ο ν δράκοντος ἐξερημώσας γ έ ν υ ν.

Etym. m. *λάβρος, ὁ ἀδηφάγος. — ἐκ τοῦ βορὰ.. καὶ τοῦ λ α ἐπιτατικοῦ μορίου.* — Interpretatio deductione laudabilior!

ἄλλοτε μὲν μέλανα, ἄλλοτε δὲ παντοίως ποικίλα.] Libri omnes *ἄλλοτε μὲν μέλανα, παντοίως ποικίλα, κάκοδμα.* — Crassus *ἄλλοτε μέν nonnunquam* interpretatur, itemque Wiganus. — Supra in hoc capite: *ἄλλοτε μὲν ἰδίῃ τάδε, ἄλλοτε δὲ ξὺν τοῖσι κοπρίοισι* et paulo ante: *ἄλλοτε κάκοδμόν ἐστι.. ἄλλοτε δὲ ἴσχει ὡς ἀπὸ σκυβάλων μοῦνον τὴν ὀσμήν.* — Itaque verosimile isti *ἄλλοτε μέν* in vulgata respondisse alterum membrum, ubi *ἄλλοτε δέ* dederit auctor. Quodsi teneamus *μέλανα* non esse posse simul *παντοίως ποικίλα*, ultro patebit *ἄλλοτε δέ* ante *παντοίως ποικίλα* excidisse.

ἀπελύθη κοτὲ καὶ εὔμηκες, ἄκριτον κατὰ πλεῦνα ὅκως ὑγιὲς τὸ ἔντερον, καὶ δέος παρέσχε ἀμφὶ ἐντέρου τοῖσι ἀγνοοῦσι τὸ πρῆγμα.] Libri in hisce *ἀμφὶ ἔντερον τοῖσι ἀγνοοῦσι τοῦ πρήγματος.* Recepi Goupyli coniecturam verissimam. — Crassus interpretatur: «Nonnumquam oblongum quiddam in pluribus non discretum, instar sani intestini deiicitur et ignaris rei suspicionem praebuit intestini.» — Wiganus: «Nonnumquam oblongum quiddam, quoad plurima a sano intestino non discernendum deiicitur, multisque veritatem ignorantibus excreti ipsius intestini metum iniecit.» — Vides alium alio modo illud *ἄκριτον κατὰ πλεῦνα* accipere: equidem cum Crasso accipio *non in plures partes divisum.* — Verissime uterque interpres vidit *τι* cogitatione supplendum esse et intelligendum *ἀπελύθη κοτὲ καὶ εὔμηκές τι οὐ κατὰ πλεῦνα διακρινόμενον, ὁμοῖον ὑγιέϊ τῷ ἐντέρῳ κ. τ. λ.* Bern. in vita Reiskii p. 291. provocat ad Galeni locum in lib. de usu part. IV. 17. sub fin. cap.: *ὅτι δὲ καὶ τὴν εἰς ἀσφαλείας καὶ δυςπαθείας ἀκρίβειαν οὐ μικρὰν ἐν τοῖς ἐντέροις ὠφέλειαν οἱ δύο χιτῶνες παρέχονται, δηλοῖ μάλιστα τὰ δυςεντερικὰ παθήματα. πολλοῖς γοῦν καὶ πολλάκις ἐθεασάμεθα, κακῶς θ' ἅμα καὶ χρονίως νοσήσασι, πλεῖστον τῶν ἐντέρων ἀποσαπὲν, ὡς πολλαχόθεν τὸν ὅλον ἔνδον ἀπολέσθαι χιτῶνα, καὶ ὅμως ἐβίων τε οὗτοι καὶ διεγένοντο, μὴ ἂν διασωθέντες, εἰ μὴ καὶ δεύτερός τις ἦν ἐπὶ τῷ διεφθαρμένῳ χιτῶνι ἕτερος ἔξωθεν.* — Locum traductum esse in Oribasii Anatom. p. 100. vere monuit Bern. — Sed non consentio cum eius emendatione, qua pro *ἀπολέσθαι* legere iubet *ἀπολύεσθαι*: nempe verum esse *ἀπολέσθαι*, docet seq. *ἐπὶ τῷ διεφθαρμένῳ.*

καὶ ἀλθέξονται καὶ ζώουσι ἀσινέες.] Ἀλθέξονται dedi cum Wigano ex H. idemque legitur in Pe. et ita corrigitur in Pc.; *ἀλθάξονται* cett. — De formis *ἀλθαίνω, ἀλθίσκω*, vel *ἀλθήσκω, ἀλθάσσω*, vel *ἀλθέσσω* et *ἀλθέξω* vide Buttm. Gr. Gr. II. p. 107. — Et *ἀλθέξω* et *ἀλθάξω* defendi posse videntur: similes praesentis formae sunt v. c. *ἀλέξω, ὀδάξομαι*, cf. Matth. Gr. G. p. 426. — Libri plurimi *ζώωσι*, Pb. *ζῶσιν* V. *ζώοσι*. Wiganus *ζώουσι* vel *ζῶσι* requirit. Non dubito, quin illud scripserit Aretaeus. cf. Buttm. l. l. p. 192.

ἢν δὲ αἷμα ἀπό τευ ἀγγείου φέρηται, ξανθὸν, ἢ μέ-

στις αἵματος ἔκκρισις, τῷ δὲ ῥοίζῳ πολλῷ ξὺν πνεύματι μέζων τῆς περιστάσιος ἡ φαντασίη τῆς ἐκκρίσιος. Γίγνεταί κοτε καὶ ἐν κώλῳ πύου ἀπόστασις, οὐδέν τι τῶν ἄλλων τῶν ἐντὸς ἑλκέων ξενοπρεπεστέρη· καὶ γὰρ τὰ σημήϊα, καὶ τὸ πῦον, καὶ ἡ ἄλθεξις τῶν ἑλκέων ἡ ωὐτή. ἢν δὲ ἐκκρίσιες σκληραὶ τῶν σαρκοειδέων ἔωσι, τετριμμέναι, τρηχέσι σώμασι ἴκελαι, ἡ ἀπόστασις οὐ τοῦ εὐήθεος τρόπου. Ῥέει κοτε πολλὸν ἀπὸ τοῦ κώλου ὕδωρ, δυςεντεριώδεα τρόπον· ὕδρωπος τόδε μυρίους ἐῤῥύσατο. Τὰ μὲν ἕλκεα, ὡς ἔπος εἰπεῖν, τὰ ἐν τοῖσι ἐντέροισι, τοιάδε. ἀτὰρ ἠδὲ καὶ ἡ τῶνδε ἰδέη καὶ αἱ ἀπὸ τῶνδε ἐκκρίσιες, ὁκοίας ἔλεξα.

Φράσω δὲ καὶ τὰ ξυνεόντα ἑκάστοισι τῶν νοσεόντων, ἤντε εὐήθεα, ἤντε σιναρὰ ᾖ τὰ ἕλκεα. Ἀθρόον μὲν οὖν εἰρήσθω, ἢν ἐπιπολῆς ἀναδορὴ, ἤντε ἄνω, ἤντε κάτω ἔῃ, ἄπυροι, ἄπονοι, ὀρθοστάδην ὑγιαζόμενοι σμικρῇσι τῇσι διαίτῃσι ἕτεροι ἑτεροίως. Ἢν δὲ ἕλκος ἐγγένηται, ἐπὶ μὲν τοῖσι ἄνω στρόφος δακνώδης, δριμὺς, ὡς ἀπὸ χολῆς, θέρμη σμικρὴ ἄλλοτε καὶ ἄλλοτε, τὸ γὰρ πλέον ἔμπυοι· πέψιες ἡμιτελέες· οὐκ ἀπόσιτοι. Ἢν δὲ τοῖσι κάτω ἕλκεα γένηται, πολλόν τι ἀσινέστερα τῶν ἄνω. καὶ γὰρ καὶ τὰ ἔντερα πολλόν τι μᾶλλον τῶν ἄλλων σαρκοειδέα. Ἢν δὲ κοῖλα καὶ ἀνεσθίοντα ἐς τὰ ἄνω γένηται, πυρετοὶ ὀξέες, ἀλαμπέες, ἐν τοῖσι σπλάγχνοισι ὑποβρύχιοι· περίψυξις· ἀποσιτίη· ἀγρυπνίη· ἐρυγαὶ κακώδεες, ναυτίη, χολῆς ἔμετοι· σκοτοδίνη. Ἢν δὲ πολλὴ μὲν ἡ φορὴ, χολωδεστέρων δὲ γίγνηται, ἐπίμονοι στρόφοι καὶ ἄλλοι πόνοι μᾶλλον· ποτὶ καὶ ἐκλύσιες δυνάμιος, ὑπολύσιες γουνάτων· καυσώδεες, διψαλέοι, ἀσώδεες· ναυ-

λαν, καθαρὸν ῥέει, ἠδὲ ἐπίπαγος ἐπιπετάννυται πλατέσι ἀραχνίοισι ἴκελος· θρομβοῦται γὰρ, ἢν ψυχθῇ.] In libris omnibus legitur καθαρὸν ῥέει, ἀμιγὲς τροφῆς ἢ σκυβάλων ἄτερ. — Verba ἀμιγὲς τροφῆς ἢ σκυβάλων ἄτερ glossema referunt, quo καθαρόν exponitur, adeo ut confidenter ea deleverim. — Tum legitur: εἰ δὲ ἐπίπαγος ἐπιπετάννυτο πλατέσι ἀραχνίοισι ἴκελος. θρομβοῦται, ἢν (γὰρ ἢν O. H. G. v. l. Pf. γε ἢν Pe.) ψυχθῇ. — In O. e cod. H. γάρ receptum est; vereque Wiganus in adnn. ἠδέ et ἐπιπετάννυται legendum esse monuit, quae in textum recipienda fuisse unusquisque videbit.

οὐδὲ γὰρ ἡ πίστις αἵματος ἔκκρισις, τῷ δὲ ῥοίζῳ πολλῷ ξὺν πνεύματι μέζων τῆς περιστάσιος ἡ φαντασίη τῆς ἐκκρίσιος.] Libri omnes οὐδὲ γὰρ ἡ πίστις αἵματος ἔκκρισις, tum μέζων O. H. V. μέζον cett. — Miror quodammodo illud οὐδὲ γὰρ ἡ πίστις αἵματος ἔκκρισις, et potius exspectaveram αἵματος ἐκκρίσιος, vel etiam οὐδὲ γὰρ ἡ πίστις αἵματος, sine ἐκκρίσιος. Cum qua formula contulerim verba e cap. περὶ καχεξίης: ἀλλὰ τάδε ῥεμβώδεα μὲν γιγνόμενα νούσου ἀπιστίην ἴσχει et e cap. περὶ ἀρθρίτιδος haec: καὶ πάντα μᾶλλόν ἐστι ἢ δόκησις ἰσχίου. — Fortasse tamen αἵματος ἔκκρισις per appositionem nominativo adscripsit Aretaeus ad ἡ πίστις; itaque nihil moveo. Videant alii!

καὶ τὸ πῦον.] Πῦος Pa. b.

ῥέει κοτὲ πολλὸν ἀπὸ τοῦ κώλου ὕδωρ, δυςεντεριώδεα τρόπον. ὕδρωπος τόδε μυρίους ἐῤῥύσατο.] Respicere videtur Hipp. Aph. 14. VI. ὑπὸ ὕδρωπος ἐχομένῳ, τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

ἀτὰρ ἠδὲ καὶ ἡ τῶνδε ἰδέη καὶ αἱ ἀπὸ τῶνδε ἐκκρίσιες, κοίας ἔλεξα.] In his pro ἠδέ, quod in O. legitur, vulgo ἦδε pessime; δέ H. Pe. d. e. f. — Vulgo ὀκόσας; sed O. recte ὁκοίας, licet unde haustum sit, non pateat.

φράσω δὲ καί κ. τ. λ.] Sic O. H. V. Po.: itaque Goupyli, ceterorumque φράζω errorem esse suspicor typographi in Goupylea, qui inde ad ceteros demanaverit.

ἀθρόον μὲν οὖν εἰρήσθω.] Potius exspectaveram infinitivum in eiusmodi formulis solemnem pro vulgato in libris omnibus εἰρήσθω. Imperativus tamen subinde apud nostrum obvium v. c. infra cap. περὶ ὑστερικῶν.

ὀρθοστάδην ὑγιαζόμενοι σμικρῇσι τῇσι διαίτῃσι ἕτεροι ἑτεροίως.] In libris ἕτεροι abest; de meo adscripsi, facile h. l. omitti potuisse quivis videbit.

ἢν δὲ ἕλκος ἐγγένηται, ἐπὶ μὲν τοῖσι ἄνω στρόφος δακνώδης. δριμὺς, ὡς ἀπὸ χολῆς, θέρμη σμικρὴ ἄλλοτε καὶ ἄλλοτε, τὸ γὰρ πλέον ἔμπυοι· πέψιες ἡμιτελέες, οὐκ ἀπόσιτοι.] Libri in hisce ferunt: δριμὺς, ὡς ἀπὸ χολῆς θερμῆς σμικρῆς, ἔμπυοι ἄλλοτε καὶ ἄλλοτε. τὸ δὲ πλέον ἔμπυον, ἢ (ἔμπυοι H. O.) πέψιες ἡμ. κ. τ. λ. — In hac lect. pro σμικρῆς Wig. legere volebat πικρῆς, nec tamen rem acu tetigisse mihi visus est; nam primo ἔμπυος pone σμικρῆς abundans reliquit, quo deleto facilis dein est emendatio θέρμη σμικρὴ ἄλλοτε καὶ ἄλλοτε· τὸ γὰρ πλέον ἔμπυοι. Librarios fefellit ΧΟΛΗΣ ΘΕΡΜΗΣΜΙΚΡΗ: — res ipsa facile post emendationem nostram intelligitur, nam respicitur febricula solita ulceribus internis supervenire: omnia iam persanata esse arbitror. Miro quidem modo locum tentat Bern. in vita Reiskii p. 283, ὡς ἀπὸ χολῆς θερμῆς σμηκτρῆς legendo.

ναυτίη, χολῆς ἔμετοι· σκοτοδίνη.] Libri ναυτίη, χολὴ, ἔμετοι, σκοτοδίνη. — Wiganus recte χολῆς legendum esse vidit, quod confidenter recepi.

καυσώδεες, διψαλέοι, ἀσώδεες· ναυτίη, μελάνων ἔμετος· γλῶσσα ξηρή· σφυγμοὶ σμικροὶ, ἄτονοι.] Libri ferunt καυσώδεες, διψαλέοι, ἀσώδεες, ναυτίη μελάνων, γλῶσσα ξηρὴ, σφυγμοὶ μικροὶ (σμικροί. O. Pa.) ἄτονοι.

τίη, μελάνων ἔμετος· γλῶσσα ξηρή· σφυγμοὶ σμικροὶ, ἄτονοι· τουτέων ἀδελφὰ, ὁκόσα ἐπὶ τοῖσι κακοειδέσι ἕλκεσι ἔλεξα τὰ θανατώδεα. καρδιώσσουσι μέσφι λειποθυμίης, μετεξέτεροι δὲ οὐδὲ ἐς ἀνάκτησιν ἐπαλινδρόμησαν, ἀλλ οὕτως ἐξέθανον. Τάδε τὰ δεινὰ ξυνὰ καὶ τῇσι ἀπὸ τῶν κάτω ἐντέρων διαβρώσεσι, ἢν νέμηται μὲν τὰ ἕλκεα, ἄσχετος δὲ ἡ φορὴ, πλὴν ὁκόσον οἱ στρόφοι καὶ οἱ πόνοι ὑπὸ τὸν ὀμφαλὸν κάτω, ἔνθα τὰ ἕλκεα. Ἰδέαι δὲ αἱ τῶν ἐκκρίσεων, ὁκοίας ἔλεξα. Ἢν δὲ ἐπὶ τοῖσι πρώτοισι σμικρὰ ᾖ, ἀνακωχὴ δὲ ἐς μακρὸν ᾖ νομῆς, ἄλλα ἐπ' ἄλλοισι ἕλκεα γίγνεται, τῶν μὲν πρηϋνομένων, ἄλλων δὲ κορυφουμένων, ὅκως ἐν θαλάσσῃ κύματα· τοιόνδε τὸ τῶν ἑλκέων χῦμα. Ἢν δὲ καί κοτε ἐπαρκέσῃ μὲν ἡ φύσις, συνασκήσῃ δὲ καὶ ὁ ἰητρὸς, πέπαυται μὲν ἡ νομὴ, καὶ θάνατον οὐκ ὀῤῥωδέει· σκληρὰ δὲ καὶ ὀχθώδεα μίμνει τὰ ἔντερα, καὶ τῶνδε ἐς μακρὸν ἡ ἄλθεξις.

Αἱμοῤῥαγίη δὲ ἀπ' ἐντέρων, ἢν μὲν ἐκ μεγάλης φλεβὸς, ἢ ἀρτηρίης ἔῃ, ὠκὺς ὁ θάνατος. οὐδὲ γὰρ οὐδὲ τὴν χεῖρα δυνατὸν ἔσω ἐσμάσασθαι καὶ τοῦ ἄλγεος θιγεῖν, ἢ φάρμακον αὐτῷ τῷ ἕλκεϊ προςβάλλειν. Καί τοι καὶ εἰ ἐπίσχοιτο ἡ αἱμοῤῥαγίη φαρμάκῳ, οὐκ ἀτρεκὴς τοῦ θανάτου ἡ φυγή. μετεξετέροισι γὰρ μεγάλης ἐσχάρης ἔκπτωσις τῆς φλεβὸς τὸ στόμιον ἐς μέζον εὐρύνει, εὖτε καὶ θρόμβοι ἔνδον ἐγγίγνονται καὶ μίμνουσι ἔσω, ἄφυκτος δ' ἡ νοῦσος. Χρὴ οὖν ἀρχομένῃσι αἱμοῤῥαγίῃσι ἀρήγειν. Δήλη δὲ ὡς ἐπίπαν γίγνεται μέλλουσα, εἰ καὶ μὴ πάμπαν εὔσημος. ἄση ξύνεστι, ἀπορίη, βάρος τοῦ τόπου, ἔνθα ῥήσσεται· ἐρύθημα τοῦ προςώπου, ἢν μηδέκω ῥαγῇ. Κὴν μὲν ἡ φλὲψ νεοῤῥαγὴς ἔῃ, ὡς ἐπίπαν ἀλθάσσεται πάμπαν.... ἢν δὲ πρόσω ᾖ χρόνου, χαλεπώτερον καὶ βραδύτερον. Τοιάδε μὲν τὰ ἐν ἐντέροις ἕλκεα.

Crassus illud *ναυτίη μελάνων* interpretatur «atra per nauseam reiiciunt.” Wiganus «nauseant, nigra evomunt.” Neuter apposite ad verba Graeca: sed fortasse haec Latine reddens vidit editor Anglus *ἔμετος* excidisse; nam *ναυτίη μελάνων* perridiculum est. Itaque supplevi nomen, quod abesse nequit.

ξυνὰ καὶ τῇσι ἀπὸ τῶν κάτω ἐντέρων διαβρώσεσι.] Praepositio *ἀπὸ* h. l. fere abundat: conf. Hipp. de V. Ac. § 63. *τὸ ἀπὸ τοῦ οἴνου μένος*, ad quem locum olim adscripsi ex Herodoto VII. 19. *ἀπὸ τῆς ἐλαίης τοὺς κλάδους.*

ἰδέαι δὲ αἱ τῶν ἐκκρίσεων, ὁκοίας ἔλεξα.] Libri scripti et edd. omnes *ἰδέαι δὲ αἵδε τῶν ἐκκρίσεων, ὁ. ἔ.* — Verum pronomini *αἵδε* locus non est; itaque *δε* resecui.

ἢν δὲ ἐπὶ τοῖσι πρώτοισι σμικρὰ ᾖ.] Libri *μικτὰ ᾖ.* — Crassus: «verum si inter initia *parva* ulcera sint.” — Forte hinc O. *μικρά*, quod equidem Ionice scripsi.

ἄλλα ἐπ' ἄλλοισι.] Sic O. Pa. *b. e. f.* *ἄλλοις* cett.

χῦμα.] Χεῖμα H. Pc. *e. f.* — Hesych. *χύμα· ῥεῦμα, πλῆθος.* — Eleganter hac voce noster utitur, in comparatione cum maris fluctibus.

συνασκήσῃ δὲ καὶ ὁ ἰητρός.] Συνασκέειν h. l. est *una cum altero reluctari; τοὺς γὰρ ἀθλητὰς ἀσκητὰς οἱ Ἀττικοὶ καλοῦσιν*, ut ait Erotianus.

αἱμοῤῥαγίη δὲ ἀπ' ἐντέρων, ἢν μὲν ἐκ μεγάλης φλεβὸς, ἢ ἀρτηρίης ἔῃ, ὠκὺς ὁ θάνατος.] Praepositionem *ἐκ* de meo supplevi; neque enim mihi persuadeo Aretaeum scripsisse *αἱμοῤῥαγίη μεγάλης φλεβός*, sed *αἱμοῤῥαγίη ἐκ μεγάλης φλεβός.*

οὐδὲ γὰρ οὐδὲ τὴν χεῖρα δυνατὸν ἔσω ἐσμάσασθαι καὶ τοῦ ἄλγεος θιγεῖν, ἢ φάρμακον αὐτῷ τῷ ἕλκεϊ προςβάλλειν.] Omnes libri *τοῦ ἄλγεος θίγειν*: sequens *αὐτῷ τῷ ἕλκει* fecit, ut olim coniicerem *τοῦ ἄγγεος*; nunc tamen moneo tantum hac de re, ne alius quis, in eandem emendationem incidens, eam arripiat. Apud Aretaeum *ἄγγος* nusquam legi pro *ἀγγεῖον*. — Cum Kuhniana *θιγεῖν* dedi, ut tempore cum *ἐσμάσασθαι* conveniret. De *ἐσμάσασθαι*, quod e libb. Hippocraticis desumtum est, cf. Oecon. Hipp. in voce.

μετεξετέροισι γὰρ μεγάλης ἐσχάρης ἔκπτωσις τῆς φλεβὸς τὸ στόμιον ἐς μέζον εὐρύνει, εὖτε καὶ θρόμβοι ἔνδον ἐγγίγνονται, ἄφυκτος δ' ἡ νοῦσος.] Libri omnes *ἄφυκτος ἡ νοῦσος* sine *δέ*. — Iam vero Crassus: «quandoquidem nonnullis magna crusta decidens venae ostiolum patentius effecit. Ubi vero et grumi intus concrescunt, intusque remanent, inevitabilis morbus est.” Wiganus: «quibusdam enim ingens crusta decidens venae osculum latius efficit; cumque in grumos abierit sanguis, iique intus remanserint, morbus iam sanationem non recipit.” — Vides eos *εὖτε καὶ κ. τ. λ.* novae sententiae, vel certe novae sententiae membri initium facere. Sed hoc fieri nequit: nam *εὖτε καὶ — νοῦσος* sententiae apodosis habenda, quapropter *ἄφυκτος δ' ἡ νοῦσος* de meo dedi.

κὴν μὲν ἡ φλὲψ νεοῤῥαγὴς ἔῃ, ὡς ἐπίπαν ἀλθάσσεται πάμπαν..... ἢν δὲ πρόσω ᾖ χρόνου, χαλεπώτερον καὶ βραδύτερον.] Libri ferunt: *ὡς ἐπίπαν μαλθάσσεται πάμπαν· ἢν δέ κ. τ. λ.* — Crassus: «plurimum venter mollitur omnino.” Petitus *μαλθάσσεται* in *ἀλθέσσεται* mu-

Γίγνεται δὲ θέρεος ὥρῃ· δεύτερον, φθινοπώρου· ἧσσον, ἦρος· ἥκιστα, χειμῶνος. Καὶ *διάῤῥοια μὲν, παιδίοισι καὶ μειρακίοισι· δυςεντερίη δὲ ἀκμάζουσι καὶ νέοισι. γῆρας δὲ δυςαλθὲς, καὶ ἐς ὠτειλὴν χρόνιον· τὰ δὲ ἀνεσθιόμενα γέρουσι ἀήθεα· ἀτὰρ καὶ αἱμοῤῥαγίη ἀξύμφωνος γήρᾳ.*

ΠΕΡΙ ΛΕΙΕΝΤΕΡΙΗΣ.

Κεφ. ι'.

Ἢν ἐπὶ δυςεντερίῃ καὶ ἕλκεσι πλατέσι, καὶ κάρτα βαθέσι τῶν ἄνω ἐντέρων ὠτειλαὶ ἐγγίγνωνται πυκιναὶ, παχεῖαι, στερέμνιοι, τὰ σιτία ἐκ τῶνδε ἐς τὰ κάτω διεκθέει, ὑγρὰ, ἀδιάκριτα τοῦ τροφίμου· τὸ γὰρ τῶν ἐντέρων ἀραιὸν, δι' οὗπερ ἐς τὴν ἄνω φορὴν ἡ τροφὴ ἀναΐσσει, ἀπέκλεισε ἡ ὠτειλή. ἀτροφίη οὖν τὸν ἄνθρωπον ἴσχει καὶ ἀχροίη, καὶ ἀτονίη. Ἐπίκλην τὸ πάθος λειεντερίη ἴσχει, — τὸ ἐπὶ τῇ οὐλῇ λέγω τῶν ἐντέρων, — τοὔνομα. Καὶ νῦν μὲν ἐξ ἑλκέων ἐστὶ ἡ πάθη· ἄλλοτε δὲ ἔντερα μὲν ὠτειλὴν οὐκ ἴσχει, ἔθος δὲ καὶ μελέτη διαῤῥυεῖσα ἐκδιδάσκει τὰ ἔντερα· τὸ γὰρ ἐν

tandum censuit. Idemque fere voluisse credo Wiganum, qui interpretatur: «potest plerumque ad integritatem perduci.» — Itaque lenissimam ut adhiberem medelam, *ἀλθάσσεται* exhibui; sed fortasse *μαλθάσσεται* e *ξυναλθάσσεται*, quod apud Hipp. occurrit (cf. Oecon. Hipp. in *ἀλθεῖν*), ortum est; nempe compositum sane non inepte h. l. poneretur. — Iam vero e seqq., *χαλεπώτερον καὶ βραδύτερον*, in altero membro, patet luce clarius, in fine prioris aliquid deficere: puto Aretaeum scripsisse *ἀλθάσσεται*, vel *ξυναλθάσσεται πάμπαν ῥηϊδίως*; quapropter lacunae signa posui.

τὰ δὲ ἀνεσθιόμενα γέρουσι ἀήθεα· ἀτὰρ καὶ αἱμοῤῥαγίη ἀξύμφωνος γήρᾳ.] Legebatur *ξύμφωνος*, hinc Crassus: «sanguinis vero profusio et senectae est conveniens.» Wig.: «quin etiam senectae sanguinis profluvia prosunt.» Huic tamen displicuit *ξύμφωνος*, ut patet ex adn. viri eruditissimi. Petitus *ξύμφωνος* et probat, et explicat. E contextu sponte patet *ξύμφωνος* ferri non posse, sed eius contrarium omnino requiri: propter id ipsum, quod ulcera *ἀνεσθιόμενα* insueta sint senibus, haemorrhagia etiam ab hac aetate aliena sit oportet: itaque *ἀξύμφωνος* revocavi, cuius prima litera facile ob superius *αἱμοῤῥαγίη* s. *αἱμοῤῥαγία* interire potuit. Minus feliciter *ὀξύφονος* tentat Bern. in vita Reiskii p. 330. Locum, ubi istam vocem apud nostrum legi affirmat, pro glossemate expulimus. Vid. adn. ad initium cap. de s. Syncopes, ubi *ὠκυφόνου κακοῦ κ. τ. λ.* olim legebatur.

Cap. 10. *ἢν ἐπὶ δυςεντερίῃ καὶ ἕλκεσι πλατέσι κ. τ. λ.*] Vulgo *ἐπὶ δυςεντερίῃσι*, sed Pa. *δυςεντερίῃ*. Praetuli numerum singul., quia noster ipse initio cap. superioris: *δυςεντερίη δὲ τῶνδε τῶν ἑλκέων αἱ ἰδέαι.*

ἐγγίγνωνται.] Simplex *γίγνωνται* V. Pa.

πυκιναί.] Sic O. H. V. Pa. *f. πυκναί* cett.

στερέμνιοι.] Hesych.: *στερέμνιον· στερεόν· ἰσχυρόν.* Vide ad h. l. interpretem e Diog. Laërtio. X. 46. et 50. et Cicerone de Nat. Deorum I. 18. docentem, vocabulum esse Epicuri. — Locos laudatos inspexisse, est operae pretium.

τὰ σιτία... ἀδιάκριτα τοῦ τροφίμου.] Τὰ *σιτία* h. l. sunt alvi recrementa; vide quae adscripsi ad Hipp. de V. A. § 16.

δι' οὗπερ ἐς τὴν ἄνω φορὴν ἡ τροφὴ ἀναΐσσει.] Ad *ἄνω φορήν* Wiganus: «malim, inquit, *ἀναφορήν*, quae vox apud Aretaeum significat distributionem post concoctionem; ut; (58. 40.) *δοκέει γάρ μοι οὐ τῆς πέψιος μοῦνον, ἀλλὰ καὶ τῆς ἀναφορῆς τὸ πάθος ἔμμεναι.* Mox: *μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ.*» — Quod Aretaeus *ἀναφορήν* vocat, idem *ἀνάδοσις* est auctoris Defin. Med., qui p. 373. Kühn; *ἀνάδοσίς ἐστιν ὁλκὴ τῆς πεφθείσης καὶ οἰκονομηθείσης καὶ ἐξαιματωθείσης τροφῆς εἰς πάντα τὰ τοῦ σώματος μόρια καὶ μέρη ὑπὸ τοῦ ἐμφύτου θερμοῦ.* — Patet igitur re vera in utroque nomine et *ἀναφορή* et *ἀνάδοσις*, hoc certe significatu, praepositionem *ἀνά* eo sensu sumi, quo in compositis separationem significat (cf. adn. Zeunii ad Vig. p. 576.). — Itaque proprie *ἄνω φορήν* minus recte h. l. ponitur; sed interdum *ἀναφορή* valet *ἡ ἄνω φορή*: v. c. idem valet *ἡ ἀναφορή* et *ἡ ἄνω φορή, τοῦ πνεύματος, αἵματος* cett. — Iam vero quaestio oritur, num auctor ipse dederit *τὴν ἄνω φορήν*, an vero librarii? Me iudice ipse Aretaeus hac in re minus solito more *ἀναφορήν* pro *ἄνω φορήν* accepit opponens scilicet *τῇ κάτω φορῇ*, quae per anum fiat: nam ipsum docet verbum *ἀναΐσσειν*, quod usurpat, et quo vix aliud quid quam *ἄνω ἀΐσσειν* significare posse videtur.

Ἐπίκλην τὸ πάθος λειεντερίη ἴσχει, — τὸ ἐπὶ τῇ οὐλῇ λέγω τῶν ἐντέρων, — τοὔνομα.] In antiquioribus editionibus pone *ἴσχει* puncto minore distinguitur; in Oxoniensi tantum commate; sed nullibi pone *ἐντέρων* distinctio reperitur. Crassus pessime interpretatur: «Affectus iste, qui ab cicatrice fit, Lienteriae cognomen accepit, ab intestinis scilicet, quae Graeci *entera* vocant.» Hoc certe e Graecis elici nullo modo potest. Parum recte etiam editor Oxoniensis: «malum *lienteria* dicitur, cum id, inquam, ab intestinorum cicatrice oriatur.» — Verborum structura haec est: *τὸ πάθος (λέγω τὸ ἐπὶ τῇ οὐλῇ τῶν ἐντέρων) ἐπίκλην ἴσχει τοὔνομα λειεντερίη*

τουτέοισι θερμὸν ἢν καταψυχθέν κοτε μήτε καταπέσσῃ, μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ, ἄκρατος δὲ ὑπ' ἀσθενείης ἔῃ, διαδιδρήσκει πᾶν ἔργον ἡ τροφή. Ἀλλ' ἢν μὲν σχέδιος καὶ μὴ ἑδραίη γένηται ἡ κάθαρσις, ἀλλὰ φαύλη, ἁπλοῦς ἔμετος ἀπὸ σιτίων ἔλυσε τὴν νοῦσον. ἢν δὲ προςοκείλῃ χρόνῳ, καὶ ἐν ἕδρῃ ἵζῃ ἡ αἰτίη τουτέων, οὐδὲν ὠφελέει.

Τίκτει δὲ καὶ χρονίη νοῦσος καὶ ὀρθοστάδην καχεξίη. ἀτὰρ καὶ ὕδρωπές κοτε ἐς τόδε ἀπέσκηψαν εὐτυχῶς, ἐς κακὸν μὲν ἐκ κακοῦ, ἀλλὰ κρέσσων ἡ διαδοχή.

ΠΕΡΙ ΥΣΤΕΡΙΚΩΝ.

Κεφ. ια'.

Τῇσι γυναιξὶ ὑστέρη ἀγαθὴ μὲν ἐς κάθαρσιν καὶ τόκον, ξυμφορὴ δὲ νούσων μυρίων τε καὶ κακῶν. Οὐ γὰρ ἑλκέων, ἢ φλεγμασίης, ἢ ῥόου μοῦνον· ἀλλὰ καὶ ἢν ἐξαπίνης ὅλη ἄνω κινέηται, ὠκέως κτείνει. Γεγράφαται μὲν οὖν ἐν ἄλλοισι, ὁκοῖα τῶν ἀπ' αὐτέης ἦν ὀλέθρια ὀξέα. Τὰ δὲ χρόνια, ῥόος διπλόος· σκληρίη· ἕλκεα, τὰ μὲν ἀσινέα, τὰ δὲ κακοήθεα· πρόπτωσις ὅλης, ἢ μέρεος.

Ῥόος μὲν οὖν ἐρυθρὸς, ἢ λευκόχροος· ἰδέα δηλοῖ. Ἐρυθρὸς μὲν, ἢν αἷμα καὶ αἱ τοῦδε ἰδέαι, ξανθὸν, ἢ πελιδνὸν, ἢ μέλαν, — καὶ λεπτὸν, ἢ παχὺ καὶ πεπηγὸς, οἷον θρόμβοι· λευκὸς δὲ, ὡς πῦον, ὁ δὲ ἀτρεκὴς, ὡς λευκὸς ὀῤῥὸς, ἢ λευκὸς, ὡς ὕδωρ, ἢ

Nimirum ἐπίκλην adverbium est et arctissime cohaerent ἐπίκλην ἴσχει τοὔνομα: a qua dictione non prorsus absimile homericum ἐπίκλησιν καλέουσι.

ἔθος δὲ καὶ μελέτη διαῤῥυεῖσα ἐκδιδάσκει τὰ ἔντερα.] Ad διαῤῥυεῖσα Goup. in varr. lectt. adscribit ἴσως διαῤῥέειν. — Nihil tentandum: cf. quae supra dixi ad καὶ ἐντεῦθεν πημανθὲν ἄρχεται, cap. 5. lib. I. de s. m. acut.

τὸ γὰρ ἐν τουτέοισι θερμὸν ἢν καταψυχθέν κοτε μήτε καταπέσσῃ, μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ, ἄκρατος δὲ ὑπ' ἀσθενείης ἔῃ, διαδιδρήσκει πᾶν ἔργον ἡ τροφή.] Locum cum omni lectionis varietate describam: τὸ γὰρ ἐν τουτέοισι (τούτῳ οἷσι G. v. l. H. V. Pa.) θερμὸν ἢν καταψυχθέν κοτε μήτε καταπέσσῃ (καταπέσσειν H. κατάπεσσον V. A. Pa.), μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ (ἀναΐσσειν H. G. v. l. ἀνάϊσσον V. A. Pa.) ἄκρατον (ἄκρατος V. A. Pa.) δὲ ὑπ' ἀσθενίης (ἀσθενείης Pa. b. d. e. f.) ἔῃ, διαδιδρήσκει πᾶν ἔργον ἡ τροφή. — Mittam Crassi et Wigani interpretationes horum verborum: nam neutra apposite ad textum Graecum expressa est. — E variis lectt. in textum introduxi ἄκρατος et ἀσθενείης: posterius levis momenti, maioris illud. — Quod antea habebatur, ἄκρατον ferri nequit, nam hoc epitheton non ad τὸ θερμὸν referendum est, sed ad ἡ τροφή in fine: supra enim iam dixit: δι' οὗπερ ἐς τὴν ἄνω φορὴν ἡ τροφὴ ἀναΐσσει. Minus recte interpretes ἄκρατος h. l. eodem sensu quo ἀκρατής et active sumserunt. — Itaque sic locum accipiamus: τὸ γὰρ ἐν τουτέοισι θερμὸν ἢν καταψυχθέν κοτε μὴ καταπέσσῃ, μήτε ἡ τροφὴ ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ, ἄκρατος δὲ ἔῃ ὑπ' ἀσθενείης (τῶν ἐντέρων s. potius τοῦ θερμοῦ), ἥδε διαδιδράσκει πᾶν τὸ ἔργον. — Cum h. l. cf. initium capitis περὶ κοιλιακῆς διαθέσιος.

ἀλλ' ἢν μὲν σχέδιος καὶ μὴ ἑδραίη γένηται ἡ κάθαρσις, ἀλλὰ φαύλη, ἁπλοῦς ἔμετος ἀπὸ σιτίων ἔλυσε τὴν νοῦσον.] Legebatur: ἀλλ' ἢν ἐνσχέδιος κ. τ. λ. — Recepi Wigani coniecturam simplicem et veram. — Φαύλη κάθαρσις Wiganus interpretatur *vitiosa purgatio*: multo vero melius Crassus *levis momenti purgatio*.

ἢν δὲ προςοκείλῃ χρόνῳ.] Sic Wiganus scripsit e Cod. H. — Libri cett. ἢν δὲ πρὸς ὠκεῖ χρόνῳ. — Προςοκείλῃ h. l. valet πρόσω ὀκείλῃ; nisi hoc ipsum Aretaeus dederit.

Cap. 11. ἀλλὰ καὶ ἢν κ. τ. λ.] Sic Pa. b. ἀλλὰ κἢν cett.

ὁκοῖα τῶν ἀπ' αὐτέης ἦν ὀλέθρια ὀξέα.] Libri omnes τῶν ἀπ' αὐτέων κ. τ. λ. — Crassus « ipsius" habet. — Wiganus recte vidit αὐτέης requiri, quod omnino in textum erat introducendum.

ῥόος μὲν οὖν ἐρυθρὸς, ἢ λευκόχροος.] Notatu digna sunt Sorani verba (p. 241.) e cap. περὶ ῥοῦ γυναικείου. — Διαφοραὶ δὲ αὐτοῦ κατὰ μὲν Ἀσκληπιάδην καὶ ἄλλους τινὰς δύο· εἷς μὲν γάρ ἐστιν ἐρυθρὸς, ἄλλος δὲ ὑδατώδης καὶ λευκός· κατὰ δὲ τὸν Δημήτριον παρὰ τὴν χρόαν καὶ τὴν δύναμιν· παρὰ μὲν οὖν τὴν χρόαν, ὁ μὲν γάρ ἐστι λευκὸς πτισάνης χυλῷ παραπλήσιος· ὁ δὲ ὑδατώδης, ὁ δὲ ἐρυθρὸς, ὁ δὲ μέλας, ὁ δὲ ὕφαιμος σαρξὶ πεπλυμέναις ὅμοιος, ὁ δὲ ἀνώμαλος, ὁ δὲ ὠχρός· παρὰ δὲ τὴν δύναμιν, ὁ μέν ἐστιν ἀργὸς καὶ ἄνευ δήξεως καὶ ἀλγήματος φέρεται, ὁ δὲ φέρεται μετὰ δήξεως καὶ ἀναβρώσεως καὶ

ὠχρόξανθος, ὡς χολὴ, — παχὺς δὲ, ὅκως ὑπάλειπτον, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος. ἀτὰρ καὶ αἱμάλωψ κοτὲ τῷ πύῳ συνεκρέει. Μυρίαι δὲ ἄλλαι παρὰ τὸ μᾶλλον τουτέων καὶ ἧττον ἰδέαι. Περίοδος δὲ ἄλλοτε μὲν ἡ ἐπὶ μῆνα κάθαρσις, ἀλλ' οὐκ ἐς τὴν ἀρχαίην ξυνίσταται προθεσμίην. οὐ πολλὸν μὲν τὸ αἷμα, ἐν ἡμέρῃσι δὲ πολλῇσι ἐκρέει· ὀλιγήμερος δὲ ἡ διάλειψις, ἀλλὰ καθαρή. Ἄλλος περιόδου τρόπος, ἐς προθεσμίην μὲν, ἀλλ' οὐκ ἐς πλῆθος ἐπὶ πλεῖστον ἡ πρώτη κάθαρσις, δὶς δὲ καὶ τρὶς καθαίρονται ἀνὰ πάντα τὸν μῆνα. Ἄλλη ἰδέη, ἄσχετος μὲν ἡ ῥοὴ καὶ σμικρὴ ἐφ' ἡμέρης ἑκάστης, ἀλλὰ ἐς τὸν ὅλον μῆνα οὐ πάγχυ βαιή. οὐδὲ γὰρ ἡ ὑστέρη μύει τὸ στόμα, ἀλλὰ οἴγνυται, πάρεσιν ἐς ῥύσιν ὑγρότητος πάσχουσα. Εἰ δὲ μήτε διαλείπει, μήτε σμικρὸν ἐκρέει, αἱμοῤῥαγίῃ θνήσκουσι. Σημήϊα δὲ πρὸς τῇσι χροιῇσι τοῦ ῥόου, ἡ χροιὴ τῆς ἀνθρώπου. ἄγρυπνοι, ἀπόσιτοι, ἀσώδεες, ἔκλυτοι ἐπὶ τοῦ ἐρυθροῦ μᾶλλον, καὶ ὀδυνώδεες. καὶ κάκοδμον ἐπ' ἀμφοῖν τὸ ῥεῦμα, ἀλλὰ μᾶλλον καὶ ἧσσον ἄλλοτε καὶ ἄλλοτε. ὁ μὲν γὰρ λευκὸς κακίων, ἢν μέζων που ἡ σηπεδὼν ἔῃ· ἄλλοτε δὲ ὁ ἐρυθρὸς, ἢν ἀγριαίνῃ ἡ διάβρωσις. Ἀθρόον δὲ εἰρήσθω, μέλας μὲν ἁπάντων κακίων, πελιδνὸς δεύτερον· ὠχρὸς δὲ καὶ λευκὸς, καὶ πυώδης, μακρότεροι μὲν, ἧσσον δὲ κινδυνώδεες. τουτέων δὲ αὐτέων ὁ ὠχρὸς κακίων μὲν, πολλὸν δὲ κρέσσων ὁ τῷ συνήθεϊ μεμιγμένος· ξυνήθης δὲ ἐρυθρὸς μὲν, καὶ τὰ τοῦδε εἴδεα. Τὸ δὲ ἀληθὲς, γεραιτέρῃσι κακίονες οἱ ἐρυθροί· ἥκιστα δὲ νεήνισι οἱ λευκοὶ, ἀτὰρ καὶ ἀσινέστεροι ταύτῃσι οἱ ξυνήθεες. Ἄλλος ῥόος λευκὸς, ἡ ἐπιμήνιος κάθαρσις, λευκὴ, δριμεῖα, καὶ ὀδαξώδης ἐς ἡδονήν·

συγκισθήσεως ἐπωδύνου, ἐν τῷ καιρῷ τῆς ἐκκρίσεως ἐπιφέρων. — Λέγει δὲ καὶ τὸν μὲν ἀφ' ὅλου φέρεσθαι τοῦ σώματος τὸν δὲ ἀπὸ τῆς ὑστέρας, τὸν δὲ ἀπ' ἄλλου τινὸς μέρους.

ἐρυθρὸς μὲν, ἢν αἷμα καὶ αἱ τοῦδε ἰδέαι, ξανθὸν, ἢ πελιδνὸν, ἢ μέλαν, καὶ λεπτὸν, ἢ παχὺ καὶ πεπηγὸς, οἷον θρόμβοι· λευκὸς δὲ ὡς, πῦον, ὁ δὲ ἀτρεκὴς ὡς λευκὸς ὀῤῥὸς, ἢ λευκὸς ὡς ὕδωρ, ἢ ὠχρόξανθος, ὡς χολὴ, παχὺς δὲ ὅκως ὑπάλειπτον, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος· ἀτὰρ καὶ αἱμάλωψ κοτὲ τῷ πύῳ συνεκρέει.] Locum in libris omnibus pessime habitum ex horum lectione describam: ἐρυθρὸς μὲν ἢν αἷμα. ξανθὸν καὶ αἱ τοῦδε ἰδέαι ἢ πελιδνὸν, ἢ μέλαν καὶ λεπτὸν ἢ παχὺ καὶ πεπηγὸς, οἷον θρόμβοι, ἢ λευκὸς ὡς ὕδωρ ἢ ὠχρόξανθος ὡς χολή· παχὺς δὲ ὅκως ὑπόλεπτος, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος. λευκὸς δὲ ὡς πῦον, ὁ δὲ ἀτρεκὴς, ὡς λευκὸς ὀῤῥὸς· ἀτὰρ καὶ αἱμάλωψ κοτὲ τῷ πύῳ συνεκρέει. — Age! videamus quid in hisce offendat! — αἷμα ξανθὸν καὶ αἱ τοῦδε ἰδέαι ἢ πελιδνὸν ἢ μέλαν mirum sonat: quaenam sunt αἵματος ξανθοῦ species? ego nullas novi: sed habetur αἷμα ξανθόν et αἷμα πελιδνόν, et αἷμα μέλαν, itaque legamus αἷμα καὶ αἱ τοῦδε ἰδέαι, ξανθὸν, ἢ πελιδνὸν, ἢ μέλαν. — Iam vero vide quam inepte sibi subsequantur: ἐρυθρὸς μὲν ἢν αἷμα... λεπτὸν ἢ παχὺ καὶ πεπηγὸς οἷον θρόμβοι, ἢ λευκὸς ὡς ὕδωρ: scilicet fluxus ruber, albus aquae instar! — Res in tuto erit, cum pone θρόμβοι inserimus verba: λευκὸς δὲ ὡς πῦον, ὁ δὲ ἀτρεκὴς, ὡς λευκὸς ὀῤῥὸς; iam apte sequitur ἢ λευκὸς, ὡς ὕδωρ κ. τ. λ. — Et vero illud λευκὸς δέ iam egregie respondet initio posito ἐρυθρὸς μέν. — Restat tertium quid, παχὺς δὲ ὅκως ὑπόλεπτος, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος. Vide quam pulchra librarii venditent! παχὺς ὅκως ὑπόλεπτος scilicet! Immo affirmare audeo Aretaeum scripsisse: παχὺς δὲ ὅκως ὑπάλειπτον, ἢ λεπτὸς ἰχὼρ καὶ κάκοδμος. Iam omnia me iudice salva sunt et locus intelligi potest.

ἄλλος περιόδου τρόπος, ἐς προθεσμίην μὲν, ἀλλ' οὐκ ἐς πλῆθος ἐπὶ πλεῖστον ἡ πρώτη κάθαρσις, δὶς δὲ καὶ τρὶς καθαίρονται ἀνὰ πάντα τὸν μῆνα.] Legebatur ἐς προθεσμίην δὲ καὶ οὐκ ἐς πλῆθος περὶ πλεῖστον ἡ πρώτη κάθαρσις. — Illud δὲ καί ineptum est: supra dixit, ἀλλ' οὐκ ἐς τὴν ἀρχαίην προθεσμίην, iam vero antithesis est in hisce, adeo ut legendum sit: ἐς προθεσμίην μὲν, ἀλλ' οὐκ ἐς πλῆθος! Pro περὶ πλεῖστον Goupylus in varr. lectt. ἐπὶ πλεῖστον, quod praetuli. Me iudice arcte cohaerent πλῆθος, et ἐπὶ πλεῖστον, et intelligo ἀλλ' οὐκ ἐς πλῆθος τὸ ἐπὶ πλεῖστον ῥέειν εἰθισμένον.

ἔκλυτοι ἐπὶ τοῦ ἐρυθροῦ μᾶλλον.] Legebatur ἐπὶ τὸ ἐρυθρόν, at mox infert ἐπ' ἀμφοῖν, unde patet h. l. ἐπὶ τοῦ ἐρυθροῦ legendum esse.

μέλας μὲν ἁπάντων κακίων.] Ἁπάντων κακός V. A. Pa. e. f.

πολλὸν δὲ κρέσσων ὁ τῷ συνήθεϊ μεμιγμένος· ξυνήθης δὲ ἐρυθρὸς μὲν καὶ τὰ τοῦδε εἴδεα. Τὸ δὲ ἀληθὲς γεραιτέρῃσι κακίονες οἱ ἐρυθροὶ, ἥκιστα δὲ νεήνισι οἱ λευκοὶ, ἀτὰρ καὶ ἀσινέστεροι ταύτῃσι οἱ ξυνήθεες.] Legebatur antea: πολλὸν δὲ κρέσσων ὁ τῷ συνήθεϊ μεμιγμένος. ξυνήθης δὲ ἐρυθρὸς μὲν καὶ τὰ τοῦδε εἴδεα. ἀτὰρ καὶ ἀσινέστεροι ταύτῃσι οἱ ξυνήθεες· τὸ δὲ ἀληθὲς γεραιτέρῃσι κακίονες οἱ ἐρυθροὶ, ἥκιστα δὲ νεήνισι οἱ λευκοί. — Confusa haec esse, unusquisque hac de re monitus facile videbit: pristinum verborum ordinem in textu, qualem iam exhibeo, restituisse mihi visus sum, neque amplius quidquam hac de re habeo dicendum. Sed antea dubitavi num forte verba ξυνήθης δὲ ἐρυθρὸς μὲν καὶ τὰ τοῦδε εἴδεα glossema essent: iam non credo ab aliena manu

ἐπὶ δὲ τοῖσι καὶ ὑγροῦ λευκοῦ, παχέος, γονοειδέος πρόκλησις. τόδε τὸ εἶδος γονόῤῥοιαν γυναικείαν ἐλέξαμεν. Ἔστι δὲ τῆς ὑστέρης ψύξις, οὕνεκεν ἀκρατὴς τῶν ὑγρῶν γίγνεται. ἀτὰρ καὶ τὸ αἷμα ἐς χροιὴν λευκὴν ἀμείβει, τοῦ γὰρ πυρὸς οὐκ ἴσχει τὸ φοινίσσον. Τήνδε τὴν πάθην καὶ στόμαχος νοσέει, καὶ ἐμέει φλέγμα. ἀτὰρ καὶ ἔντερα ὁμοίην πάσχει, εὖτε τὴν διάῤῥοιαν νοσέει.

Γίγνεται καὶ ἕλκεα ἐν ὑστέρῃ, τὰ μὲν πλατέα, κνησμώδεα, ἅπερ ἅλια, ὅκως ἀναδορή τις ἐπιπολῆς· πῦον παχὺ, ἄνοσμον, ὀλίγον. εὐήθεα τάδε τὰ ἕλκεα. Ἄλλα τουτέων βαθύτερα καὶ κακίονα, οἷσι πόνοι σμικροὶ, πῦον ὀλίγῳ πλεῖον, μᾶλλον κάκοδμον. ἀλλ' ἔμπης εὐήθεα καὶ τάδε. Ἢν δὲ ἐπὶ μᾶλλον βαθέα γίγνηται, καὶ τὰ χείλεα τῶν ἑλκέων ἀπηνέα, ἢ τρηχέα, ἰχὼρ τις κακώδης, καὶ πόνος τῶν πρόσθεν μέζων, ἀνεσθίει δὲ τὴν ὑστέρην τὸ ἕλκος· ἐξήκει δέ κοτε καὶ ἀπολυθέν τι σαρκίον· μὴ ἐς ὠτειλὴν ἰὸν μήκιστον κτείνει τόδε, καὶ Φαγέδαινα κικλήσκεται. Ὀλέθρια δὲ τὰ ἕλκεα, ἢν πρὸς τοῖσι ἄλγος ὀξύνῃ καὶ ἡ ἄνθρωπος ἀπορῇ. σηπεδὼν δὲ ἀπὸ τοῦ ἕλκεος ῥέει, οὐδὲ αὐτέῃσι φορητή· ἀγριαίνει ψαύσεσί τε καὶ φαρμάκοισι καὶ χαλεπαίνει πάσῃ ἰητρείῃ. Φλέβες δὲ ἐν ὑστέρῃ ἐς ὄγκον αἴρονται ξὺν περιτάσι τῶν πέλας. Ἔστι δὲ πεπνυμένῃσι οὐκ ἄσημον τῇ ἁφῇ, οὐ γὰρ ἄλλως δῆλον. πῦρ δὲ, καὶ ἄση, καὶ σκληρίη τοῦ παν-

addita esse, confero nempe verba supra obvia ἢν αἷμα καὶ αἱ τοῦδε ἰδέαι, ξανθὸν ἢ πελιδνὸν, ἢ μέλαν.

τόδε τὸ εἶδος γονόῤῥοιαν γυναικείαν ἐλέξαμεν.] Nempe supra cap. 5⁰ huius libri.

ἀτὰρ καὶ τὸ αἷμα ἐς χροιὴν λευκὴν ἀμείβει, τοῦ γὰρ πυρὸς οὐκ ἴσχει τὸ φοινίσσον.] Adfert ad haec verba Petitus locum e Platonis Timaeo p. 68. B. τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ, τοῦ πυρὸς μιγνυμένου, χρῶμα ἔναιμον παρασχομένῃ τοὔνομα ἐρυθρὸν λέγομεν.

γίγνεται καὶ ἕλκεα ἐν ὑστέρῃ, τὰ μὲν πλατέα, κνησμώδεα, ἅπερ ἅλια, ὅκως ἀναδορή τις ἐπιπολῆς.] Libri γίγνεται ἕλκεα καὶ ἐν ὑστέρῃ. — Crassus: «in utero praeterea ulcera suboriuntur.” — Wiganus: «in utero oriuntur etiam ulcera.” — Vides necessitate coactos Latine expressisse, quod ego iam Graece exhibeo. — Sed dicendum de isto ἅπερ ἅλια. Crassus: «pruriginosa, tanquam sale inspersa: haec sunt quaedam superficiei excoriatio.” — Certe non adposite ad Graeca, nam ἅπερ h. l. non valet ὥσπερ s. ἅ τε, neque vero omnino expressit ὅκως. Simili modo peccat Wiganus, qui: «pruriginosa, inquit, tanquam ab insperso sale: et in his fit superficiei quaedam excoriatio.” In errore eodem est uterque interpres; nam uterque coniunxit κνησμώδεα, ἅπερ ἅλια, quum contra iungenda sint ἅπερ ἅλια, ὅκως ἀναδορή τις ἐπιπολῆς. Iam vero in ipso nomine ἅλια interpretando itidem pessime errarunt: neque enim significat h. l. *sale inspersa*, sed pro ἅλεα s. ἀλέα ab ἅλης s. ἀλής ponitur. Foësius in Oecon: «nam, inquit, ἀλέϊος et ἀλεῖος, et ἅλιος dicitur et ἅλιον ὕδωρ, τὸ ἠθροισμένον ἐξ ὄμβρου ἀθρόου, ex conferto imbre collectam aquam significat Gal. et Hesych. ἀλεῖον ὕδωρ, ἀθροιστὸν καὶ συλλεκτόν. Quae omnia etsi tenuiter scribuntur, melius tamen cum aspirato spiritu ponuntur.” Haec egregius Hippocratis interpres — Res quam proponit Aretaeus iam facile intelligitur: ulcera lata sunt et conferta adeo ut ἀναδορήν unam et continuam superficiei referant, neque alte penetrent.

ἀνεσθίει δὲ τὴν ὑστέρην τὸ ἕλκος. ἐξήκει δέ κοτε καὶ ἀπολυθέν τι σαρκίον· μὴ ἐς ὠτειλὴν ἰὸν μήκιστον κτείνει τόδε καὶ Φαγέδαινα κικλήσκεται.] Librorum huius loci scriptura haec est: ἀνεσθίει δὲ τὴν ὑστέρην τὸ ἕλκος. ἐξήκει δὲ κοτὲ καὶ ἀπολυθέντι (O Pa. *b. c. d. f.* ἀπολυθέν τι) σαρκίον μὴ εἰς ὠτειλὴν ἰὸν (ἐὸν H.) μήκιστον· κτάνει (κτάνῃ Pc. *d. f.* κτείνει Pb.) τόδε. χρόνιον γίγνεται κάρτα· τόδε καὶ Φαγέδαινα κικλήσκεται. — Non referam Crassi et Wigani loci corrupti interpretationes: vere uterque μήκιστον adverbium temporis esse vidit; ille egregie μήκιστον κτείνει iunxit; minus recte editor Anglus μήκιστον μὴ ἐς ὠτειλὴν ἰόν. — Miror eos bis illud τόδε ferre potuisse, quod per se iam est signum corruptelae: sed quare μήκιστον κτείνει dixit auctor et post iterum χρόνιον γίγνεται κάρτα? Est hoc certe adeo ineptum, ut elegantissimi scriptoris oratio omnino respuat. Posterius interpretatio est prioris, et e glossa in textum illata lutulenta facta est oratio: itaque resecui quae interpretum munificentiae scilicet debentur!

ἢν ... ἄλγος ὀξύνῃ.] Ὀξύνειν plerumque transitivum: intransitive sumitur apud Theophr. hist. pl. IV. 3. 3. καὶ τὸν οἶνον, ὃν ἐξ αὐτοῦ ποιοῦσιν, οὐ διαμένειν, ἀλλ' ἢ δύο, ἢ τρεῖς ἡμέρας· εἶτ' ὀξύνειν. — Locum laudavit Schneid. in Indice.

σηπεδὼν,... οὐδὲ αὐτέῃσι φορητή.] Vulgo editur οὔτε αὐτέῃσι φορητή: sed Pb. *d. f.* praebuere οὐδὲ α. φ., quod longe praestare mihi videtur.

καὶ χαλεπαίνει πάσῃ ἰητρείῃ.] Libri scripti καὶ χαλεπαίνει πῶς (πᾶς V. G. v. l. Pa. *f.* πᾶσι Pb.) καὶ ἰητρίῃ (ἰητρείῃ Pa. *b. f.*). — Vere vidit Wiganus πάσῃ ἰητρείῃ legendum esse, quod etiam Latine expressit Crassus.

ξὺν περιτάσι τῶν πέλας.] Libri ξὺν περιστάσεσι τῶν πέλας. Wiganus περιτάσεσι voluit, ego sing. num. praetuli περιτάσι: horum alterutrum Crassus Latine expressit.

ἔστι δὲ πεπνυμένῃσι οὐκ ἄσημον τῇ ἁφῇ.] Edi solet πεπνυμένοισι, sed V. Pa. *b.* πεπνυμένῃσι. Hoc praetuli quum antiquitus partus cura μαίαις (ἰατρίνας dixere recentiores) committeretur. Ipse auctor noster in fine huius ca

τὸς ξύνεστι, ἧπερ τοῖσι θηριώδεσι, ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων. Ἄλλος καρκῖνος. ἕλκος μὲν οὐδαμῇ, ὄγκος δὲ σκληρὸς, ἀτέραμνος· ξυντιταίνει δὲ τὴν ὑστέρην ὅλην. ἀτὰρ καὶ ἄλγεα κατὰ τὰ ἄλλα, ὅσα ἐφέλκει. Ταῦτα δὲ ἄμφω τὰ καρκινώδεα, καὶ χρόνια, καὶ ὀλέθρια. πολλὸν δὲ τὸ ἕλκος τοῦ ἀνελκώτου κάκιον, καὶ ὀσμῇ, καὶ πόνοισι, καὶ ζωῇ, καὶ θανάτῳ.

Ἐξίσταταί κοτε τῆς ἕδρης ἡ ὑστέρη ὅλη καὶ ἐπὶ τοῖσι μηροῖσι τῆς γυναικὸς ἵζάνει. Ἄπιστος ἡ ξυμφορή, ἀλλ' οὐκ ἀθέητος ἡ ὑστέρη, οὐδὲ ἀγέννητος ἡ αἰτίη. Ξυνδίδουσι γὰρ οἱ ὑμένες οἱ πρὸς τοὺς λαγόνας, ὀχῆες τῆς ὑστέρης ἐόντες νευρώδεες· οἱ μὲν κατὰ πυθμένα πρὸς τὴν ὀσφὺν λεπτοὶ, οἱ δὲ κατ' αὐχένα ἔνθα καὶ ἔνθα πρὸς τοὺς λαγόνας, μάλιστα νευρώδεες, πλατέες, ὅκως νεὼς λαίφεα. πάντες οὖν ξυνδίδουσι οἵδε, ἢν ἔξω ἡ ὑστέρη αἴσσῃ. Κτείνει μὲν οὖν τὰ πολλὰ ἔκπτωσις ἥδε· γίγνεται γὰρ ἐπὶ ἀμβλωσμῷ καὶ σεισμοῖσι μεγάλοισι, καὶ βιαίῳ τόκῳ. ἢν δὲ μὴ κτάνῃ, ἐς μακρὸν αἵδε ζώουσι, ὁρέουσαι τὰ μὴ θεητὰ ἔξω καὶ βαυκαλῶσαι τὴν ὑστέρην. Δοκέει δέ κοτε τῆς διπλόης τῆς ὑστέρης ὁ ἔνδον ὑπεζωκὼς χιτὼν ἀποσπᾶσθαι τοῦ ξυναφέος· — δοιαὶ γὰρ

pitis: ἀτὰρ καὶ χερσὶ μαίης ἀτρέμας εἴσω θέει ἡσυχῇ πιεζευμένη. — Notandum Homericum πεπνυμένῃσι,

πῦρ δὲ καὶ ἄση καὶ σκληρίη τοῦ παντὸς ξύνεστι, ἧπερ τοῖσι θηριώδεσι, ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων.] En! describo librorum lectionem: πῦρ δὲ καὶ ἄση τοῦ παντὸς ξύνεστιν, ἧπερ τοῖσι θηριώδεσι θανατώδεα ὄντα ἕλκεα. ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων.— Iam primo quaero, quid sit ἄση τοῦ παντός? quasi sit ἄση τις σκέλεος, aut χειρός! Sed librariorum gens hic antiquum obtinet; nam voces transposuere et legendum est σκληρίη τοῦ παντός, sicuti apud Hipp. κατάψυξις μετὰ σκληρυσμοῦ ad totum corpus refertur, (cf. Oecon. Hipp. in σκληρός,) et vero esse potest σκληρίη partis alicuius, et σκληρίη τοῦ παντός. — Iam vero praeterea delendum est foedum glossema θανατώδεα ὄντα ἕλκεα, quod olim in marg. ad τοῖσι θηριώδεσι adscriptum fuerit. Quis enim non videt, verba ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων cum superiore θηριώδεσι ita coniungi, ut intermedia ista, quae loci structuram etiam funditus evertunt, nullo modo ferri possint? — Conferatur Oecon. Hipp. in θηριῶδες et Hesychius in θηρίον, ab ipso Foësio ibi laudatus.

ξυντιταίνει δὲ τὴν ὑστέρην ὅλην. ἀτὰρ καὶ ἄλγεα κατὰ τὰ ἄλλα, ὅσα ἐφέλκει.] Vulgo in hisce ἀτὰρ καὶ ἄλγεα καὶ τὰ ἄλλα, ὅσα ἐφέλκει (ἐφ' ἕλκει O., quod etiam Latine expresserunt et Crassus, et Wiganus.) — Ferri nequit καὶ τὰ ἄλλα ὅσα ἐφέλκει, quum sensus idoneus prorsus desit: neque vero ferri potest καὶ τὰ ἄλλα ὅσα ἐφ' ἕλκει, quum hoc non verum sit, neque enim sanies effluit ex ἀνελκώτου καρκίνου. — Miror interpretes non animadvertisse, ξυντιταίνειν et ἐφέλκειν in utroque membro sibi respondere: hinc facillima oritur emendatio ἀτὰρ καὶ ἄλγεα κατὰ τὰ ἄλλα, ὅσα ἐφέλκει: i. e. etiam dolor partium vicinarum συμπασχουσῶν.

ταῦτα δὲ ἄμφω τὰ καρκινώδεα καὶ χρόνια καὶ ὀλέθρια.] Libri τὰ ὠυτὰ δὲ κ. τ. λ. — Ineptum h. l. τὰ αὐτά; legendum ταῦτα!

οἱ μὲν κατὰ πυθμένα πρὸς τὴν ὀσφὺν λεπτοὶ, οἱ δὲ κατ' αὐχένα ἔνθα καὶ ἔνθα πρὸς τοὺς λαγόνας μάλιστα νευρώδεες, πλατέες, ὅκως νεὼς λαίφεα.] In libris vulgo distinguitur pone λαγόνας, tum legitur οἱ δὲ μάλιστα νευρώδεες κ. τ. λ. — Quodsi servare velis illud οἱ δέ, certe in οἵδε mutandum erit: at mox iterum πάντες οὖν ξυνδιδοῦσι οἵδε. Tum vero partitio est οἱ μὲν — οἱ δέ: in priore membro λεπτοί dicuntur isti ὑμένες, itaque exspectas, ut in altero membro fiat mentio πλατύτητος membranarum ibi laudatarum: his de causis οἱ δέ ante μάλιστα delevi et punctum sustuli.

γίγνεται γὰρ ἐπὶ ἀμβλωσμῷ καὶ σεισμοῖσι μεγάλοισι καὶ βιαίῳ τόκῳ.] Ἀμβλωσμῷ O. ex H. ἀμβλυσμῷ cett. — Σεισμοί intelligendi sunt illi, quos adhibuere veteres medici, ut foetus in utero situm perversum emendarent et partum promoverent, qui describuntur in lib. Hipp. spurio de m. mul. I. P. 699. Kuhnio. Miror magnum Hippocratis interpretem hoc fugisse, cum in Oecon. voce σείειν ageret de verbis ex Epid. V. ἐν τόκῳ σεισθείσῃ: sunt enim haec profecto inde explicanda.

ἢν δὲ μὴ κτάνῃ, ἐς μακρὸν αἵδε ζώουσι, ὁρέουσαι τὰ μὴ θεητὰ ἔξω καὶ βαυκαλῶσαι τὴν ὑστέρην.] Libri in hisce ferunt ὁρέουσαι τὰ μὴ θεητὰ καὶ τιθηνοῦσαι ἔξω καὶ καυκαλῶσαι τὴν ὑστέρην. Verissime vidit Petitus καυκαλῶσαι in βαυκαλῶσαι i. e. βαυκαλάουσαι esse mutandum: longe ineptissimum est Wigani inventum κυρκανῶσαι. Crassus «foventes" habet, ita ut βαυκαλῶσαι legerit, vel emendaverit. Wiganus: «uterum... quasi a caule germinantem." Putaveritne καύκαλῶσαι a καυκαλᾶν et hoc verbum scilicet a καυλός duci? — Redeo ad ipsum locum nostrum: legendum est βαυκαλῶσαι et καὶ τιθηνοῦσαι, utpote glossema, expellendum est. — Hesychius: βαυκαλᾷν. κατακοιμίζειν. τιθηνεῖν. παιδία μετ' ᾠδῆς κοιμίζειν, ubi vid. interprett. — Patet ex Hesychii τιθηνεῖν re vera interpretationem esse καὶ τιθηνοῦσαι, quo deleto egregie intelligis etiam ὁρέουσαι τὰ μὴ θεητὰ ἔξω. — Ad βαυκαλᾷν adpono duos e Sorano locos: p. 192. legis: διὸ καὶ παρακείσθωσαν αἱ βαυκάλαι τῇ κλίνῃ, et p. 195. μικρὸν σαλευομένης τῆς σκάφης, ἢ τῆς βαυκάλης κρεμαμένης.

δοκέει δέ κοτε τῆς διπλόης τῆς ὑστέρης ὁ ἔνδον ὑπεζωκὼς χιτὼν ἀποσπᾶσθαι τοῦ ξυναφέος· — δοιαὶ γὰρ αἱ σχίδες μὲν αἱ ἐπηλλαγμέναι τοῦ χιτῶνος· — ὅδε οὖν ἀφίσταται μὲν καὶ ῥεύματι καὶ ἐκτρωσμῷ, καὶ βιαίῳ τόκῳ, οὔτε ἔτι τῷ χορίῳ προςπέφυκε αὐτέη· ἢν γὰρ τόδε ἕλκηται βίῃ, συνεκπεράσας ὁ τῆς ὑστέρης χιτὼν....

αἱ σχίδες μὲν αἱ ἐπηλλαγμέναι τοῦ χιτῶνος· — ὅδε οὖν ἀφίσταται μὲν καὶ ῥεύματι, καὶ ἐκτρωσμῷ, καὶ βιαίῳ τόκῳ, εὖτε ἔτι τῷ χορίῳ προςπέφυκε αὐτέῃ· ἢν γὰρ τόδε ἕλκηται βίῃ, συνεκπεράσας ὁ τῆς ὑστέρης χιτών....... ἀλλὰ ἢν μὴ ἐκθάνῃ ἡ γυνή, παλίνορσος ἐς τὸ αὐτὸ συνήφθη κοτε στάθμῃ, ἢ σμικρὸν ἔξω φαίνεται· σκέπει γὰρ τοῖσι μηρίοισι ἡ γυνή. Προπίπτει κοτὲ τὸ στόμιον τῆς ὑστέρης μοῦνον, μέσφι τοῦ αὐχένος, ἀλλ' αὖθις εἴσω δύεται, ἢν ὀσφραίνηται ἡ ὑστέρη, θυμιῆσι κακώδεϊ· ἕλκει δὲ αὐτέην καὶ ἡ γυνή, ἢν ὀσφραίνηται θυμιητῶν εὐωδέων. ἀτὰρ καὶ χερσὶ μαίης ἀτρέμας εἴσω θέει ἡσυχῇ πιεζευμένη, καὶ χριομένη πρόσθεν τοῖσι ὑστέρης μειλίγμασι.

ΠΕΡΙ ΑΡΘΡΙΤΙΔΟΣ ΚΑΙ ΙΣΧΙΑΔΟΣ.

Κεφ. ιβ'.

Ξυνὸς μὲν ἁπάντων τῶν ἄρθρων πόνος, ἡ ἀρθρῖτις· ἀλλὰ ποδῶν μέν, ποδάγρην καλέομεν· ἰσχιάδα δέ, ἰσχίων· χειράγρην δὲ χειρῶν· ἤν γε μὴ σχέδιος ᾖ ἐπὶ τινὶ τῶν προςκαίρων αἰτίων ὁ πόνος, κρύβδην δὲ μελετήσῃ πολλὸν χρόνον ἡ νοῦσος· εὖτε

ἀλλὰ ἢν μὴ κ. τ. λ.] Librorum lectio huius loci ita se habet: δοκέει δέ κοτε τῆς διπλόης τῆς ὑστέρης ὁ ἔνδον ὑπεζωκὼς χιτὼν εὖτε ἀποσπᾶται τοῦ ξυναφέος. δοιαὶ γὰρ αἴσχιες μοῦναι ἀπηλλαγμέναι χιτῶνος (μόνοι ἀπηλλαγμένοι χιτῶνες Pa. e.) ὁ δὲ (ὅδε O.) οὖν ἀφίσταται μὲν καὶ ῥεύματι, ἅτε καὶ ἐκτρωσμῷ (sic H. V. O, Pb. ἐντρωσμῷ cett.) καὶ βιαίῳ τόκῳ, εὖτε ἐπὶ τῷ χορίῳ προςπέφυκε αὐτέῃ. ἢν γὰρ τόδε ἕλκηται βίῃ, συνεκπεράσας ὁ τῆς ὑστέρης χιτὼν ἀλλὰ (inter χιτὼν et ἀλλά vacuum spatium relictum in Pa. b.: lacunae signa in O.) ἢν (εἰ Pe. d. e. f.) μὴ κ. τ. λ. — Iam vero emendationum nostrarum fontem adponamus, locum Sorani p. 10., in fine pag.: ἡ δὲ ὅλη μήτρα συνέστηκεν ἐκ δυοῖν χιτώνοιν ἐναντίως ἑαυτοῖς ἐσχηματισμένοιν, ἐμφερῶν ταῖς τῶν χάρτων ἰσίν· ὁ μὲν οὖν ἔξωθεν νευρωδέστερός ἐστι καὶ λειότερος, λευκότερος δὲ καὶ σκληρότερος, ὁ δὲ ἔσωθεν σαρκωδέστερος καὶ δασύτερος καὶ ἁπαλώτερος καὶ ἐνερευθέστερος, διόλου μὲν καταπεπλεγμένος ἀγγείοις, πλείοσι καὶ ἀξιολόγοις κατὰ τὸν πυθμένα, καὶ τοῦ σπέρματος ἐκεῖ κολλωμένου καὶ τῆς καθάρσεως ἐκεῖθεν φερομένης. οἱ μέντοι δύο χιτῶνες οὗτοι συνέχονται πρὸς ἀλλήλους ὑμέσι λαγαροῖς καὶ νεύροις, ὥςτε πολλάκις ἐπεκτεινομένων αὐτῶν προπίπτειν τὴν ὑστέραν, τοῦ μὲν νευρώδους χιτῶνος κατὰ χώραν μένοντος, τοῦ δὲ ἔσωθεν κατ' ἐκτροπὴν προπίπτοντος. — Hinc certe, quid loco nostro dici potuerit, intelligimus: iam vero librariorum errorum fontes indicemus. — Perperam εὖτε ante ἀποσπᾶται illatum est e seqq. εὖτε ἐπὶ τῷ χορίῳ: hinc factum ut infinitivus ἀποσπᾶσθαι, quem posuerat auctor, in ἀποσπᾶται abiret: — itaque particulam εὖτε delevi et infinitivum revocavi. — In corrupto αἴσχιες latere videtur αἱ σχίδες quod iam Wiganus desideravit: ne quem forma haec offendat, citabo σχίδα ex Hesychio et διασχίδας et ἀποσχίδες ex Hipp. libro spurio περὶ ὀστέων φύσιος (p. 505. Kuhnio). — Iam vero ad ductum verborum Sorani, ἡ δὲ ὅλη μήτρη συνέστηκεν ἐκ δυοῖν χιτώνοιν, ἐναντίως ἑαυτοῖς ἐσχηματισμένοιν, refeci illud δοιαὶ γὰρ αἴσχιες μοῦναι ἀπηλλαγμέναι χιτῶνος, ita ut reponerem δοιαὶ γὰρ αἱ σχίδες μὲν αἱ ἐπηλλαγμέναι τοῦ (articulum enim abesse aegre ferebam) χιτῶνος. — Porro in verbis ἀφίσταται μὲν καὶ ῥεύματι, ἅτε καὶ ἐκτρωσμῷ καὶ βιαίῳ τόκῳ, illud ἅτε sensu idoneo omnino caret; ortum vero est e postremis literis vocis superioris, adeo ut confidenter deleam. — In εὖτε ἐπὶ τῷ χορίῳ προςπέφυκεν αὐτέῃ, ineptum est ἐπί: sed praepositionis origo facile intelligitur: res ipsa indicat ἔτι scripsisse Aretaeum. — Haec hactenus!

παλίνορσος ἐς τὸ αὐτὸ συνήφθη.] Ἐς vulgo abest: additur in O.; et vero legi in Pa. b. — Sed dicendum de lacuna pone χιτών: Petitus ἔξω φαίνεται supplevit: mihi plura deesse videntur, in quibus expositum fuerit, qua ratione ex eiusmodi prolapsu mors possit consequi.

ἢ σμικρὸν ἔξω φαίνεται· σκέπει γὰρ τοῖσι μηρίοισι ἡ γυνή.] Libri editi omnes et scripti plerique τοῖσι μορίοισι, quod «naturalibus suis" exponit Wiganus. — Idem autem in adnn.: «malim, inquit, μηροῖσι. Crassus vertit *faeminibus.*" Iam vero libri Pa. b. μηρίοισι praebuere, quod recepi: nam cum Wigano consentio μορίοισι ferri non posse: σμικρὸν ἔξω τῶν γυναικείων φαίνεται, itaque τοῖς μορίοις οὐ καλύπτεται, sed τοῖσι μηρίοισι σκέπει αὐτὴν ἡ γυνή.

προπίπτει.] Ita dudum Wiganus emendavit librorum lectionem προςπίπτει.

ἀλλ' αὖθις εἴσω δύεται, ἢν ὀσφραίνηται ἡ ὑστέρη, θυμιῆσι κακώδεϊ.] Legebatur θυμίῃσι κακώδεσι. — H. καὶ θυμιάσι κακώδεσι Pd. καὶ θυμίῃσι κ. — Equidem ἡ θυμία nusquam legere me memini, sed ἡ θυμίασις frequens est. Itaque opinor verum latere in cod. H. lectione, librarios vero θυμιάσι s. θυμιῆσι κακώδεϊ in θυμίῃσι κακώδεσι de suo mutasse. — Verum aliud quid insuper advertit: ὀσφραίνεσθαι Genitivum regit, non dandi casum, adeoque iungendum εἴσω δύεται θυμιάσι κακω-

ἐπὶ προφάσι σμικρῇ ὁ πόνος καὶ ἡ νοῦσος ἐξήφθη. Ἔστι δὲ ἁπάντων μὲν ξυλλήβδην τῶν νεύρων ἡ πάθη, ἣν αὐξηθὲν τὸ κακὸν ἅπασι ἐπιφοιτῇ· ἀρχὴ δὲ, νεῦρα, τὰ δεσμὰ τῶν ἄρθρων, καὶ ὁκόσα ἐξ ὀστέων πέφυκε, καὶ ἐν ὀστέοισι ἐμφύνει. Θωῦμα δὲ τουτέων μέγα· οὐ πονέει μὲν γὰρ θρὶξ, οὐδ᾽ ἂν τέμνῃ τις, ἢ θλίβῃ· ἢν δὲ ἐξ ἑωυτέων πονῇ, οὐδὲν ἕτερον ἀλγέει τοῦδε δυνατώτερον, οὐ σιδηρὰ σφίγγοντα, οὐ τιτρῶσκον ξίφος, οὐ καῖον πῦρ. καὶ γὰρ καὶ ταῦτα ἐπαναιροῦνται, ὡς μεζόνων πόνων ἄκεα. Καὶ ἢν τάμῃ τις αὐτὰ πονεῦντα, ἀμαυροῦται ὁ τῆς τομῆς πόνος σμικρὸς ὑπὸ τοῦ μέζονος· ἢν δὲ ὅδε κρατέῃ, ἡδονή σφεας λάζυται ἐλιλήθουσα τῶν πάρος. Πάσχουσι δὲ τοῦτο ὀδόντες καὶ ὀστέα.

Αἰτίην δὲ ἀτρεκέα μὲν ἴσασι μοῦνοι θεοὶ, ἐοικυῖαν δὲ καὶ ἄνθρωποι. Ἔστι δὲ, ὡς ἔπος εἰπεῖν, τοιόνδε· τὸ μὲν κάρτα πυκνὸν ἀναίσθητον ψαύσιος καὶ τρώσιος, τῇδε καὶ ἄπονον ψαύσι καὶ τρώσι· ἄλγος γὰρ τρηχείᾳ ἐν αἰσθήσι. τὸ δὲ πυκινὸν ἀτρήχυντον, διὰ τόδε καὶ ἄπονον. Τὸ δὲ ἀραιὸν εὐαίσθητον, καὶ τρηχύνεται τρώματι. Ἀλλ᾽ ἐπεὶ καὶ τὰ πυκνὰ ζῇ ἐμφύτῳ θέρμῃ, καὶ αἴσθεται τῇδε τῇ θέρμῃ, εἰ μὲν οὐσιώδης ἡ δρῶσα αἰτίη ἔοι, οἷον ἢ μάχαιρα, ἢ λίθος, τὸ οὐσιῶδες τοῦ πάσχοντος οὐκ ἀλγέει· πυκνὸν γὰρ τὴν φυήν. Ἢν δὲ τῆς ἐμφύτου θέρμης δυςκρασίη λάβηται, αἰσθήσιος γίγνεται

δεῖ, non ἢν ὀσφραίνηται θυμιάσι κακώδεϊ, quae ratio est, cur pone ὑστέρῃ commate distinguam. Me iudice Aretaeus θυμιῆσι κακώδει scripsit: nam apud Hipp. de M. mul. p. 859. legis ὑποθυμιήσιες ῥόων p. 868. πυριήσιες.

Cap. 12. ξυνὸς μὲν ἁπάντων τῶν ἄρθρων πόνος ἡ ἀρθρῖτις, ἀλλὰ ποδῶν μὲν ποδάγρην καλέομεν, ἰσχιάδα δὲ ἰσχίων, χειράγρην δὲ χειρῶν, ἤν γε μὴ σχέδιος ᾖ ἐπί τινι τῶν προςκαίρων αἰτίων ὁ πόνος, κρύβδην δὲ μελετήσῃ πολλὸν χρόνον ἡ νοῦσος· εὖτε ἐπὶ προφάσι σμικρῇ ὁ πόνος καὶ ἡ νοῦσος ἐξήφθη.] Varr. lectt. maxime memorabiles in libris hae sunt: legitur: ἢν γε μὴν (μέν V.) σχέδιος ᾖ ἐπὶ τὶ τῶν προςκαίρων αἰτίων ὁ πόνος, ἢ κρύβδην δὲ (δέ om. Pa. b.) μελέτῃσι πολλὸν χρόνον ἡ νοῦσος. — Ex hac pessime habita loci scriptura interpretationes natae sunt Crassi et Wigani longe ineptissimae. Age igitur, emendemus Graeca! Neque ἤν γε μήν, neque ἤν γε μέν ferri potest: arthritis non est dolor σχέδιος, neque ἐπί τινι τῶν προςκαίρων αἰτίων oritur arthritis; sed, cum iam sit in homine diathesis arthritica, levi causa provocatur paroxysmus: hoc certe nemo medicus negabit. Ergo lego... ἁπάντων.. ἄρθρων πόνος ἡ ἀρθρῖτις,....... ἤν γε μὴ σχέδιος ᾖ ἐπί τινι τῶν προςκαίρων αἰτίων ὁ πόνος. — De meo ἐπί τινι exhibeo pro librorum lect. ἐπί τι. — Confero cap. περὶ κοιλιακῆς διαθέσιος verba: ἀλλ᾽ ἢν μὴ ἐπὶ σχεδίου τῆς αἰτίης γίγνοιτο τόδε ἐς μίην ἢ δευτέρην ἡμέρην μοῦνον. — Iam pergo: in verbis ἢ κρύβδην δέ delendum est ἤ, quod forte e superiore ᾖ a librariis h. l. repetito ortum est; antithesis est in verbis ἤν γε μὴ σχέδιος ᾖ ἐπί τινι τῶν προςκαίρων αἰτίων ὁ πόνος, κρύβδην δὲ μελετήσῃ πολλὸν χρόνον ἡ νοῦσος. — Notemus accuratam auctoris orationem, qui κρύβδην δὲ μελετήσῃ ἡ νοῦσος dicat, non ὁ πόνος. Nempe morbus ipse, diathesis arthritica, latet; dolor latere non potest, qui ultro se prodit, simul atque oritur. — Iam intelligis postremum membrum εὖτε (i. e. cum clam morbus hominem occupat) ἐπὶ προφάσι σμικρῇ ὁ πόνος καὶ ἡ νοῦσος ἐξήφθη. Iam, puto, omnia salva sunt et intellectu facillima!

ἔστι δὲ ἁπάντων μὲν ξυλλήβδην τῶν νεύρων ἡ πάθη.] Μέν adiecit Wig. ex H. V.: idem adpositum vidi in Pb. d. e.

καὶ ἐν ὀστέοισι ἐμφύνει.] Ἐκφύνῃ H. εὐθύνει V. A. Pa. b.

θωῦμα δὲ τουτέων μέγα· οὐ πονέει μὲν γὰρ θρὶξ, οὐδ᾽ ἂν τέμνῃ τις, ἢ θλίβῃ.] Θῶμα Pa. b. — οὐ πονέει μὲν θρίξ recte reddiderunt Crassus et Wiganus «non dolent quidem vel minimum.” — Simili sensu legitur θρίξ apud Theocr. Idyll. XIV. vs. 9. λασῶ δὲ μανείς ποκα, θρὶξ ἀνὰ μέσσον.

ἢν δὲ ἐξ ἑωυτέων πονέῃ, οὐδὲν ἕτερον ἀλγέει τοῦδε δυνατώτερον.] Vulgo ὠυτέων, Sed Pe. f. ἑωυτέων praebuerunt: — tum vulgo οὐδέ, sed O. οὐδέν, quod itidem legi in Pb. c. d. f.

οὐ σιδηρὰ σφίγγοντα, οὐ τιτρῶσκον ξίφος, οὐ καῖον πῦρ.] Pone σφίγγοντα intermedium erat οὐ δεσμά, quod delevi, quum sit glossema, quo quis οὐ σιδηρὰ σφίγγοντα sit interpretatus.

καὶ γὰρ καὶ ταῦτα ἐπαναιροῦνται ὡς μεζόνων πόνων ἄκεα.] Ἐπαναιρεῖσθαι h. l. tansitive sumitur: Wiganus «exposcunt” interpretatur, ego «adhibent” praetuli: minus recte Crassus «assumuntur.” — In Lexx. e Luciano verbum citatur, forte volunt locum e Bis accusato haud procul ab initio: Ἀπόλλων τε αὖ πολυπράγμονα τὴν τέχνην ἐπανελόμενος, ὀλίγου δεῖν τὰ ὦτα ἐκκεκώφωται πρὸς τῶν ἐνοχλούντων κατὰ χρείαν τῆς μαντικῆς.

καὶ ἢν τάμῃ τις αὐτὰ πονεῦντα, ἀμαυροῦται ὁ τῆς τομῆς πόνος σμικρὸς ὑπὸ τοῦ μέζονος.] Libri omnes πονεῦνται et σμικρόν; haec ferri non posse quivis videt, docentque interpretationes Crassi et Wigani; hic etiam in notulis de πονεῦντα legendo monuit. — Conf. ad h. l. Aph. Hipp. 46. II., unde verbum ἀμαυροῦται huc translatum.

λάζυται.] Λάζηται H. V. Pe. λάζομαι perfrequens in libris spuriis Hipp. — λάζυμαι itidem occurrit, sed rarius, cf. Oecon. Foësil in voce. Cf. Buttm. Gr. Gr. II. p. 231. Cf. Spitzner ad Hom. Il. vol. II. p. 71.

ἀλλ᾽ ἐπεὶ καὶ τὰ πυκνὰ ζῇ ἐμφύτῳ θέρμῃ καὶ αἴσθε-

τροπή. Τοῦτο ὦν ἐξ ἑωυτέης πονέει ἡ θέρμη, ἐκ τῆς κατὰ αἴσθησιν ἔσωθεν ἐγείρεται ὦσιος· Φύσιος δὲ τῆς ἐς μέζω τὰ ἄλγεα.

Ἐγχρίμπτεται δὲ ἡ ἀρθρῖτις ἄλλοτε ἐς ἄλλα ἄρθρα· τοῖσι μὲν ἐς ἰσχία, καὶ τὰ πολλὰ τῇδε ἐπιμίμνει, οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ· ἢν γὰρ μεζόνων λάβηται μελέων, χωρῆσαι τὴν νοῦσον δυναμένων, οὐχ ὑπερβαίνει τὰ ὄργανα. ἀΐσσει τ'ἐς τὰ γυῖά κοτε· ἢν δὲ ἀπό τευ σμικροῦ ἄρξηται, ἐστὶ εὐήθης καὶ ἀδόκητος ἡ εἰςβολή. Ἰσχιάδος μὲν ἀπὸ μηροῦ κατόπιν, ἡ ἰγνύος, ἢ κνήμης ἡ ἀρχή. ἄλλοτε δὲ ἐπὶ τῇ κοτύλῃ τὸ ἄλγημα φαίνεται, αὖθις ἐς γλουτὸν, ἢ ὀσφὺν ὀκέλλει, καὶ πάντα μᾶλλόν ἐστι ἡ δόκησις ἰσχίου. Ἀτὰρ καὶ τὰ ἄρθρα ὧδέ πως ἄρχεται. τοῦ ποδὸς τὸν μέγαν δάκτυλον ἀλγέει, αὖθις τὴν ἐπιπρόσω πτέρνην, ᾗ πότι στηριζόμεθα, ἔπειτα ἐς τὸ κοῖλον

ται τῇδε τῇ θέρμῃ, εἰ μὲν οὐσιώδης ἡ δρῶσα αἰτίη ἔοι, οἷον ἢ μάχαιρα, ἢ λίθος, τὸ οὐσιῶδες τοῦ πάσχοντος οὐκ ἀλγέει· πυκνὸν γὰρ τὴν φυήν.] Libri αἴσθοιτο, unus H. αἴσθηται. — Iam vero interpretes καὶ αἴσθοιτο τῇδε τῇ θέρμῃ apodosin esse crediderunt sententiae, cuius protasis sit ἀλλ' ἐπεὶ καὶ τὰ πυκνὰ ζῇ ἐμφύτῳ θέρμῃ: quod factum ab iis esse miror; nam totius, quam descripsi, periodi apodosis est in verbis τὸ οὐσιῶδες τοῦ πάσχοντος οὐκ ἀλγέει. Quid enim? inchoaveritne Aretaeus novam periodum in huius demonstrationis cursu verbis εἰ μὲν οὐσιώδης? profecto, puto, dedisset εἰ μὲν οὖν οὐσιώδης κ. τ. λ. — Sed tum hoc, de quo moneo, tum totus sermonis cursus docet, omnia, quae descripsi, unam non divellendam facere sententiam. — At ferri nequit αἴσθοιτο, qui modus e seq. ἔοι ortus est: ferri autem nequit, etiamsi cum antiquioribus interpretibus distinguas. Requiritur Indicativus αἴσθεται, de qua forma cf. Buttm. II. p. 102. Loco tamen e Plat. Polit. laudato, εἰσόμεθα e libris duobus reposuit Stallb.

Τοῦτο ὦν ἐξ ἑωυτέης πονέει ἡ θέρμη, ἐκ τῆς κατὰ αἴσθησιν ἔσωθεν ἐγείρεται ὦσιος· Φύσιος δὲ τῆς ἐς μέζω τὰ ἄλγεα.] Libri ferunt initio τουτέων; vulgo κατ' αἴσθησιν, sed κατά praebent Pa. d. f. — Pone μέζω, libri scripti et editi omnes ἢ περιουσίης insertum habent. Ut a postremo ordiar: ἢ περιουσίης glossa est, qua exponitur φύσιος τῆς ἐς μέζω, ita ut illud deleverim: sed incertum esse mihi videtur utrum φύσιος τῆς ἐς μέζω an vero φύσιος τῆς ἐς μέζον scripserit Aretaeus, quum facile librarii μέζω ad ἄλγεα referre potuerint; ego vero librorum lect. certe non pravam retinui. Ad principium ut redeam, e τουτέων effinxi τοῦτο ὦν, tum apposite ad regulam, iuxta quam τοῦτο pro κατὰ τοῦτο ponitur, (vid. Vigerum pag. 630. Ed. Herm.), tum apposite ad dialectum Aretaei, qui ὦν pro οὖν usurpare solet. — Wiganus ad τουτέων: «haudquaquam hic, inquit, recte se habent omnia." Vere ille: sed facilis visa est emendatio. — Verba ἐκ τῆς κατὰ αἴσθησιν ἐγείρεται ὦσιος accipio: ἐγείρεται ὑπὸ τῆς ὤσιος τῆς κατὰ αἴσθησιν i. e. τῆς αἰσθητικῆς, nisi malis τῆς αἰσθητῆς; ipsa autem ὦσις illa est δυςκρασίη, de qua paulo superius est locutus.

ἐγχρίμπτεται δὲ ἡ ἀρθρῖτις ἄλλοτε ἐς ἄλλα ἄρθρα· τοῖσι μὲν ἐς ἰσχία καὶ τὰ πολλὰ τῇδε ἐπιμίμνει οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ ἢν γὰρ μεζόνων λάβηται μελέων, χωρῆσαι τὴν νοῦσον δυναμένων, οὐχ ὑπερβαίνει τὰ ὄργανα. ἀΐσσει τ' ἐς τὰ γυῖά κοτε· ἢν δὲ ἀπό τευ σμικροῦ ἄρξηται, ἐστὶ εὐήθης καὶ ἀδόκητος ἡ εἰςβολή.] Locum, qualis olim in editis ferebatur, cum omni lectionis varietate describam: ἐγχρίμπτεται (ἐγχρίπτεται V. A.) δὲ ἡ ἀρθρῖτις ἄλλοτε ἐς ἄλλα ἄρθρα τοῖς (τοῖσι O. Pa. b, d. e.) μὲν ἐς ἰσχία καὶ τὰ πολλὰ τῇδε ἐπιμίμνει γυΐος (γυίος V. γόννος H. in marg.), ἄσσα τε μέλεα κοτὲ μικρὸν (μικρὸν ἤγουν H. V. A. Pc. d. e. f.) εὖτε οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ, πόδας τε καὶ χεῖρας. ἢν γὰρ μειζόνων (μεζόνων O. Pa. b.) λάβηται μελέων χωρῆσαι τὴν νοῦσον δυναμένων,
οὐ δὴ
οὐχ ὑπερβαίνει (οὐδ' ὑ. Pe. f. οὐχ ὑ. Pc. οὐ δεῖ ὑπερβαίνειν H.) τὰ ὄργανα· ἢν δὲ ἀπὸ τοῦ σμικροῦ ἄρξηται, ἐστὶ εὐήθης (ἐστι δὲ εὐήθης Pc. d. e. f.) καὶ ἀδόκητος ἡ εἰςβολή. — Vides librarios moretum nobis apposuisse! Vere vidit Wiganus in γυΐος latere γυῖα, et μέλεα glossam esse. Hinc certe aliqua lux affulget. Citat idem ex Hesychio γυῖα, μέλη, χεῖρές τε καὶ πόδες κ. τ. λ. — Iam vero in ἄσσα τε latere arbitror ἀΐσσει τ'ἐς. Quodsi iam glossam expellamus, habebimus: ἀΐσσει τ'ἐς γυῖά κοτε, εὖτε οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ. Ad γυῖα adscriptum fuerit ἤγουν μέλεα, πόδας τε καὶ χεῖρας, quibus in textum illatis, pessima orta confusio. — Vocula μικρόν abundat: invecta fuerit e vicini σμικρά, aut σμικροῦ repetitione otiosa, post alias turbas ortas. — Ex ἢν δὲ ἀπὸ τοῦ σμικροῦ effeci ἢν δὲ ἀπό τευ (vel του si velis) σμικροῦ ἄρξηται: haec emendatio ipso sensu loci defenditur. — Nempe verba ἀΐσσει τ' ἐς τὰ γυῖα (articulus enim addendus) de sede sua aberrarunt et uno tenore legendum τῇδε ἐπιμίμνει, οὐδὲ ἐπὶ τὰ σ. φ. ·—; itaque εὖτε etiam supervacaneum.

ἢ ἰγνύος.] Ἢ ἰγνύης Pe. f.

αὖθις ἐς γλουτὸν, ἢ ὀσφὺν ὀκέλλει.] Vulgo ἰκέλη editur, sed O. ex H. G. v. l. ὀκέλλει: eandem lect. vidi in Pe. f., in marg. Pb., et in Pc. a manu recentiore.

καὶ πάντα μᾶλλόν ἐστι, ἡ δόκησις ἰσχίου.] Pb. in marg. πάντων.

τὴν ἐπιπρόσω πτέρνην, ᾗ πότι στηριζόμεθα.] Libri scripti et editi ᾗ ποτε s. ποτε στηριζόμεθα. Sed imitatur pseudo-Hippocratem, qui lib. περὶ ἀγμῶν p. 572. Foësio; ὁ ἄγκων καλεόμενος, ὃν ποτὶ στηριζόμεθα. — Ipse Foës. iam e Gal. de motu musc. adscripsit lect ᾧ ποτὶ στηριζόμεθα: cf. Littreus, vol. III. p. 426, ubi in textum recepta est. Retrahendus accentus est et ᾧ πότι στηριζόμεθα scribendum: hinc Aretaeus ᾗ πότι στηριζόμεθα.

ἔπειτα ἐς τὸ κοῖλον ἥκε.] Nempe ἐς τὸ κοῖλον τοῦ ποδός.

κρηπῖδος καινῆς τρίβον.] Vulgo κενεῆς. O. ex H. καινεῆς. quod item in Pa. b. c. f. vidi. Iotacismo καινῆς in κενῆς abiit: librarii hinc Ionice κενεῆς et καινεῆς scripserunt, non Aretaeus, qui καινῆς profecto dedit.

οὐδεὶς δὲ φράζει.] Sic O. ex H.; φράσει minus recte cett.

τὰ πολλὰ δὲ ἀπὸ τῶν ποδῶν ἐς χεῖρας ἥϊξε, οὐ γὰρ

ἧκε, τὸ δὲ σφυρὸν ἐξῴδησε ὕστατον. Πρόφασιν δὲ αἰτιῶνται ἀναίτιον, οἱ μὲν κρηπῖδος καινῆς τρίβον, οἱ δὲ μακρὴν περίοδον, ἄλλος δὲ πληγὴν, ἢ πάτημα· οὐδεὶς δὲ φράζει τὴν οἴκοθεν οὖσαν, ἀτὰρ καὶ ἀκούσασι τοῖσι πάσχουσι τὸ ἀτρεκὲς ἔδοξε ἄπιστον. Διὰ τόδε ἐς ἀνήκεστον ἐτράπη, ὅτιπερ τῇσι ἀρχῇσι, ὁκότε ἀσθενεστάτη ἐστὶ ἡ νοῦσος, ὁ ἰητρὸς οὐκ ἐνίσταται. ἢν δὲ χρόνῳ κρατυνθῇ, ἀνόνητος ἡ μελέτη. Τισὶ μὲν οὖν ἐς ποδῶν ἄρθρα μίμνει μέσφι θανάτου· τισὶ δὲ νέμεται ἐς τὴν τοῦ παντὸς σκήνεος περίοδον· τὰ πολλὰ δὲ ἀπὸ τῶν ποδῶν ἐς χεῖρας ἤϊξε, οὐ γὰρ μεγάλα τὰ ὅρια τῇ νούσῳ χειρῶν τε καὶ ποδῶν, ὅτι ἄμφω ὁμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα, καὶ ἐγγυτάτω τοῦ ἔξω ψύχεος, ἀπωτάτω δὲ τοῦ ἔσω θάλπεος· αὖθις ἀγκὼν καὶ γόνυ· ἐπὶ δὲ τοῖσι κοτύλῃσι περίστροφος· ἤδη μετάβασις ἐς νώτου μύας καὶ θώρηκος. Ἄπιστον ἐς ὅσον ἕρπει τὸ κακόν. σπόνδυλοι ἀλγέουσι ῥάχιός τε καὶ αὐχένος καὶ ἐς ἄκρον ἐρείδει τοῦ ἱεροῦ ὀστέου καὶ ξυμπάντων τε ὁμοῦ πόνος καὶ ἰδίῃ ἑκάστου ὀδύνη. ἀτὰρ ἠδὲ τένοντες ἠδὲ μύες ξὺν ἐντάσι ἀλγέουσι· γνάθων καὶ κροτάφων μύες· νεφρῶν καὶ κύστιος ἡ διαδοχή. ὢ τοῦ θώματος, ἐπὶ πᾶσι πάσχει ῥῖνας καὶ ὦτα, καὶ χείλεα· πάντη γὰρ νεῦρα καὶ μύες. Τῆς κεφαλῆς ἤλγεε τὰς ῥαφάς· οὐκ εἰδὼς μὲν ὅ τι πονέει ἐδείκνυε τῶν ῥαφῶν τὰ εἴδεα, λοξὴν, εὐθείην, ἐπικάρσιον, ὀπίσω τε καὶ πρόσω· ἰσχυὴν δὲ τὴν ὀδύνην καὶ τοῖσι ὀστέοισι ἐμπεπαρμένην· πᾶσαν γὰρ ὀστέων ξυμβολὴν νέμεται ἡ νοῦσος, ὅκως ποδὸς ἢ χειρὸς ἄρθρον. Γίγνονται δὲ τῶν ἄρθρων καὶ ἐπιπωρώσιες· τὰ πρῶτα μὲν ὁκοῖον ἀποστάσιες ἴσχουσι, ἐπὶ δὲ μᾶλλον πυκνοῦνται καὶ πηγνυμένου τοῦ ὑγροῦ ἀπηνέες αἱ ἀποφύσιες· τέλος δὲ πῶροι στεῤῥοὶ, λευκοὶ ξυνίστανται· ἐς δὲ πᾶν ὄγκοι σμικροὶ,

μεγάλα τὰ ὅρια τῇ νούσῳ χειρῶν τε καὶ ποδῶν, ὅτι ἄμφω ὁμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα κ. τ. λ.] Pa. *b.* omittunt *ὅτι*, in hoc libro in marg. *ἴσως γάρ*: nempe pone *ἄμφω*. Sed advertit aliud quid: verba *οὐ γὰρ μεγάλα τὰ ὅρια τῷ νούσῳ χειρῶν τε καὶ ποδῶν* si per se spectes, putes Aretaeum voluisse, non magnum spatium has partes obferre morbo, in quo hic pedem figat; maxime si conferas supra dicta *ἢν γὰρ μεζόνων λάβηται μελέων χωρῆσαι τὴν νοῦσον δυναμένων.* Verum si attendas mentem ad sequens *ὅτι ἄμφω ὁμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα καὶ ἐγγυτάτω τοῦ ἔξω ψύχεος, ἀπωτάτω δὲ τοῦ ἔσω θάλπεος*, vides auctorem rationem exponere, non quare hae partes morbo non satis late pateant, sed quare facile ex alia parte in aliam transeat arthritis. Itaque aut *οὐ μεγάλα τὰ ὅρια* accipiendum est *οὐ μέγα τὸ διάστημα τῇ νούσῳ τὸ μεταξὺ χειρῶν τε καὶ ποδῶν*, aut *ὅτι* vitio laborare putandum. Et potuisset puto Aretaeus scribere: *οὐ γὰρ μεγάλα τὰ ὅρια τῇ νούσῳ χειρῶν τε καὶ ποδῶν, ἄμφω τε* (vel *δέ*) *ὁμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα κ. τ. λ.* — Sed forte talia non nimis ad amussim sunt exigenda.

αὖθις ἄγκων καὶ γόνυ· ἐπὶ δὲ τοῖσι κοτύλῃσι περίστροφος· ἤδη μετάβασις ἐς νώτου μύας καὶ θώρηκος.] Librorum lectio sat: *ἐπὶ δὲ τοῖσι κοτύλαι* (*τῇσι κοτύλῃσι* H.), *περίστροφος ἧδε μετάβασις ἐς ν. μ. καὶ θ.* — Scripsit Aretaeus: *ἐπὶ δὲ τοῖσι* (i. e. *τούτοισι*) *κοτύλῃσι περίστροφος* (nempe *ἡ νοῦσος*): hinc alius librarius emendavit scilicet *ἐπὶ δὲ τῇσι κοτύλῃσι*, alius *κοτύλαι* scripsit, propter nominativos praegressos *ἄγκων καὶ γόνυ.* — *Ἧδε* me iudice ex *ἤδη* *tandem* exstitit. — Vides quare locum ad istum, quo descripsi, modum refecerim!

ἄπιστον ἐς ὅσον.] Ἐς O. Pa. *b.* *εἰς* cett.

ῥάχιος.] Cett. *ῥάχεος.*

καὶ ξυμπάντων τε ὁμοῦ πόνος καὶ ἰδίῃ ἑκάστου ὀδύνη.] Libri *καὶ ξυμπάντων τε ὁ βοῦς ὄνος καὶ ἡ ἰδέη* (*ἡ ἰδίη* O. ex H.) *ἑκάστου ὀδύνη.* — Egregie *ὁμοῦ πόνος* emendat Wiganus; sed neque *ἡ ἰδίη* ferri potest, requiritur adverbium *ἰδίῃ*.

ἀτὰρ ἠδὲ τένοντες ἠδὲ μύες ξὺν ἐντάσι ἀλγέουσι.] Vulgo: *τένοντες ἠδένυ μύες*: pro *ἠδένυ* Wiganus edidit *ἀδένες* e V. A., idemque legi in Pa. *b.* — Pe. *οἳ δὲ νοι μῦες.* Pf. *ἀτὰρ οἱ.... δὲ τένοντες...., μύες.* — Ego sic sentio: ex *ἠδὲ μύες* exstitit *ἠδένυ μύες*, repetita vitiose priore nominis *μύες* syllaba: ex *ἠδένυ* falso effecerunt *ἀδένες.* Nimirum non video, qui inter *τενόντας* et *μύας* apte intermedium ponatur *ἀδένες*: video equidem mox *τῶν νεφρῶν* mentionem fieri, quos *ἀδενώδεας τὴν φύσιν* dixit antea, sed horum mentio fit una cum vesica *νευρώδεϊ* nostro; et vero mox: *πάντη γάρ*, inquit, *νεῦρα καὶ μύες.*

ἐπὶ πᾶσι πάσχει ῥῖνας καὶ ὦτα καὶ χείλεα.] Πάσχουσι O., item Pa. *b.*; praeferrem, si nominativus *ῥῖνες* sequeretur, iam *πάσχει* retineo, mox enim *ἤλγεε.* Suppleo *πάσχει ὁ νοσέων* et *ἤλγεέ τις.*

τὰ πρῶτα μὲν ὁκοῖον ἀποστάσιες ἴσχουσι, ἐπὶ δὲ μᾶλλον κ. τ. λ.] Videmus *ἴσχειν* intransitive sumi, sicuti initio cap. 8. supra, ubi vid. adnn. — Propter *τὰ πρῶτα μέν* fere exspectaveram *ἔπειτα δὲ ἐπὶ μᾶλλον πυκνοῦνται*: nihil tamen de sede sua moveo.

ἀπηνέες αἱ ἀποφύσιες.] Libri *αἱ ἀφέσιες*, quod procul dubio corruptum. Recepi *ἀποφύσιες*, quae Wigani est emendatio.

ὁκοῖον ἴονθοι, καὶ μέζονες· ὑγρὸν δὲ παχὺ, λευκὸν, χαλαζῶδες· καὶ γὰρ τοῦ παντὸς ἡ νοῦσος, ψυχρὴ ὅκως χάλαζα. Δοκέει δὲ θέρμης καὶ ψύξιος ἴσχειν διαφορήν· καὶ γὰρ οἱ μέν τινα τουτέων φεύγουσι, τοῖσι δὲ αὖ ἐκ τῶν ἄλλοισι ϐδελυκτῶν ἡδονή. ἐμοὶ δὲ ἁνδάνει μίην μὲν αἰτίην τὴν ἔμφυτον ψύξιν ἔμμεναι, μίην δὲ καὶ πάθην. Ἀλλ' ἢν μὲν εὐθέως ἐποιδέῃ καὶ θέρμη φανῇ, ἐμψύξιος χρέος, καὶ τοῖσι τέρπεται. ὀνομάζουσι δὲ θερμὴν τήνδε. Ἢν δὲ ὁ πόνος ἐν τοῖσι νεύροισι εἴσω μίμνῃ, ξυμπεπτώκῃ δὲ τὸ ἄρθρον ἄθερμον, μηδὲ ἐποιδέῃ, ψυχρὴν τήνδε φαίην ἔμμεναι· ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος· χρὴ δὲ τὰ πολλὰ τῶν κάρτα δριμέων. Πίστις. τοῖσι γὰρ αὐτέοισι οὐ τὰ αὐτὰ ξυμφέρει· καὶ γὰρ ὅ κοτε ξυνήνεγκε, τοῦτ' ἔβλαψε ἄλλοτε. ὡς δὲ ἔπος εἰπεῖν, θέρμης ἐπὶ τῇ ἀρχῇ, ψύξιος δὲ ἐπὶ τῷ τέλει χρέος· θερμασίη γὰρ τά τε ξυμπεπτωκότα μέρεα εἰς ὄγκον ἤγειρε καὶ τὴν ἔσω θέρμην ἐς ἀνάκλησιν ἤγαγε· εὖτε τῶν ψυχρῶν χρέος. Ξυνεχὴς μὲν οὖν ποδάγρη οὐ ῥηϊδίως γίγνεται· διαλείπει δὲ ἔσθ' ὅπῃ χρόνον μακρὸν, λεπτὴ γάρ. Καὶ Ὀλυμπίασι ἐνίκησε ποδαγρὸς ἐπ' ἀνέσι δρόμον.

· *ὄγκοι σμικροὶ, ὁκοῖον ἴονθοι καὶ μέζονες.*] Pollux IV. 194. *ἴονθοι. ἀνθήματα ψυδρακίοις ἐοικότα περὶ τῷ προσώπῳ, σημεῖον ἀκμῆς.* — Cf. Oecon. Hipp., unde patebit Hipp. etiam aegr. 2. lib. I. Epid. *οἷον ἴονθοι* scripsisse in re diversa.

καὶ γὰρ τοῦ παντὸς ἡ νοῦσος] Καὶ γὰρ τὸ τοῦ π. H. V. Pa. *b. c. d. e.*

Δοκέει δὲ θέρμης καὶ ψύξιος ἴσχειν διαφορήν. καὶ γὰρ οἱ μέν τινα τουτέων φεύγουσι, τοῖσι δὲ αὖ ἐκ τῶν ἄλλοισι ϐδελυκτῶν ἡδονή. ἐμοὶ δὲ ἁνδάνει μίην μὲν αἰτίην τὴν ἔμφυτον ψύξιν ἔμμεναι, μίην δὲ καὶ πάθην.] Libri θ. ἢ ψ. — Lectio partis mediae horum verborum ita se habet:

vulgo: *καὶ γὰρ οἷσι τῶν εὖ ϐδελυκτέων ἡδονή.*
G. v. l. H. Pc. *d*: *καὶ γὰρ οἵ τι ων εὖ δε λικέων ἡδονή.*
Pe : *καὶ γὰρ οἵ τι ων εὖδε λικεων ἡδονή.*
Pf : *καὶ γὰρ οἵ τι .... ων ἡδονή.*

Crassus, ut sensum expleret, de suo, uti videtur:

«si quidem modo ex calore, modo ex frigore voluptas percipitur."

Eodem modo Latine Wiganus. — Iam vero, quod ad sensum attinet, Crassum a vero non aberrare credo: docet, me iudice, tum *ϐδελυκτέων* ex antiquae scripturae reliquiis, tum infra obvium *καὶ τοῖσι τέρπεται.* Porro id magni momenti est, quod spatio in libris inter vocabulorum fragmenta intermedio relicto haud ita fides adhiberi potest, ut iure statuas ea, quae deficiunt, non maius spatium occupasse. Itaque, donec meliora docear, lego:

καὶ γὰρ οἱ μέν τινα τουτέων φεύγουσι, τοῖσι δὲ αὖ ἐκ τῶν ἄλλοισι ϐδελυκτῶν ἡδονή.

quam proxime potui ad ductum reliquiarum veteris scripturae! Quod attinet ad seqq.: *αἰτίην τὴν ἔμφυτον ψύξιν ἔμμεναι*, valent haec omnino *αἰτίην τὴν θερμοῦ τοῦ ἐμφύτου ψύξιν ἔμμεναι* et vero mirum profecto sonat *ψύξις ἔμφυτος*, quum fere potius *ψύχος ἔμφυτον* exspectes. Sed videtur tamen noster ista formula usus esse: cap. de cur. lethargi *ψύξις γὰρ ἔμφυτος ἡ αἰτίη.* Cf. etiam adnn. ad cap. 7. libri II. de cur. m. chron.

ἀλλ' ἢν μὲν εὐθέως ἐποιδέῃ καὶ θέρμη φανῇ, ἐμψύξιος χρέος καὶ τοῖσι τέρπεται. ὀνομάζουσι δὲ θερμὴν τήνδε. Ἢν δὲ ὁ πόνος ἐν τοῖσι νεύροισι εἴσω μίμνῃ, ξυμπεπτώκῃ δὲ τὸ ἄρθρον ἄθερμον, μηδὲ ἐποιδέῃ, ψυχρὴν τήνδε φαίην ἔμμεναι· ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος. χρὴ δὲ τὰ πολλὰ τῶν κάρτα δριμέων.] Libri ferunt: *ἀλλ' ἢν μὲν εὐθέως ἐπιδῴη* (*ἐπιδώσῃ* V. A. Pa. *b.*) *καὶ θέρμη φανῇ, ἐμψύξιος χρέος καὶ τοῖσι τέρπεται. ὀνομάζουσι δὲ θέρμην* (*θερμήν* O.) *τήνδε. Ἢν δὲ ὁ πόνος ἐν τοῖσι νεύροισι εἴσω μίμνῃ, ξυμπεπτώκῃ δὲ τὸ ἄρθρον ἄθερμον, μηδὲ ἐποιδέῃ ψυχρὴν τήνδε* (*δὲ τήν* Pa. *b.*) *φαίην ἔμμεναι, ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος. χρὴ* (*χρήζει* coniicit G. v. l.) *δὲ τάδε πολλὰ τῶν κάρτα δριμέων.* — In hisce certe haud satis apertum, quid sit *ἢν μὲν εὐθέως ἐπιδῴη* s. *ἐπιδώσῃ*. At si conferamus antithesin *ξυμπεπτώκῃ δὲ τὸ ἄρθρον ἄθερμον, μηδὲ ἐποιδέῃ*, palam fieri opinor *ἐπιδῴη* in *ἐποιδέῃ* esse mutandum; quod igitur in textum introduxi. Rectissime *ὀνομάζουσι δὲ θερμὴν τήνδε* edidit Wiganus; sed minus recte *χρὴ δὲ τάδε πολλὰ τῶν κάρτα δριμέων* reliquit intactum: nempe *χρὴ δὲ τὰ πολλὰ τῶν κάρτα δριμέων* scripsit Aretaeus, cui *τὰ πολλά* familiare. Bene habet *χρὴ — τῶν δριμέων*, neque opus est, ut cum Goupylo *χρή* in *χρήζει* mutemus. — Tandem observo Aretaeum *ὀνομάζουσι δὲ θερμὴν τήνδε* scribere: mox vero illum dicere *ψυχρὴν τήνδε φαίην ἔμμεναι.* Quid igitur? *ἀρθρῖτις θερμή* nomen fuit medicis usitatum et familiare, non item *ἀρθρῖτις ψυχρή.* Nostrates quoque *de heete jicht*, non *de koude jicht.*

Πίστις· τοῖσι γὰρ αὐτέοισι οὐ τὰ αὐτὰ ξυμφέρει· καὶ γὰρ ὅ κοτε ξυνήνεγκε, τοῦτ' ἔβλαψε ἄλλοτε. ὡς δὲ ἔπος εἰπεῖν, θέρμης ἐπὶ τῇ ἀρχῇ, ψύξιος δὲ ἐπὶ τῷ τέλει χρέος. θερμασίη γὰρ τά τε ξυμπεπτωκότα μέρεα εἰς ὄγκον ἤγειρε καὶ τὴν ἔσω θέρμην ἐς ἀνάκλησιν ἤγαγε· εὖτε τῶν ψυχρῶν χρέος.] Libri in hisce: *τοῦτ' ἔβλαψεν ἄλλοτε· ὡς δὲ ἔβλαψεν ἄλλοτε ὡς δὲ ἔπος εἰπεῖν κ. τ. λ.* Otiosa verba editor Anglus expulit. — Verum iam ad aliud quid venio: nimirum verba, *θερμασίη γὰρ τά τε ..... εὖτε τῶν ψυχρῶν χρέος* in libris inter *δριμέων* et *Πίστις* interponuntur. Itaque in vulgata scriptura sibi consequuntur haec: *ψυχρὴν τήνδε φαίην ἔμμεναι· ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος. χρὴ δὲ τὰ πολλὰ τῶν κάρτα δριμέων. Θερμασίη γὰρ τά τε ξυμπεπτωκότα μέρεα εἰς ὄγκον ἤγειρε καὶ τὴν ἔσω θέρμην ἐς ἀνάκλησιν ἤγαγε εὖτε τῶν ψυχρῶν χρέος.* Eiusmodi ratiocinationem a nemine, nedum ab auctore nostro docto et elegante, exspectaveris. Sed facile

Ἀλλ᾽ ἄνδρες μὲν παθεῖν ῥηΐτεροι, γυναικῶν δὲ ἐλαφρότερον. γυναῖκες δὲ ἀραιότερον μὲν ἀνδρῶν, χαλεπώτερον δέ· τὸ γὰρ μὴ ἐν ἔθεϊ, μηδὲ οἰκεῖον, ἤν ὑπὸ ἀνάγκης κρέσσον γένηται, βιαστὴν μέζονα τίκτει τὴν ξυμφορήν. Ἡλικίη τὰ πολλὰ μὲν ἀπὸ ἐτέων πέντε καὶ τριήκοντα· θᾶσσον δὲ καὶ βράδιον ἐκ τῆς ἑκάστου φύσιος καὶ διαίτης. Δεινοὶ μὲν οὖν οἱ πόνοι καὶ τὰ παρεόντα πόνων μέζονα. λειποθυμίη ἐπὶ τῇσι ψαύσεσι, ἀκινησίη, ἀποσιτίη, δίψος, ἀγρυπνίη. Ἢν δὲ ἐπανέλθωσι, τοῦτο μὲν, ὅκως ἐκ θανάτου πεφευγότες, ἄνετοι τὸν βίον, ἀκρατέες, ἁπλοῖ, εὔθυμοι, δωροδόκοι καὶ ἐς τὴν δίαιταν ἁβροί· τοῦτο δὲ, ὡς ἐκ θανάτου οὐκ αὖθις ἐσόμενοι, ἄδην χρέονται τῇ παρεούσῃ ζωῇ. Ἀπέσκηψε πολλοῖσι ἐς ὕδρωπα ἡ ποδάγρη, ἄλλοτε δὲ ἐς ἆσθμα καὶ τῶνδε ἄφυκτος ἡ διαδοχή.

ΠΕΡΙ ΕΛΕΦΑΝΤΟΣ.

Κεφ. ιγ'.

Ἐλέφαντι τῷ πάθεϊ καὶ τῷ θηρίῳ τῷ ἐλέφαντι ξυνὰ μυρία καὶ ἰδέῃ, καὶ χροιῇ, καὶ μεγέθεϊ, καὶ βιοτῇ. ἀτὰρ οὐδὲ ἄλλῳ τῳ ἴκελα, οὔτε τὸ πάθος πάθεϊ, οὔτε τὸ ζῶον ζώῳ. Ἐλέφας μὲν γὰρ τὸ θηρίον καὶ κάρτα διαφέρον. πρώτιστα μὲν γὰρ μέγιστον καὶ πάχιστον· μεγέθεϊ μὲν, ὁκόσον ἂν ζῶον ἐπ᾽ ἄλλῳ ζώῳ πυργηδὸν ἀναθείης μέγα· πάχιστον δὲ ἐς πλεῦνα ζῶα πάχιστα, εἰ παράλληλα ξυνθείης. Ἀτὰρ οὐδὲ ἰδέην κάρτα τῳ ἴκελον. χροιὴν μὲν μέλανες κατακορέως ἅπαντες καὶ δι᾽ ὅλου τοῦ σκήνεος. Ἵππος μὲν γὰρ ἄλλος μὲν λευκότατος, ὅκως οἱ Θρήϊκες Ῥήσου· ἄλλοι δὲ

vides ista *θερμασίη — χρέος* de sede sua librariorum oscitantia aberrasse. Equidem in eum locum haec transtuli, quem pridem occupasse videbantur. Primo pone *ὀνομάζουσι δὲ θερμὴν τήνδε* inserenda esse putabam: postea vidi eo haec pertinere, quorsum iam retuli.

Ὀλυμπίασι ἐνίκησε.] Νίκησε O. V. *Pa. b. c. d. e. f.* — Ceterum libri omnes, quod sciam *ὀλυμπιάσι* (sic): sed scribendum fuit *Ὀλυμπίασι*: cf. Buttm. Gr. Gr. II. p. 352. Schol. Aristoph. in Vespas. 1382. in nuperrima Ed. Parisiensi.

δὲ ἐλαφρότερον· γυναῖκες δὲ ἀραιότερον.] Δ' utroque loco *Pa. b. d. e.*

βιαστὴν μέζονα τίκτει τὴν ξυμφορήν.] Accipio: *μέζονα τίκτει τὴν ξυμφορὴν τὴν βιαστήν.* Nimirum Wiganus *μέζονα* glossam habuit, quae explicaret *βιαστήν.* — Bernardus in vita Reiskii, licet Wigani notulam neglígentius legisse videatur, tamen monet servari posse utramque vocem p. 154.

καὶ τὰ παρεόντα πόνων μέζονα.] Libri *παριόντα*: de meo *παρεόντα* scripsi.

ἄνετοι τὸν βίον.] Alias *ἀνειμένοι* dicuntur.

τοῦτο δὲ, ὡς ἐκ θανάτου οὐκ αὖθις ἐσόμενοι, ἄδην χρέονται τῇ παρούσῃ ζωῇ.] De meo negationem intuli, quae abesse plane non potest.

Cap. 13. *περὶ ἐλέφαντος.*] Vere me iudice monuit Petitus, inscriptionem huius capitis *περὶ ἐλεφαντιάσιος*, quae tum h. l. tum in capitum huius libri indice legitur in libris, ab ipso Aretaeo non esse profectam, sed hunc *περὶ ἐλέφαντος* dedisse pariter, atque in libris therapeuticis *θεραπείη ἐλέφαντος* scripserit. — Docent omnia, quae hoc capite traduntur, et statim exordium *ἐλέφαντι τῷ πάθεϊ κ. τ. λ.* — Morbus tamen apud antiquos promiscue et *ἐλέφας* et *ἐλεφαντίασις* dicitur. — Res notior, quam ut locos ex auctoribus excitem.

ἐλέφαντι τῷ πάθεϊ· καὶ τῷ θηρίῳ τῷ ἐλέφαντι ξυνὰ μυρία καὶ ἰδέῃ κ. τ. λ.] Libri *μορία*. Recte profecto Wiganus ad Crassi Latinorum fidem *μυρία* edidit.

ἀτὰρ οὐδὲ ἄλλῳ τῳ ἴκελα.] Ἀτάρ οὔτε H. ἀλλὰ οὐδέ V. A. *Pa. b.*

ἐλέφας μὲν γὰρ τὸ θηρίον.] Tum h. l., tum mox in verbis *πρώτιστα μὲν γὰρ μέγιστον* et *ἵππος μὲν γὰρ ἄλλος*, de meo *γάρ* scripsi: singulis istis locis libri *γέ* ferunt, quod quin e compendio a librariis male intellecto originem traxerit, nullus dubito. De his saepius confusis cf. Schaef. in addendis ad Greg. Cor. p. 877.

κάρτα τῳ ἴκελον.] Ἴκελος h. l. V. A.; difficile est, quid Aretaeus voluerit, discernere.

χροιὴν μὲν μέλανες κατακορέως ἅπαντες.] Sic O. ex V.: eandem lect. notavi e *Pa. b.*: antea *μέλανος κατακορέος* edebatur e plurimorum librorum scriptura. — Animadvertit Petitus ex h. l. patere Aretaeum candidos elephantes ignorasse.

ἵππος μὲν γὰρ, ἄλλος μὲν λευκότατος, ὅκως οἱ Θρήϊκες Ῥήσου.] Vid. Il. X. 434.

Θρήϊκες οἵδ᾽ ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων.
ἐν δέ σφιν Ῥῆσος βασιλεὺς, παῖς Ἠϊονῆος.

πόδαργοι, ὅκως Μενέλεω Πόδαργος. οἱ δὲ ξανθοὶ, ὅκως
ἑκατὸν καὶ πεντήκοντα.

ἄλλοι δὲ κυάνεοι,
ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ.

Ὧδε καὶ βόες, ὧδε καὶ κύνες, ἠδὲ ὁκόσα ἀνὰ τὴν γῆν ἑρπετὰ καὶ ζῶα Φέρβεται. Ἐλέφαντες δὲ μοῦνοι ζοφοειδέες τὴν χροιήν· νυκτί τε καὶ θανάτῳ ἴκελοι· ἰδέην δὲ κάρηνα μὲν μελάντατα κατέχων καὶ πρόςωπα ἄσημα ἐπ' αὐχένι σμικρῷ, ὡς δοκέειν τὴν κεφαλὴν ἐπὶ τοῖσι ὤμοισι ἰζάνειν, καὶ ὧδε οὐκ ἔκδηλον. ὦτα γὰρ μεγάλα, πλατέα, πτερυγώδεα, μέσφι κληΐδων τε καὶ στέρνου, ὥςτε κρύψαι τὸν αὐχένα ξὺν τοῖσι ὤμοισι, ὅκως νῆες λαίφεσι. Κέρατα δὲ θῶυμα διάλευκα ὁ ἐλέφας ἐπὶ μελαντάτῳ· μετεξέτεροι τάδε ὀδόντας κικλήσκουσι. τάδε μοῦνα λευκότατα, ὅκως οὐδενὸς ἄλλου γε οὐδὲν, οὐδὲ λευκοῦ ζώου. Καὶ τάδε οὐχ ὑπὲρ μέτωπα καὶ κροτάφους, ὅκως τοῖσι

τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

ὅκως Μενέλεω Πόδαργος.] Vid. Il. XXIII. 293.

τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος
Διογενής, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
Αἴθην τὴν Ἀγαμεμνονίην, τὸν ἑὸν τε Πόδαργον.

οἱ δὲ ξανθοὶ, ὅκως ἑκατὸν καὶ πεντήκοντα.] Vid. Il. XI. 677:

ληΐδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλὴν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν,
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.

ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ.] Versus est 224. Il. XX., ad quem Spitznerus: «Heynius, inquit, ex Aret. de Morb. diut. II. 13. ἵππῳ ἐεισάμενος affert, idque magis Homericum iudicat. Particulam tamen et aegre desiderari, neque ἀσύνδετον bene huc transferri patebit." — Itaque adponam omnem, quam videre contigit, lect. varietatem: — Ἵππῳ ἐεισάμενος (δ' ἐεισάμενος Il. V. Pb. c. d. e. δὲ εἰσάμενος Pa. f.) παρελέξατο κυανοχαίτης (κυανοχαίτῃ H.) — Vides, quo iure vulgatam in Poëtae editionibus lectionem nostro restituerim.

ἐλέφαντες δὲ μοῦνοι ζοφοειδέες τὴν χροιήν, νύκτι τε καὶ θανάτῳ ἴκελοι.] Libri omnes: ἐλέφαντες δὲ μοῦνοι μέλανες, ζοφοειδέες τὴν χροιὴν, νύκτι κ. τ. λ. Paulo ante noster χροιὴν μὲν μέλανες κατακορέως ἅπαντες: mox κάρηνα.. μελάντατα: itaque h. l. μέλανες glossa esse videtur olim in marg. adscripta ad ζοφοειδέες τὴν χροιήν: est enim hic μέλανες plane supervacaneum, — Ζοφοειδέες τὴν χροιήν colorem illorum animalium denotat, isto colore sunt νύκτι τε καὶ θανάτῳ ἴκελοι: sed quare adposuisset etiam μέλανες auctor, perspicere non valeo: profecto glossema est! — Illud νύκτι τε (sic de meo scripsi, quum libri δέ habeant,) καὶ θανάτῳ ἴκελοι versus principium esse recte animadvertit Wiganus: locum tamen, unde sumtum sit, non reperi: fortasse vocabula non e poeta aliquo sunt desumta, sed sponte pedes aliquot nati. Fortasse ansam his praebuit Il. I. 47. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. Cf. μέλανος θανάτοιο Il. XVI. 687. Ceterum apud poetam ὕπνος et θάνατος potius coniunguntur: sic Il. XVI. 672. ὕπνῳ καὶ θανάτῳ διδυμάοσιν.

ἰδέην δὲ κάρηνα μὲν μελάντατα κατέχων καὶ πρόςωπα ἄσημα ἐπ' αὐχένι σμικρῷ.] Pone ἄσημα in libris omnibus circumferuntur verba ἄδηλα τὴν μορφήν, quae interpreti nescio cui deberi videntur ἄσημα exponenti. — Hesych. ἄσημα. ἄφθογγα. ἄμορφα. Ad quem locum cf. Abreschii adnn. — Quod attinet ad μελάντατα, id in Ed. Oxon. e cod. H., solo hoc nomen praebente, est receptum.

ὦτα γὰρ μεγάλα, πλατέα, πτερυγώδεα μέσφι κληΐδων τε καὶ στέρνου, ὥςτε κρύψαι τὸν αὐχένα ξὺν τοῖσι ὤμοισι, ὅκως νῆες λαίφεσι.] Librorum lectionis varietatem huius loci vulgatae eius scripturae interponam: ὦτα γὰρ μεγάλα, πλατέα, πτερυγώδεα μέσφι (μέχρι V. A. Pa. b. e. f.) κληΐδων τε καὶ στέρνων· ὃς (ὡς H. Pb.) ἔκρυψε τὸν (τὴν A.) αὐχένα τοῖσι ὠσὶ (ὤμοισι H. V. G. v. l. Pc. d. e. f. ὠσί om. Pa. b.), ὅκως νῆες λαίφεσι. — Crassus: «aures enim grandes sunt, latae, alarum similes, ad iugula usque et pectoris ossa. Hae cervicem *armosque* tegunt, sicut navigia velis conteguntur." Petitus in libro scripto τοῖσιν ὤμοισι legens, desideravit: οἷς ἔκρυψε τὸν αὐχένα σὺν (aut ξὺν) τοῖσι ὤμοισι. — Hanc lect. fere Latine expressit Wiganus. Iam vero e varietate lect., quam tradidi, constat, puto, verosimiliter ὠσί esse inventum Goupyli et verissime Petitum ξὺν τοῖσι ὤμοισι desiderasse: sed minus feliciter hic cetera tractavit: nempe in ὃς ἔκρυψε τὸν α., confusis diphthongo αι et vocali ε, latet ὥςτε κρύψαι τὸν α. — Iam locum ad pristinam integritatem restitutum esse arbitror. — Nimirum Petitus etiam malle se dicit ὅκως νηὸς λαίφεσι: sed hoc, pace viri eruditissimi dictum sit, deterius est; vulgata explenda ὅκως νῆες λαίφεσι κρύπτονται.

κέρατα δὲ θῶυμα διάλευκα ὁ ἐλέφας ἐπὶ μελαντάτῳ· μετεξέτεροι τάδε ὀδόντας κικλήσκουσι. τάδε μοῦνα λευκότατα, ὅκως οὐδενὸς ἄλλου γε οὐδὲν, οὐδὲ λευκοῦ ζώου.] Ἐπὶ μελαντέρῳ G. v. l. Pc. d. e. f.: tum libri omnes ἄλλου τε, pro quo de meo ἄλλου γε reposui, quum particulae τε hic locus non sit. — De veterum discrepantia, num dentes, an cornua sint elephanti, monuit Petitus. — Ad recentiores quod attinet, hi fere dentes esse viderunt: Cuvier Règne animal (p. 228. seq. vol. IV.) des *pachydermes à trompe et à defenses, ou proboscidiens.* «Les canines, inquit, et les incisives proprement dites leur manquent, mais dans leurs os incisifs sont implantées deux défenses, qui sortent de la bouche et prennent souvent un accroissement énorme. La grandeur nécessaire aux alvéoles de ces défenses rend la mâchoire superieure si haute et raccourcit tellement les os du nez, que les narines se trouvent dans le squelette vers le haut de la face. etc."

κεραςφόροισι ἡ φυὴ, ἀλλὰ κατὰ στόμα καὶ τὴν ἄνω γνάθον, ὄρθια μὲν ἐς τὸ πρόσθεν οὐ κάρτα, ἀλλὰ ἄνω σμικρόν τι καμπύλα· ὅκως δατύσσεσθαι ἐκ τοῦ ὀρθίου ἐνείη καὶ ἄρασθαι ἄχθος τοῖσι ὀδοῦσι σιμοῖς. Μεγάλα δὲ τὰ κέρατα· μῆκος μὲν, ὁκόσον ὀργυιὴν, οἱ μέσοι· ἄλλοι δὲ πολλόν τι τουτέων μέζους μέσφι διπλῶν. Προβολὴν δὲ ἴσχει ἡ ἄνω γνάθος ἀπὸ τοῦ χείλεος μακρὴν, ἀνόστεον, σκολιὴν, ἑρπετώδεα. Δοιαὶ δὲ ἐπὶ τὸ ἄκρον τῆς προβολῆς ἔασι ἐκτρήσιες καὶ τάςδε διαμπερὲς μέσφι τοῦ πνεύμονος ἐτέτρηνε ἡ φύσις, ὅκως αὐλὸν διφυέα. Χρέεται δὲ τὸ ζῶον ἐς ἀναπνοὴν, ὅκως ῥινὶ, τῇδε τῇ σύριγγι· ἀτὰρ καὶ χερσὶ τῇδε, καὶ κωθωνίην τε γὰρ λάζοιτο, ὁκότε θέλει, τῇ προβολῇ, ἀμφιλαμβάνει τε καὶ ἴσχει κραταιῶς, καὶ οὐκ ἄν τις ἀφέλοιτο αὐτέου βίῃ, ἢν μὴ κρέσσων ἄλλος ἐλέφας. Ἀτὰρ καὶ ποιὴν ἐς νομὴν τῇδε μαστεύει, οὐδὲ τῷ στόματι καὶ τοῖσι σμικροῖσι ὀδοῦσι ἔσθων σάρκας ζῇ. πόδες γὰρ εὐμήκεες, ὕπερθεν τῆς γῆς πολλὸν τὸ ζῶον ἀνέχοντες. ἀτὰρ καὶ σμικρὸς αὐχὴν, ὅκως ἔλεξα· οὔκουν δύναται τῷ στόματι εἰς τὴν γῆν νέμεσθαι. ποτὶ καὶ ἡ τῶν κεράτων πρὸ τοῦ στόματος ἔκφυσις εἴργει τῆς ποιῆς ἅπτεσθαι τὸ στόμα· τοιγαροῦν ἀνιμᾶται τῇ προβολῇ φόρτον μέγαν, ἔπειτα, ὅκως ἀμαλλοδετῆρι, τῇδε ξυνδήσας ἐντίθησι πολλὸν τῇ κοιλίῃ. Εὖ γε οἱ πρῶτοι προβοσκίδα τήνδε καλέουσι, ἐπίπροσθεν γὰρ τοῦ ζῴου ἥδε

ὄρθια μὲν ἐς τὸ πρόσθεν οὐ κάρτα, ἀλλὰ ἄνω σμικρόν τι καμπύλα, ὅκως δατύσσεσθαι ἐκ τοῦ ὀρθίου ἐνείη καὶ ἄρασθαι ἄχθος τοῖσι ὀδοῦσι σιμοῖς.] Libri dant ὄρθια μένει ἐς τὸ πρόσθεν οὐ κάρτα· revocavi pristinam scripturam; nam μένει ἐς ex μὲν ἐς ortum duxisse arbitror. — Porro vulgo ὅκως ἐντύσσεσθαι (ἐντύσσεται H. V. A. Pa. b. d. δατύσσεται H. in marg., unde δατύσσεσθαι O.) ἐκ τοῦ ὀρθίου ἐνείη. — Crassus: «quo a recto detorqueri liceret.” unde, quid legerit, coniectura assequi non valeo. — Petitus ἐντύσσεσθαι probasse videtur et idem, quod ἐντύεσθαι s. ἐντύνεσθαι, significare credidisse. — Wiganus δατύσσεσθαι e marg. cod. Harl. edidit et *cibum vorare* reddidit Latine. — Equidem ἐντύσσεσθαι verbum Graecum esse non credo, neque enim usquam, quod sciam, legitur: δατύσσεσθαι Graecum est. Hesych. δατύσσειν. λαφύσσειν. ἐσθίειν. — Idem λαφύσσει. μετὰ σκυλμοῦ ἐσθίει. σπαράσσει κ. τ. λ. et δαδύσσεσθαι. ἕλκεσθαι. σπαράσσεσθαι. Itaque δατύσσεσθαι ab Aretaeo re vera scriptum censeo et eo sensu positum, quo δαδύσσεσθαι ab Hesychio exponitur, cuius interpretes cff. — Tandem libri ἄχθος ἐν τοῖσι ὀδοῦσι, otiosum illud ἐν, quod saepius in nostri textum irrepsit, delevi.

μεγάλα δὲ τὰ κέρατα, μῆκος ὁκόσον ὀργυιὴν, οἱ μέσοι.] Ad οἱ μέσοι Pb. in marg. ἴσως ἢ μέζον, parum recte. — Poëta Od. X. 167. πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐΰστρεφὲς ἀμφοτέρωθεν. — At Herodotus ὀργυιή scribit

προβολὴν δὲ ἴσχει ἡ ἄνω γνάθος ἀπὸ τοῦ χείλεος μακρὴν, ἀνόστεον, σκολιὴν, ἑρπετώδεα.] Elegans omnino comparatio, qua Aretaeus elephanti proboscida ἑρπετώδεα vocat. Lucretium *Anguimanos* appellasse elephantos adnotat Petitus. — Quod ad προβολήν cf. Hesych. qui: προβοσκίς. τὸ ἐκτεταμένον καὶ προβεβλημένον τῆς ὄψεως τοῦ ἐλέφαντος.

ἢν μὴ κρέσσων ἄλλος ἐλέφας.] Εἰ μὴ κ. ἀ. ἐ. H. V. A.

ἔσθων σάρκας ζῇ.] Ἐσθίων H. ἔσθει V. A. Pa. b. c. σάρκα Pb.

ποτὶ καὶ ἡ τῶν κεράτων πρὸ τοῦ στόματος ἔκφυσις εἴργει τῆς ποιῆς ἅπτεσθαι τὸ στόμα.] Libri ποτὲ καὶ κ. τ. λ. Nemo non videt ποτὶ καί nostro saepe usitatum legendum esse. Desiderat etiam Wiganus.

τοιγαροῦν ἀνιμᾶται τῇ προβολῇ φόρτον μέγαν, ἔπειτα ὅκως ἀμαλλοδετῆρι τῇδε ξυνδήσας ἐντίθησι πολλὸν τῇ κοιλίῃ.] Libri hunc locum ita scriptum offerunt: τοιγαροῦν ἀνιμᾶται τῇ προβολῇ φόρτον μέγαν (μέγα H.) ἔπειτα ὁκόσα (τῇ ῥινὶ * μ. H., unde O. τῇ ῥινὶ .... μ.) * μᾶλλον δὲ τηρεῖ τῇδε (Pc. in marg «forte τῇ ῥινί”) ξυνδῆσαι τῷ στόματι· ἐντίθησι πολλὸν τῇ κοιλίῃ. — Crassus: «Itaque hac prominentia magnum pondus haurit: deinde quaecumque venatur, hac complexus ventri futura alimenta in os detrudit.” Hic igitur verosimiliter vulgatam in libris lectionem vidit, et ad verba sensu cassa Latina quaedam, ut fit, adposuit, quae Graeca non reddunt. — Petitus voluit: ὁκόσα μᾶλλον δὲ τηρεῖ, τῇδε ξύνδησας κ. τ. λ. —; itidem hic Latina adscribit Graecis non consentanea. — Wiganus tacitus Crassi Latina servat. — Ex horum industria ergo admodum nihil proficimus! Meliora suppeditat Bernardus ad Synesium p. 44. qui τῷ στόματι «tanquam glossema τοῦ τῇ προβολῇ” delere iubet et ἔπειτα ὅκως ἀμαλλοδετῆρες τῇδε ξυνδήσας κ. τ. λ. legendum censet. — Pauca sunt, in quibus a viro eruditissimo dissentio: τῷ στόματι non ad τῇ προβολῇ spectare credo, neque huius vocis interpretationem esse opinor; quod vero in cod. H. legitur τῇ ῥινί, glossa est, qua τῇ προβολῇ exponitur: sed τῷ στόματι ita ortum puto, ut ad ἐντίθησι τῇ κοιλίῃ nescio quis adscriberet τῷ στόματι, quod τῇ κοιλίῃ minus recte dictum putaret. — Tum vero in ὁκόσα μᾶλλον δὲ τηρεῖ non nominativus pluralis latet, sed dativus sing. ὅκως ἀμαλλοδετῆρι. — Sed haec minuta sunt: verissimae emendationis loci insigniter corrupti laus uni debetur Bernardo!

εὖ γε οἱ πρῶτοι προβοσκίδα τήνδε καλέουσι, ἐπίπροσθεν γὰρ τοῦ ζῴου ἥδε βόσκεται.] Libri scripti εὖτε. — Wiganus: «unde.” — E Crassi «Rite” reposui εὖ γε,

ϐόσκεται. Ἀτὰρ οὐδὲ πιεῖν ἀπὸ λίμνης ἢ ποταμοῦ τῷ στόματι θέμις, ἡ ὠυτὴ γὰρ αἰτίη. ἀλλὰ, ἢν διψῇ, ἐντίθεται μὲν τῷ ὕδατι τῆς προβοσκίδος ἄκρην τὴν ῥῖνα· ἔπειτα, ὅκως ἀναπνέων, ἀντὶ τοῦ ἠέρος, τοῦ ὕδατος ἕλκει πολλόν· ἐπὴν δὲ πλήσῃ, ὅκως κώθωνα, τὴν ῥῖνα, τῷ στόματι ποταμηδὸν ἐγχέει· εἶτα αὖθις ἕλκει, καὶ αὖθις ἐγχέει, ἔς τ᾽ ἂν πλήσῃ ὅκως φορτίδος νηὸς τὴν γαστέρα. Ῥινὸν τρηχὺν καὶ πάχιστον, ὀχθώδεας ῥωγμοὺς ἴσχοντα, αὐλῶνας ἐπιμήκεας, ἑτέρας ἐντομὰς κοίλας, ἐπικαρσίους, ἄλλας δὲ λοξὰς, ϐαθείας κάρτα, ἴκελον τὸ ξύμπαν τριπόλῳ νειῷ. Τρίχες δὲ ἄλλοισι μὲν ζώοισι φύονται ἠδὲ χαῖται· ἐλέφαντι δὲ τόδε ἐστὶ ὁ χνοῦς. Μυρίαι δὲ καὶ ἄλλαι παραλλαγαὶ πρὸς τὰ ἄλλα ζῶα. καὶ γὰρ ὀπίσω κατὰ γόνυ κάμπτει, ὅκως ἄνθρωπος· καὶ μαζὸν πρὸς τῇσι μασχάλῃσι ἴσχει, ὅκως γυναῖκες. Ἀλλ᾽ οὔτι μοι χρέος τανῦν ἀμφὶ τοῦ ζώου γράφειν, πλὴν ὁκόσον ἔξαλλόν τι καὶ ἡ νοῦσος ὁ ἐλέφας καὶ ὁκόσα ἴκελα ἡ ἰδέη τοῦ νοσοῦντος ἴσχει τῇ τοῦ ζώου φυῇ. Ἐκίκλησκον δὲ καὶ λέοντα τὸ πάθος, τοῦ ἐπισκυνίου τῆς ὁμοιότητος εἵνεκεν, ἣν ὕστερον φράσω. ἠδὲ σατυρίησιν τῶν τε μήλων τοῦ ἐρυθήματος καὶ τῆς ἐς συνουσίην ὁρμῆς ἀσχέτου τε καὶ ἀναισχύντου εἵνεκεν. ἀτὰρ καὶ ἡράκλειον, ὅτι τοῦδε μέζον οὐδὲν, οὐδὲ ἀλκιμώτερον.

quod nostro frequens. — Libri porro τῇδε ϐόσκεται, quod et Crassum vidisse opinor: vere animadvertit editor Anglus ἠδε legendum esse, quod confidenter recepi. Ad h. l. operae pretium est Suidae verba adponere: προβοσκίς ἡ τοῦ ἐλέφαντος προνομαία. — Paene omisissem adscribere loco nostro codd. H. Pc. e. καλέοντες habere pro καλέουσι.

ἐπὴν δὲ πλήσῃ, ὅκως κώθωνα τὴν ῥῖνα, τῷ στόματι ποταμηδὸν ἐγχέει· εἶτα αὖθις ἕλκει καὶ αὖθις ἐγχέει, ἔς τ᾽ ὢν πλήσῃ ὅκως φορτίδος νηὸς τὴν γαστέρα.] Binis in hisce locis ἐκχέει dant libri, idemque legit etiam Crassus: ego affirmare audeo, Aretaeum ἐγχέει scripsisse, alterum ponere non potuisse. Tum εἶτα praebent Pf. εἶτ᾽ cett. — Pro πλήσῃ V. et Po. πρήσει, quod huius loci non est. Postrema intelligenda sunt ἔς τ ἂν πλήσῃ τὴν γαστέρα, ὅκως γαστέρα φορτίδος νηός: itaque primo quidem πρήθειν h. l. usurpari nequit, tum ex h. l. efficias Graecos γαστέρα νηός vocasse cavum navis, quod nos de kuil, het hol van een schip. Cf. Eurip. Cyclops. vs. 505. σκάφος ὁλκὰς ὡς γεμισθεὶς ποτὶ σέλμα γαστρὸς ἄκρας, ubi similis comparatio; tamen iunge γεμισθεὶς γαστρὸς ἄκρας. — Homericum est νηὸς .. φορτίδος ex Od. V. 249. et IX. 322.

ἴκελον τὸ ξύμπαν τριπόλῳ νειῷ.] Libri plurimi τριποδονίῳ: unus Pf. τριποδο νίῳ, in qua scriptura vestigium veteris τριπόλῳ νειῷ, quod vere legendum esse monuit Wiganus ex Il. XVIII. 501., ubi νειὸν .. τρίπολον. Cf. Od. V. 124. νειῷ ἔνι τριπόλῳ. Saepius a poetis usurpatur Hesiod. Theog. 969. νειῷ ἔνι τριπόλῳ. Theocr. Idyll. XXV. 25. τριπόλοις... ἐν νειοῖσιν... καὶ τετραπόλοισιν ὁμοίως.

τρίχες δὲ ἄλλοισι μὲν ζώοισι φύονται ἠδὲ χαῖται· ἐλέφαντι δὲ τόδε ἐστὶ ὁ χνοῦς.] Locum istum sic scriptum offerunt libri: τρίχες δὲ ἄλλοισι μὲν ζώοισι φύσι τοιαίδε αἱ χαῖται ἐλέφαντι δὲ τόδε ἐστὶ ὁ χνοῦς. — H. χέεται καὶ αἱ τρίχες, ἐλέφαντι δέ. — V. A. χαῖται ἐλεφαντίδος. Pa. b. χέται ἐλεφαντίδος. Pc. d. ἐχέται ἐλεφαντίδος Pe. f. τοιαίδε ε χεται ἐλεφαντίδες. — Crassus: «pili autem aliis quidem animalibus natura, aut setae sunt, elephanti vero sordida lanugo est.» — Petitus coniicit: τρίχες δὲ ἄλλοισι μὲν ζώοισι, καὶ αἱ χαῖται κ. τ. λ. — Equidem paene certum iudico in φύσι τοιαίδε αἱ χαῖται latere φύονται ἠδὲ χαῖται quod recipiendum censui. — Ad rem ipsam quod attinet, Cuvier l. l. p. 231.: «les elephans d'aujourd'hui, revêtus d'une peau rude et presque sans poils.» p. seq.: «Un individu recemment tiré des glaces, sur les côtes de Sibérie par M. Adams, parait avoir été couvert d'un poil épais et de deux natures; en sorte qu'il serait possible que cette espèce eût vécu dans les climats froids. Elle a depuis longtemps disparu du globe. (Voyez Cuvier, Recherches sur les Ossemens foss., tom. II.)

μυρίαι δὲ καὶ ἄλλαι παραλλαγαὶ πρὸς τὰ ἄλλα ζῶα. καὶ γὰρ ὀπίσω κατὰ γονὺ κάμπτει, ὅκως ἄνθρωπος· καὶ μαζὸν πρὸς τῇσι μασχάλῃσι ἴσχει, ὅκως γυναῖκες.] Libri καὶ γὰρ ὀπίσω κοτὲ κατὰ γόνυ κάμπτει, quam lect. Crassum etiam vidisse ex eius Latinis patet. Mihi κοτέ vitiosae repetitioni sequentis κατά ortum debere videtur et delendum esse; κατὰ γόνυ κάμπτει tmesis est pro γόνυ κατακάμπτει. — Wiganum etiam in Latinis κοτέ omisisse iam video. — Quod ad mammas, habet omnino duas, easque pectorales, sicuti quadrupeda pachyderma omnia. Cuvier l. l. p. 230: «les mamelles, au nombre de deux seulement, placées sous la poitrine.» Ceterum fortasse quae de elephantis cruribus et mammis Aretaeus monet hausit ex Aristot. Hist. anim. II. 1. ubi philosophus: μαστοὺς δ᾽ οὐκ ἔχει οὐθὲν ἐν τῷ πρόσθεν ἀλλ᾽ ἢ ἄνθρωπος. Ὁ δ᾽ ἐλέφας ἔχει μὲν μαστοὺς δύο, ἀλλ᾽ οὐκ ἐν τῷ στήθει, ἀλλὰ πρὸς τῷ στήθει. — Et paulo inferius: κάμπτει δὲ (ὁ ἐλέφας) τὰ ὀπίσθια σκέλη ὥσπερ ἄνθρωπος. Vide quae ad l. l. adnotavit Schneiderus.

ἀλλ᾽ οὔ τι μοι χρέος τανῦν ἀμφὶ τοῦ ζώου γράφειν, πλὴν ὁκόσον ἔξαλλόν τι καὶ ἡ νοῦσος ὁ ἐλέφας καὶ ὁκόσα ἴκελα ἡ ἰδέη τοῦ νοσοῦντος ἴσχει τῇ τοῦ ζώου φυῇ.] Libri omnes πλὴν ὁκόσον ἐξ ἄλλων τε καὶ ἡ νοῦσος. Crassus quid legerit ex eius Latinis non coniicio; forte vulgatam vidit. — Nemo, puto, semel monitus dubitaverit, quin in ἐξ ἄλλων τε lateat ἔξαλλόν τι. Ego certe confidenter hoc in textum introduxi.

ἐκίκλησκον δὲ καὶ λέοντα τὸ πάθος τοῦ ἐπισκυνίου

Μέγα μὲν οὖν τὸ πάθος ἐς δύναμιν, κτεῖναι γὰρ πάντων μᾶλλον δυνατώτατον. ἀτὰρ καὶ ἰδέσθαι αἰσχρὸν καὶ δειματῶδες τὰ πάντα, ὡς ἐλέφας τὸ θηρίον. Ἀλλ᾽ ἄφυκτος ἡ νοῦσος, τίκτεται γὰρ θανάτου ἐπ᾽ αἰτίῃ· ψύξις ἐστὶ τοῦ ἐμφύτου θερμοῦ οὐ μικρά γε, ἢ καὶ πάγος, ὡς ἕν τι μέγα χεῖμα, εὖτε τὸ ὕδωρ τρέπεται ἐς χιόνα, ἢ καὶ χάλαζαν, ἢ κρύσταλλον, ἢ πάγον. ἥδε ἐστὶ ἡ ξυνὴ θανάτου καὶ τοῦ πάθεος αἰτίη. Ἀτὰρ οὐδὲ ἴσχει τέκμαρ οὐδὲν ἡ ἀρχὴ τῆς νούσου μέγα, οὐδέ τι ξενοπρεπὲς κακὸν τὸν ἄνθρωπον ἐπιφοιτῇ. οὐδὲ ἐπὶ τοῖσι ἐπιπολῆς τοῦ σκήνεος φαντάζεται, ὡς ἰδεῖν τε εὐθὺς καὶ ἀρχομένῳ ἀρῆξαι· ἀλλὰ τοῖσι σπλάγχνοισι ἐμφωλεῦσαν, ὅκως ἀΐδηλον πῦρ ἤδη τύφεται καὶ τῶν εἴσω κρατῆσαν αὖθίς κοτε ἐπιπολαίως ἐξάπτεται, τὰ πολλὰ μὲν ὅκως ἀπὸ σκοπιῆς, τοῦ προςώπου, ἀρχόμενον, τηλεφανὲς πῦρ κακόν. μετεξετέροισι δὲ ἀπὸ τοῦ ἄκρου ἀγκῶνος, γούνατος, κονδύλων χειρῶν τε καὶ ποδῶν. Τῇδε καὶ ἀνέλπιστοι οἱ ἄνθρωποι, ὅτιπερ ὁ ἰητρὸς οὐ πρὸς τὰς ἀρχὰς τὰς ἀσθενεστάτας τοῦ πάθεος τῇ τέχνῃ χρέεται, ῥαθυμίῃ καὶ ἀγνοίῃ τῶν καμνόντων τῆς ξυμφορῆς. Νωθέες μὲν γάρ, ὡς ἀπὸ σχεδίου προφάσιος, ὑπναλέοι, ἡσύχιοι, τὴν κοιλίην ἐπίξηροι. τάδε καὶ τοῖσι ὑγιαίνουσι κάρτα οὐκ ἀήθεα. Ἐπὶ δὲ τῇσι αὐξήσεσι τοῦ πάθεος, ἀναπνοὴ βρωμώδης, ἐκ τῆς ἔνδον διαφθορῆς τοῦ πνεύματος. τοιάδε ὁ ἀήρ, ἤ τι τῶν

τῆς ὁμοιότητος εἵνεκεν, ἣν ὕστερον φράσω. ἠδὲ σατυρίησιν τῶν τε μήλων τοῦ ἐρυθήματος καὶ τῆς ἐς συνουσίην ὁρμῆς ἀσχέτου τε καὶ ἀναισχύντου εἵνεκεν. ἀτὰρ καὶ ἡρακλεῖον, ὅτι τοῦδε μέζον οὐδὲν οὐδὲ ἀλκιμώτερον.] Libri τῆς ἐκ συνουσιῶν ὁρμῆς: reposui quod loci sensus sibi expostulat. In ἀσχέτου τε καὶ ἀναισχύντου quodammodo παρονομασία, quam vocant rhetores, inest. Illud εἵνεκεν pone ἀναισχύντου in libris non legitur; verum addidi e Scaligeri emendatione in margine exemplaris Henyschiani hoc adscribentis: idem ἠδέ ante σατυρίησιν, pro quo ἡ δέ in marg. Henyschii adnotatur, in οἱ δέ mutatum cupiit; equidem ἠδέ retineri posse puto. Quod ad varia morbi nomina attinet, cf. auctorem Isagoges p. 757. Kühn: τινὲς δὲ τῶν παλαιοτέρων εἰς ἓξ διαιροῦσι τὸ πάθος αὐτὸ, εἰς ἐλεφαντίασιν, λεοντίασιν, ὀφίασιν, λέπραν, καὶ ἀλωπεκίαν, καὶ λωβήν κ. τ. λ. et mox: λεοντιᾶν δέ φασι τοὺς ὀχθώδεις ἐπαναστάσεις ἔχοντας, ἢ καὶ οἰδηματώδεις καὶ πυῤῥωτέρους ὄντας δίκην λεόντων. Gal. περὶ τῶν παρὰ φύσιν ὄγκων p. 728. Kühnio: τοῦτο τὸ πάθος (i. e. ὁ ἐλέφας) ἀρχόμενον ὀνομάζουσι σατυριασμὸν, ἐπειδὴ τοῖς σατύροις ὅμοιοι γίγνονται τὸ πρόςωπον. Idem de Causis morb. p. 29. Kühn.: σιμοῦται μὲν γὰρ ἡ ῥὶς καὶ τὰ χείλη παχέα καὶ ἀπεξυσμένα τὰ ὦτα φαίνεται καὶ τὸ σύμπαν ὅμοιοι τοῖς σατύροις οἱ ἐλεφαντιῶντες γίγνονται. — Ceterum non memini me apud ceteros de rebus medicis auctores elephantiasin morbum Herculeum dictum videre.

ψύξις ἐστὶ τοῦ ἐμφύτου θερμοῦ οὐ μικρά γε, ἢ καὶ πάγος, ὡς ἕν τι μέγα χεῖμα, εὖτε τὸ ὕδωρ τρέπεται ἐς χιόνα κ. τ. λ.] Libri omnes οὐ μικρά τε, quod de meo emendavi, neque enim quadrat h. l. particula τέ. — Pro ἕν τι Goup. in v. l. ἔτι. — Aristoph. Plut. 402. ἑνί γέ τῳ τρόπῳ et 413. ἀλλ᾽ ἄνυε πράττων ἕν γέ τι.

οὐδὲ ἐπὶ τοῖσι ἐπιπολῆς τοῦ σκήνεος φαντάζεται, ὡς ἰδεῖν τε εὐθὺς καὶ ἀρχομένῳ ἀρῆξαι.] Libri omnes ἐπὶ τῇσι ἐπιπολῇσι τοῦ σκήνεος. — Schneiderus adeo in Lex. voce ἐπιπολῆς: «bey Aretaeus findet man alle Casus, auch 4. 13. ἐπὶ τῇσι ἐπιπολῇσι τοῦ σκήνεος.» Immo vero facillime librariorum error detegitur: Aretaeus ἐπὶ τοῖσι ἐπιπολῆς scripsit, quod alius librarius in ἐπὶ τοῖσι ἐπιπολῇσι, alius in ἐπὶ τῇσι ἐπιπολῇσι mutaverit; vel statim ortum vitium propter Iotacismum, quem vocant.

ὅκως ἀΐδηλον πῦρ ἤδη τύφεται.] Ἀΐδηλον O. ex H. Vulgo ἀΐδι (V. Pc. d. e. ἀΐδη, item Pb., ubi in marg. λον adponitur) πῦρ. — Wiganus: «ex Homero, inquit, vocem desumsisse videtur: Il. II. 455.

ἠΰτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην.»

τὰ πολλὰ μὲν ὅκως ἀπὸ σκοπιῆς, τοῦ προςώπου, ἀρχόμενον, τηλεφανὲς πῦρ κακόν.] Poëticas dictiones nostrum rursus usurpare, quivis videt: ἀπὸ σκοπιῆς Homericum est: Il. IV. 275.

ὡς δ᾽ ὅτ᾽ ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνήρ.

Od. IV. 524. τὸν δ᾽ ἄρ᾽ ἀπὸ σκοπιῆς εἶδε σκοπός. — Semel tantum apud Poëtam τηλεφανής obvium, non de igne: Od. XXIV. 83.: μέγαν καὶ ἀμύμονα τύμβον

χεύαμεν....

ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη.

πῦρ κακόν itidem fere Homericum: certe legis apud Poëtam: θάνατος.. κακός. Il. III. 173. νὺξ.. κακή. Od. XIV. 457.

ἥ τ᾽ ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.

Il. XVI. 687. — Πῦρ κακόν ipsum num apud Homerum occurrat, dubito.

κονδύλων χειρῶν τε καὶ ποδῶν.] Wiganus e nescio quo codice χειρέων recepit: idem vidi in Pc. d. e f.: at malui vulgatam lect. servare. — Nempe hac de re monuit Maitt. de Dial. p. 142. Ed. Sturz.; sed ex Herodoto iam ἀνδρέων et μυριαδέων exsulant, cf. Lex. Herod. — σαρκέων apud Hipp. de Cap. vulnn. p. 243. Ed. Littréo, at libri tres σαρκῶν: — μηνέων apud Lucianum non maiorem habet auctoritatem, minimam vero me iudice, si iuxta positos Genitivos in εων animadvertas; χειρέων unde adtulerit Maitt.; nunc non reperio, sed certo scio me in Hippocrate librorum lectionem inter χειρῶν et χειρέων fluctuantem vidisse.

ἔξωθεν, αἰτίην ἴσχειν δοκέει. Οὖρα παχέα, λευκὰ, θολερὰ, οἷον ὑποζυγίου. Ἀπὸ σιτίων, ὠμῶν τε καὶ ἀπέπτων ἡ ἀνάδοσις. καὶ οὔτε τουτέων ἐστὶ αἴσθησίς τε καὶ μελέτη. οὐδὲ γὰρ οὐδ' ἢν μὴ πέψωσι γιγνώσκουσι. ὁμοίη ἀπεψίη καὶ πέψις ἤδε· εἰς χρηστὸν γὰρ ἢ οἰκεῖον οὐ ξυνήθης αὐτέοισι ἡ πέψις, ἀνάδοσις δὲ ῥηϊδίη, ὅκως ἐς τὴν ἑωυτέου τροφὴν ἁρπάγδην ἕλκοντος τοῦ πάθεος. διὰ τόδε ἐπίξηροι τὴν κάτω κοιλίαν. Ὄχθοι ἐπανιστάμενοι ἄλλοι παρ' ἄλλους, ξυνεχέες μὲν οὐδέκω, παχέες δὲ, καὶ τρηχέες. καὶ τὸ μεσηγὺ τῶν ὄχθων ἔῤῥηκται, ὅκως τὸν ῥινὸν ἐλέφας. Εὐρεῖαι δὲ καὶ φλέβες, οὐ πλημμύρῃ τοῦ αἵματος, ἀλλὰ τῷ τοῦ δέρματος πάχεϊ. Οὐκ ἐς πολλὸν δὲ καὶ ἕδρα δήλη, τοῦ παντὸς ἐς ἶσον ὄχθον ἐγειρομένου. Τρίχες ἐν μὲν τῷ παντὶ προτεθνήσκουσι, χερσὶ, μηροῖσι, κνήμῃσι· αὖθις ἥβῃ, γενείοισι· ψεδναὶ δὲ καὶ ἐπὶ τῇ κεφαλῇ κόμαι. τὸ δὲ μᾶλλον πρόωροι πολιοὶ καὶ φαλάκρωσις ἀθρόη. οὐκ ἐς μακρὸν δὲ ἥβη καὶ γένειον ψιλά· εἰ δὲ καὶ ἐπιμίμνοιεν παῦραι τρίχες, ἀπρεπέστεραι τῶν ἀποιχομένων. Δέρμα τῆς κεφαλῆς κατεῤῥωγὸς εἰς βάθος· ῥυτίδες συχναὶ, βαθεῖαι, τρηχεῖαι. Ὄχθοι ἐς τὸ πρόσωπον, σκληροὶ, ὀξέες· ἄλλοτε μὲν ἐς κορυφὴν λευκοὶ, ποιωδέστεροι δὲ τὴν βάσιν. Σφυγμοὶ σμικροὶ, βαρέες, νωθροὶ, ὅκως διὰ ἰλύος μόλις κινεύμενοι. Φλέβες κροτάφων ἐπηρμέναι καὶ ὑπὸ τῆς γλώσσης. κοιλίαι χολώδεες. γλῶσσα χαλα-

ἀναπνοὴ βρωμώδης.] Cett. *βρομώδης.*

ἐκ τῆς ἔνδον διαφθορῆς τοῦ πνεύματος.] Libri: *ἐκ τῆς ἔνδον ἀναφορῆς τοῦ πνεύματος.* — Crassus: « ob interni spiritus exhalationem." Idem in Latinis suis servavit editor Anglus: at vero ne hoc quidem significant Graeca ista. *Ἡ ἔνδον ἀναφορὴ τοῦ πν.* absurdum est: aliquid certe esset *ἡ ἔνδοθεν ἀναφορὴ τοῦ πν.* sed neque hoc voluit auctor, qui procul dubio scripsit *ἐκ τῆς ἔνδον διαφθορῆς τοῦ πνεύματος.* Confusio orta e proxime antecedente *ἀναπνοή*, unde, praepositione perperam ad *διαφθορή* translata, librarii *ἀναφθορῆς* et *ἀναφορῆς* dederunt.

οὖρα ... οἷον ὑποζυγίου.] Noster *οὖρα παχέα, λευκὰ, θολερὰ, οἷον ὑποζυγίου*: Saepius apud Hipp. in Epid. I. et III. illud *οἷον ὑποζυγίου* legitur. Divinus senex in primis *ἀνατεταραγμένα, οἷον ὑποζυγίου* usurpat. Cf. Oecon. Hipp.

ἀπὸ σιτίων, ὠμῶν τε καὶ ἀπέπτων ἡ ἀνάδοσις. καὶ οὔτε τουτέων ἐστὶ αἴσθησίς τε καὶ μελέτη· οὐδὲ γὰρ οὐδ' ἢν μὴ πέψωσι γιγνώσκουσι. ὁμοίη ἀπεψίη καὶ πέψις ἤδε εἰς χρηστὸν γὰρ ἢ οἰκεῖον οὐ ξυνήθης αὐτέοισι ἡ πέψις.] Pro *ἀπὸ σιτίων* libri omnes *ἀφροδισίων*, quam lect. vidit etiam Crassus. — Petitus et Wiganus *σιτίων* legere voluere. Sed collatis ipsis verbis nostri, quae editor Anglus etiam adscripsit, *εὔσιτοι μὲν πολλῶν σιτίων. ἀνάδοσις ταχυτέρη πέψιος, ὠμοτέρων μᾶλλον ἢ ἀπέπτων* e cap. de cachexia; — his, inquam, collatis malui *ἀπὸ σιτίων*, quod Trillerus etiam desiderat: neque enim *σιτίων* ipsorum *ἀνάδοσις* obtinet, sed succorum e cibis *πέψι* paratorum. Tum vero facilius iam verborum permutatio intelligi videtur. — Verba *οὐδὲ γὰρ οὐδ' ἢν μὴ πέψωσι γιγνώσκουσι* ex Editione Oxon. nescio quo modo exciderant: quod quum primo non animadvertissem, prope abfui quin totum locum everterem! — Libri *ὁμοίη ἀπεψίη καὶ πέψιος ἤδε* sensu plane nullo: itaque reposui *πέψις.* — Minus placet Bernardi coniectura in vita Reiskii p. 269. *καὶ πέψιος ἰδέη*, quippe vix aliquid significat.

ἀνάδοσις δὲ ῥηϊδίη, ὅκως ἐς τὴν ἑωυτέου τροφὴν ἁρπάγδην ἕλκοντος τοῦ πάθεος.] Ῥηϊδίως H. G. v. l. Pc. d. — Libri omnes *ἑωυτέων*; sing. num. dandum esse dudum vidit Wiganus.

καὶ τὸ μεσηγὺ τῶν ὄχθων ἔῤῥηκται, ὅκως τὸν ῥινὸν ἐλέφας.] Libri *ἐῤῥεῖτο*, Petitus vitium agnovit et *ἔῤῥηκται* legendum esse monuit, quod Crassum Latine expressisse monet Scaligerus in marg. exemplaris Henyschiani: *τὸ ῥινόν* libri plurimi, *τὸν ῥ.* H. et ita corrigitur in Pb. — Non opus est Petiti coniectura *ἐλέφαντος.*

εὐρεῖαι δὲ φλέβες.] Pro *εὐρεῖαι* A. *ἔρεα* V. *ἔρια* Pc. d. e. *ἔριαι* et Pb. *αἴρια*, et in marg. *αἴρονται.* — Verum est *εὐρεῖαι* me iudice. — A. *δὲ καὶ φλέβες.*

οὐκ ἐς πολλὸν δὲ καὶ ἕδρα δήλη, τοῦ παντὸς ἐς ἶσον ὄχθον ἐγειρομένου.] Pro *δήλη* libri omnes *δηλοῖ.* Illud *καὶ ἕδρα δηλοῖ* merito offendit Petitum, qui *οὐκ ἐς πολλὸν δὲ καὶ διάδηλοι* desiderat. — Equidem cogitans quam saepe *η* et *οι* apud nostrum a librariis permutentur (v. c. in monstro lectionis *ἐμπύη* pro *ἔμπυοι* supra in cap. *περὶ φθίσιος*), reposui *δήλη.* — Crassus etiam vulgatam vidit. — Vulgo *εἰς*, sed *ἐς* O. Pa. b.; — item mox in *οὐκ ἐς μακρόν.*

τρίχες ἐν μὲν τῷ παντὶ προτεθνήσκουσι, χερσὶ, μηροῖσι, κνήμῃσι· αὖθις ἥβῃ, γενείοισι· ψεδναὶ δὲ ἐπὶ τῇ κεφαλῇ κόμαι.] Libri omnes: *γενείοισι ἀραιαὶ, ψεδναὶ δὲ κ. τ. λ.* — Vere monet Petitus *ψεδναί* idem quod *ἀραιαί* significare, adducens Homeri verba ex Il. II. 219. *ψεδνὴ δ' ἐπενήνοθε λάχνη.* — Sed propter id ipsum *ἀραιαί*, tanquam glossema, loco nostro expellendum est et puncto minore distinguendum pone *γενείοισι.*

δέρμα τῆς κεφαλῆς κατεῤῥωγὸς εἰς βάθος· ῥυτίδες συχναὶ, βαθεῖαι, τρηχεῖαι.] Libri *ῥύπεϊ δὲ συχναί.* H. V. G. v. l. *ῥύπτει δὲ σ.*: item Pa. b. c. d. et b. in marg. *θρύψιες.* Crassus « rimae autem frequentes." Petitus forte ad Crassi Latinorum ductum *ῥυτίδες συχναί.* Wiganus substantivum deficere opinatus est. — Rem acu tetigisse illum, quivis videt; adposuit infra obvium *ῥυσοὶ τὸ πᾶν σκῆνος ῥυτίσι τρηχείῃσι.*

ἄλλοτε μὲν ἐς κορυφὴν λευκοὶ, ποιωδέστεροι δὲ τὴν

ζώδεσι ἰόνθοισι τρηχεῖα· οὐκ ἀδόκητον καὶ τὸ ξύμπαν σκῆνος ἔμπλεων τοιῶνδε ἔμμεναι· καὶ γὰρ καὶ τοῖσι κακοχύμοισι ἱερείοισι τὰ κρέα χαλάζης ἐστὶ ἔμπλεα. Ἢν δὲ πολλὸν αἴρηται ἀπὸ τῶν ἔνδοθεν ἡ πάθη, καὶ ἐπὶ τοῖσι ἄκροισι φαίνηται, λειχῆνες ἐπὶ τοῖσι δακτύλοισι· γούνασι κνησμοὶ, καὶ τῶν κνησμῶν ἅπτονται μεθ' ἡδονῆς. ἀμπίσχει δὲ ὁ λειχὴν καὶ γένειόν κοτε ἐν κύκλῳ. ἐρευθῆ δὲ καὶ μῆλα ξὺν ὄγκῳ οὐ κάρτα μεγάλῳ. Ὄττιες ἀχλυώδεες, χαλκώδεες· ὀφρύες προβλῆτες, παχεῖαι, ψιλαὶ, βρίθουσαι κάτω, μεσοφρύων ξυνηγμένων ὀχθώδεες. χρῶμα πελιδνὸν ἢ μέλαν. ἐπισκύνιον οὖν μέγα ἕλκεται κάλυπτον ὄσσε, ὅκως τοῖσι θυμουμένοισι λέουσι· διὰ τόδε καὶ λεόντειον κικλήσκεται. τοιγαροῦν οὐ λέουσι, οὐδὲ ἐλέφαντι μοῦνον, ἀλλὰ καὶ

νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια.

Ῥὶς ξὺν ὄγκοισι μέλασι, ὀκριοειδής· χειλέων προβολὴ παχείη, τὸ δὲ κάτω πελιδνόν· ἔκρινες· ὀδόντες οὐ λευκοὶ μὲν, δοκέοντες δὲ ὑπὸ μέλανος τοῦ ἄλλου σώματος. ὦτα

βάσιν.] Supra capite 9. huius libri ἄλλοτε μέν dedere libri loco ita se habente, ut ἄλλοτε δέ de coniectura interponerem, hic res se secus habet, nec credo quidquam deficere; sed valent haec: ἔσθ' ὅτε ἐς κορυφὴν μὲν λευκοὶ, ποιωδέστεροι δὲ τὴν βάσιν.

καὶ γὰρ καὶ τοῖσι κακοχύμοισι ἱερείοισι τὰ κρέα χαλάζης ἐστὶ ἔμπλεα.] Adponit Petitus locum ex Aristot. Hist. Animal. VIII. 21.: χαλαζώδεις δέ εἰσι τῶν ὑῶν αἱ ὑγρόσαρκοι τά τε περὶ τὰ σκέλη καὶ τὰ περὶ τὸν τράχηλον καὶ τοὺς ὤμους· ἐν οἷς μέρεσι καὶ πλεῖσται γίγνονται χαλάζαι· κἂν μὲν ὀλίγας ἔχῃ, γλυκερὰ ἡ σάρξ· ἂν δὲ πολλὰς, ὑγρὰ λίαν καὶ διάχυλος γίγνεται. Δῆλαι δέ εἰσιν αἱ χαλαζῶσαι· ἔν τε γὰρ τῆς γλώττης τῷ κάτω ἔχουσι μάλιστα τὰς χαλάζας· καὶ, ἐάν τις τρίχας ἐκτίλλῃ ἐκ τῆς λοφιᾶς, ὕφαιμοι φαίνονται. Ἔτι δὲ τὰ χαλαζῶντα τοὺς ὀπισθίους πόδας οὐ δύνανται ἡσυχάζειν. Οὐκ ἔχουσι δὲ χαλάζας, ἕως ἂν ὦσι γαλαθηναὶ μόνον· ἐκβάλλουσι δὲ τὰς χαλάζας ταῖς τίφαις· ὃ καὶ πρὸς τὴν τροφήν ἐστι χρήσιμον...... Χαλαζοῦται δὲ μόνον τῶν ζώων, ὧν ἴσμεν, ὗς. — Operae pretium est ea contulisse quae ad h. l. adnotavit Schneiderus in Ed. sua Vol. III. p. 655.

ἢν δὲ πολλὸν αἴρηται ἀπὸ τῶν ἔνδοθεν ἡ πάθη καὶ ἐπὶ τοῖσι ἄκροισι φαίνηται, λειχῆνες ἐπὶ τοῖσι δακτύλοισι.] Αἴρῃ τι dant libri, pro quo αἴρηται legendum esse dudum viderunt Petitus et Wiganus. Crassus: « Sin autem valde ab intimis partibus erumpit morbus," — Libri φανῆται, in Pc. d. φανεῖται legitur; neutrum verum, vulgata vix Graeca videtur, reposui φαίνηται, quod superiori αἴρηται egregie respondet.

ἐρευθῆ δὲ καὶ μῆλα ξὺν ὄγκῳ οὐ κάρτα μεγάλῳ.] Vulgo ἐρεύθει, Pa. d. f. ἐρευθεῖ. sed H. Pe. ἐρευθῆ, quod ex illo libro iam recepit Wiganus. Mihi non placet Petiti opinio: « ἐρεύθει δὲ τὰ μῆλα. Refertur, inquit, id verbum ad λειχήν, *rubefacit malas.* Male in Crassi versione *rubent malae.*" Est ἐρευθής saepius apud nostrum obvium. — Crassus legit, quod ex H. dudum recepit editor Anglus.

ὄττιες ἀχλυώδεες, χαλκώδεες.] Hunc locum adfert Alberti ad Hesych. voce ὄττις, ὄψεις. Cf. Koen. ad Greg. Cor. Hesychii locum citantem p. 475. — Vocatne ὄττιας χαλκώδεας, τὰς ἐρυθράς, quia Homerus τὸν χαλκὸν ἐρυθρόν appellat? (Il. IX. 365.)

ἐπισκύνιον οὖν μέγα ἕλκεται κάλυπτον ὄσσε, ὅκως τοῖσι θυμουμένοισι λέουσι· διὰ τόδε καὶ λεόντειον κικλήσκεται. τοιγαροῦν οὐ λέουσι οὐδὲ ἐλέφαντι μοῦνον, ἀλλὰ καὶ

νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια.]

Libri ferunt ἐπισκύνιον οὐ μέγα ἕλκεται καλύπτειν (καλύπτον H. V. O.) ὄσσε, ὅκως τοῖς θυμουμένοις, ἢ λέουσι· διὰ τόδε, καὶ λεόντιον (λεόντειον V.) κικλήσκεται. τοιγαροῦν οὐ λέουσι, οὐδὲ ἐλέφαντι μοῦνον ἀλλὰ καὶ νυκτὶ θοῇ ἀταλάντῳ (ἀτάλαντον Pb.) ὑπώπια. — Wiganus haec adscripsit: « οὐ vel redundat, vel οὖν legi debet. Horum enim supercilium Leonis supercilio comparat, Homeri versiculum de Leone ante oculos habens,

πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων.

(Il. P. 136.) ideoque in proxima linea legere velim pro θυμουμένοις, ἢ λέουσι — θυμουμένοισι λέουσι." Certissimas emendationes omnino recipere oportebat. Scaligerus οὐ in ὂν mutavit in marg. Hen. exempl. Pro codd. lect. ἀταλάντῳ Petitus vult ἀτάλαντον. « Refertur, inquit, ad praecedens τόδε: supple πάθος." — Melius Wiganus ἀτάλαντος legere suadet ex Il. XII. 463, ubi de Hectore:

νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια, λάμπε δὲ χαλκῷ.

Quaeri forsitan possit, num ἀτάλαντοι Aretaeus dederit, versum non seorsim scribens sed continuo Homeri verba inter sua interponens.'

ῥὶς ξὺν ὄγκοισι μέλασι, ὀκριοειδής.] Vulgo σύν sed O. Pb. ξύν. — Libri ὀκριοειδέες. — Primo quidem animus erat corrigere ὀκριόεισι, vel ὀκριοειδέσι: postea vero, conferens Il. IV. 518. χερμαδίῳ... ὀκριόεντι, credidi propius ad codd. lectionem me accedere posse et ὀκριοειδής scribere, ita ut epitheton ad ῥίς, non ad ὄγκοισι referrem.

ὀδόντες οὐ λευκοὶ μὲν, δοκέοντες δὲ ὑπὸ μέλανος τοῦ ἄλλου σώματος.] Libri omnes δοκέοντες δὲ ὑπομέλανες. — Crassus: « dentes non albi sunt, sed nigricare videntur." Locus autem asterisco notatur. — Petitus ad vulgatam lect. et Crassi interpretationem adscribit: « Atqui non haec mens Aretaei; sed dentes non esse quidem candidos, videri tamen propter nigredinem reliqui corporis. Ita igitur legenda et distinguenda haec sunt: ὀδόντες οὐ λευκοὶ μὲν, δοκέοντες δὲ ὑπὸ μέλανος, prae nigredine aliarum, scilicet oris partium. Deesse aliquid puto." — Equidem cum Petito plane consentio et supplevi τοῦ ἄλλου σώματος.

ὦτα ἐρυθρὰ, μελανοέντα, κεκλασμένα, ἐλεφαντώδεα, ὡς δοκέειν μέγεθος ἴσχειν μέζον τοῦ ξυνήθεος.] Libri in

ἐρυθρὰ, μελανόεντα, κεκλασμένα, ἐλεφαντώδεα, ὡς δοκέειν μέγεθος ἴσχειν μέζον τοῦ ξυνήθεος· ἕλκεα ἐπὶ τῇσι βάσεσι τῶν ὤτων, κνησμώδεα· ἰχῶρος ῥῦσις. Ῥυσοὶ τὸ πᾶν σκῆνος ῥυτίσι τρηχείῃσι· ἀτὰρ καὶ ἐντομαὶ βαθεῖαι, ὁκοῖον αὔλακες μέλανες, τῶν ῥινῶν. διὰ τόδε καὶ ἐλέφας τοῦ πάθεος τοὔνομα. ἰχνέων καὶ πτερνέων μέσφι τῶν μέσων τῶν δακτύλων ῥήξιες. Ἢν δὲ ἐπὶ μᾶλλον αὔξῃ τὸ κακὸν, ἑλκώδεες τοὺς ὄχθους· μήλων, γενείου, δακτύλων, γονάτων κάκοδμα καὶ ἀναλθέα τὰ ἕλκεα. ἄλλα γὰρ ἐπ' ἄλλοισι ἐξανίσταται, καὶ ἐπ' ἄλλοισι ἄλλα πρηΰνεται. Ἤδη κοτὲ καὶ τῶν μελέων προαποθνήσκει τοῦ ἀνθρώπου ἄχρι ἐκπτώσιος, ῥὶς, δάκτυλοι, πόδες, αἰδοῖα καὶ ὅλαι χεῖρες. οὐδὲ γὰρ θανατοῖ τὸ κακὸν εἰς ἀπαλλαγὴν βίου αἰσχροῦ καὶ ἀλγέων δεινῶν πρόσθεν ἢ ἐς μέλεα διατμηθῆναι τὸν ἄνθρωπον. ἀλλὰ μακρόβιόν ἐστι, ὅκως ἐλέφας τὸ ζῶον. Ἢν δὲ καὶ ἄλγος ἀρτίως ἔῃ τῶν μελέων, πολλόν τι ἐπικόπτει βαρύτερον ἄλλῃ καὶ ἄλλῃ πλανεύμενον. σιτίων ὄρεξις οὐκ ἀγεννής· ἄποιος δ' ἡ γεῦσις, οὐδὲ τερπνὸν ἡ ἐδωδὴ καὶ ἡ πόσις· ἁπάντων δὲ, ὑπ' ἀχθηδόνος, μῖσος· ἀτροφίη· ἀφροδισίων ἐπιθυμίη λυσσώδης. Κόποι αὐτόματοι· μελέων ἑκάστου ἰδίῃ βάρεα, καὶ τὸν ἄνθρωπον ἀχθέει καὶ τὰ σμικρὰ μέλεα. Ἀτὰρ καὶ τὸ σῶμα πρὸς ἅπαντα ἄχθεται· οὐ λουτροῖσι τέρπεται, οὐκ ἀλουσίῃ· οὐ τροφῇ, οὐκ ἀσιτίῃ· οὐ κινήσι, οὐκ ἠρεμίῃ. πᾶσι γὰρ ἐφέστηκε ἡ νοῦσος. Ὕπνος λεπτὸς, ἀγρυπνίης κακίων φαντασίη· δύσπνοια καρτερή· πνῖγες, ὡς ἀπ' ἀγχόνης. ὧδε γοῦν τινὲς κατέστρεψαν τὸν βίον, νήγρετον ὕπνον ἐς θάνατον εὕδοντες.

his *κεκλεισμένα*. — Eandem lect. vidit Crassus. — Wiganus: «Malim, inquit, *κεκλασμένα*, *fissa*, *fracta*; sicut totum elephanti corium apparet." — Equidem quin *κεκλασμένα* srcipserit auctor, nullus dubito, sed alio modo vocem accipio: nimirum puto Aretaeum significare hoc morbo laborantium aures superne inflexas esse, ita ut pars superior ad latera propendeat.

ἕλκεα ἐπὶ τῇσι βάσεσι τῶν ὤτων κνησμώδεα, ἰχῶρος ῥῦσις.] Libri *τῶν ὤτων, ἰχῶρος ῥύσις, κνησμώδεα.* — Idem legit Crassus. — Malui voces transponere, nam his in rebus sexcenties peccant librarii. — Et vero *ῥῦσις* pro *ῥύσις* reposui; vult enim *ῥεῦσις*.

ἀτὰρ καὶ ἐντομαὶ βαθεῖαι, ὁκοῖον αὔλακες μέλανες τῶν ῥινῶν.] Schneid. in Lex. voce *ῥινός*: «im plur. inquit, poët. *ῥινά*. Anal." Ipsum locum inspiciendi copia mihi nunc non datur.

διὰ τόδε καὶ ἐλέφας τοῦ πάθεος τοὔνομα. ἰχνέων καὶ πτερνέων μέσφι τῶν μέσων τῶν δακτύλων ῥήξιες.] Vulgo *τοῦτο*, sed *τόδε* praebent V. Pa *b. e. f.* — Libri paene omnes *ὁ ἐλέφας*, unius H. auctoritate omisi articulum. — Vulgo *μέσφι τῶν μέσων* (*μέσῳ* V.) *τῶν δακτύλων ῥ.* — H. *μέσφι τῶν δακτύλων μέσων.* — Cap. de s. *ἐμπυϊκῶν* legis: *ἐς ἕν τι τῶν μέσων πλευρῶν.*

καὶ ἐπ' ἄλλοισι ἄλλα πρηΰνεται.] *Καί* h. l. in antiquioribus Edd. et in Kühniana, quae ad exemplar Lugduno-Batavum expressa est, deëst; additur in O. et vero additum vidi in Pa. *b. e. f.*

ἄχρι ἐκπτώσιος.] Ἄχρις Pa. *b.*

ἢν δὲ καὶ ἄλγος ἀρτίως ἔῃ τῶν μελέων.] Pe. *d. f.* *εἰ δὲ καὶ ᾖ ἄ.*

ἐπικόπτει.] H. V. A. Pa. *c. d. e. f.* *ἐπικοπείς.* Pb. *ἐπικοπῆς.* — Itaque de coniectura Goupyli, uti videtur, *ἐπικόπτει.*

ἐπικόπτει βαρύτερον ἄλλῃ καὶ ἄλλῃ πλανεύμενον. σιτίων ὄρεξις οὐκ ἀγεννής.] *Πλανευμένων σιτίων* libri; dudum emendavit Wiganus. — Crassus vulgatam vidit.

ἄποιος δ' ἡ γεῦσις.] Δ' de meo interposui: nempe antithesis est in *ὄρεξις οὐκ ἀγεννής· ἄποιος δ' ἡ γεῦσις.*

ἁπάντων δὲ ὑπ' ἀχθηδόνος μῖσος.] In Edd. antiquioribus *μίσος* (sic) ad quod nomen Scaligerus in marg. Ed. Henysch. adponit *μύσος* (sic). Sed cap. 6. huius libri *μῖσος καὶ ἀποστροφὴ τῶν γευμάτων* et paulo, post *καὶ φυγὴ καὶ μῖσος σιτίων.* — Itaque nihil muto.

ἀφροδισίων ἐπιθυμίη λυσσώδης.] Ἀφροδισίων in libris scriptis deëst et a Crasso in Latinis omissum. Wiganus supplendum esse monuit in adnn. Putat nescio quo casu a librario h. l. omissum vocabulum, supra perperam insertum esse, ubi pro *ἀφροδισίων* reposui *ἀπὸ σιτίων.*

μελέων ἑκάστου ἰδίῃ βάρεα.] Legebatur *μελέων ἑκάστου ἰδέη βαρεῖα* (*βαρέα* Pa. *b. c. d.*), quam lect. vidit etiam Crassus. — Confer verba e cap. superiore: *καὶ ξυμπάντων τε ὁμοῦ πόνος καὶ ἰδίῃ ἑκάστου ὀδύνη.* — Noster autem initio eorum, quae de capite de Epilepsia supersunt, *τενόντων βάρεα* plurali numero.

ἀχθέει.] Ἀϋχθής H. V. *ἀϊχθής* A. Pa. *b. c. d. f.* *ἀ.. ἰ.. χθῆς ...... καὶ* Pd. *e.* Itaque *ἀχθέει* coniectura Goupyli esse videtur.

πᾶσι γὰρ ἐφέστηκε ἡ νοῦσος.] Wiganus «an recte?" quaerit. — Non perspicio, quare de his dubitet.

ὕπνος λεπτὸς, ἀγρυπνίης κακίων φαντασίη.] Libri *ἀγρυπνίη κακίων ἐν φαντασίῃ*: verissime monuit Wiganus *ἀγρυπνίης* legendum esse, sed pergere debuerat et otiosum *ἐν*, quod saepius librariorum munificentiae in hoc auctore debetur, expellere.

νήγρετον ὕπνον ἐς θάνατον εὕδοντες.] «Haec verba, inquit Wiganus, unius versus finem, alterius principium esse existimo." — Equidem certo affirmare non audeo: sed Homeri versus respicit ex Od. XIII. 79.

Τοιούςδε οὖν ἐόντας, τίς οὐκ ἂν Φύγοι, ἢ τίς οὐκ ἂν ἐκτραπείη, κἢν υἱὸς, ἢ πατὴρ ἔῃ, κἢν κασίγνητος τύχῃ; δέος καὶ ἀμφὶ μεταδόσιος τοῦ κακοῦ. Πολλοὶ γοῦν ἐπ' ἐρημίης καὶ ἐς ὄρεα τοὺς Φιλτάτους ἐξέθεσαν, οἱ μὲν ἐς χρόνον ἐπαρήγοντες τῷ λιμῷ, οἱ δὲ ἥκιστα, ὡς σφέας ἐθέλοντες ἐκθανεῖν. Λόγος δὲ, ὡς τῶν ἐπ' ἐρημίης ἀφιγμένων τὶς ἐξερπύσαντα ἐκ τῆς γῆς ἔχιν ἰδὼν, ὑπ' ἀνάγκης τοῦ λιμοῦ, ἢ τῷ πάθεϊ ἀχθεσθεὶς, ὡς ἀμείψασθαι τὸ κακὸν κακῷ, ζῶντος ἐνέφαγε τοῦ ἔχιος, καὶ οὐ πρόσθεν ἐτελεύτησε πρὶν ἢ πάντα αὐτῷ διασαπῆναι καὶ ἀποστῆναι τὰ μέλεα. Ἄλλον δὲ ἰδεῖν ἔχιν ἐς πίθον γλεύκεος ἑρπύσαντα, πιόντα τε τοῦ γλεύκεος ἐς κόρον ἀποβλύσαι, πολλὸν δὲ καὶ τοῦ ἰοῦ συνεκχεῖν τῷ γλεύκεϊ. ἐπεὶ δὲ ἀπεπνίγη τὸ θηρίον ἐν τῷ γλεύκεϊ, χανδὸν καὶ πολλὸν τοῦ γλεύκεος πιεῖν τὸν ἄνθρωπον, ἀπαλλαγὴν τοῦ βίου καὶ τοῦ πάθεος διζήμενον. Ὡς δὲ ἐς κόρον ἧκε καὶ μέθην, ἐκεῖτο μὲν χαμαὶ τὰ πρῶτα, ὅκως ἀποθνήσκων. ἐπεὶ δὲ ἐκ τοῦ κάρου καὶ τῆς μέθης ἐξήγρετο, περιεῤῥύησαν μὲν τὰ πρῶτα αἱ κόμαι, ἔτι δὲ δάκτυλοί τε καὶ ὄνυχες, ἑξῆς δὲ περιετετήκεσαν πάντα. Ἐπεὶ δὲ ἔτι ἐν σπέρματι ἡ δύναμις ἦν, ἐκηροπλάστεε αὖθις, ὅκως ἐκ γενετῆς, τὸν ἄνθρωπον ἡ Φύσις· ἐξέθρεψε μὲν ἄλλας κόμας, καὶ ὄνυχας νέους καὶ σάρκα καθαρήν· καὶ ἐξέδυ μὲν τὸν παλαιὸν ῥινὸν, ὡς γῆρας ἑρπετοῦ· ἐπανεκλήθη δὲ ἐς Φῦμα ζωῆς, ὅκως ἄλλος ἄνθρωπος. Ὅδε μὲν οὖν ὁ μῦθος οὐ κάρτα μὲν ἀτρεκὴς, οὐ πάγχυ δὲ ἄπιστος, κακὸν γὰρ κακῷ βλαφθῆναι, πιστόν· τὴν Φύσιν δὲ ἐπὶ τῷ ἐόντι ζωπύρῳ ἀνανεῶσαι τὸν ἄνθρωπον, οὐκ ἄπιστον ἐς τέρατος ἰδέην.

καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν
νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.

οἱ δὲ ἥκιστα, ὡς σφέας ἐθέλοντες ἐκθανεῖν.] Legebatur *οἱ δὲ ὡς ἥκιστα σφέας ἐ. ἐ.* — De voculis transponendis monuit Petitus. — Volunt nempe propter contagii metum: *δέος καὶ ἀμφὶ μεταδόσιος τοῦ κακοῦ*, inquit Aretaeus. — Galenus: de rem. simpl. XI. 1. de hoc morbo laborante quodam: *μέχρι μέν τινος ὁμοδίαιτος ἦν τοῖς συνήθεσιν, ἐπεὶ δ' ἐκ τῆς πρὸς αὐτὸν κοινωνίας τε καὶ ὁμιλίας ἐκοινώνησαν μὲν ἔνιοι τοῦ πάθους κ. τ. λ.*

ἐς πίθον... ἐς κόρον.] Ἐς O. Pa. *b.* utroque loco, *εἰς* cett. — Ad *πιόντα τε τοῦ γλεύκεος ἐς κόρον* Petitus adponit locum ex Arist. Hist. An. VIII. 6: *οἱ δὲ ὄφεις καὶ πρὸς τὸν οἶνόν εἰσιν ἀκρατεῖς· διὸ θηρεύουσί τινες καὶ τοὺς ἔχεις εἰς ὀστράκινα διατιθέντες οἶνον εἰς τὰς αἱμασιάς· — λαμβάνονται γὰρ μεθύοντες.* Cf. Plin. X. 93: «Serpentes, cum occasio est, vinum praecipue appetunt, cum alioqui exiguo indigeant potu.” — Idem quoque monet historiam h. l. ab Aretaeo traditam etiam legi apud Gal. de rem. simpl. XI. 1. — Totum illud caput ad universum hunc Aretaei locum conferre est operae pretium. — Unum casum ex iis, quos refert Galenus, transtulit in suum opus Aëtius cap. 170. libri 2. Tetrab. I. Minus vere igitur Wiganus refert ipsum Aëtium hominem vidisse!

ἐπεὶ δὲ ἀπεπνίγη τὸ θηρίον ἐν τῷ γλεύκεϊ, χανδὸν καὶ πολλὸν τοῦ γλ. κ. τ. λ.] In his *ἐπειδὴ ἀ.* Pc. *e.* *χανδὸν δὲ καὶ πολλόν* Pe. *f.*.

ἑξῆς δὲ περιετετήκεσαν πάντα.] Libri *περιτετήκεισαν.* Pf, *περιτετήκεσαν.* Itaque huic formae augmentum adscripsi.

τὸν παλαιὸν ῥινόν.] Sic O. ex H. Vulgo *τὸ π. ῥῆνος* (Pb. *ῥῖνος*). — Quod ad seq. *ὡς γῆρας ἑρπετοῦ*, cf. Hesych. *γῆρας. ὄφεως δέρμα.* Latine eodem sensu *senecta*, apud Plin. v. c. XXVIII. 48. — XX. 95.

ἐπανεκλήθη δὲ ἐς Φῦμα ζωῆς.] Sic H. V. G. v. l. O. Pa. *b. e. f.* Ceteri *δὲ ὡς ἐς Φ. ζ.*

ὅδε μὲν οὖν ὁ μῦθος.] Ita de meo scripsi: cett. *ὧδε ... ὁ μῦθος* minus apte.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

ΠΕΡΙ

ΟΞΕΩΝ ΝΟΥΣΩΝ ΘΕΡΑΠΕΥΤΙΚΟΝ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

ΠΡΟΟΙΜΙΟΝ.

Ὀξεῶν νούσων ἄκεα ξυναφέα τῇσι σημηΐων ἰδέῃσι, ἀμφὶ ὧν τοῖσι ξυγγράμμασι, ἅσσα μοι πρόσθεν γεγράφαται. Ὁκόσα μὲν ὧν ἐν πυρετῶν θεραπείῃ γίγνεται, κατά τε τὴν τούτων διαφορὴν, καὶ κατὰ τὴν τῶν νοσημάτων ἰδέην, καὶ τὴν ἐν αὐτοῖς ποικιλίην, τουτέων τὰ πλείω ἐν τοῖσι ἀμφὶ πυρετῶν λόγοισι λελέξεται. Ὁκόσα δὲ ξὺν πυρετοῖσι ὀξέα γίγνεται πάθεα, ὁκοῖον ἡ φρενῖτις· ἢ ἄνευθε πυρετῶν, ὁκοῖον ἀποπληξίη· ἀμφὶ τῶνδε μοῦνον τὰ ἄκεα φράσω, ὡς μὴ διαμαρτάνειν, μηδὲ μακρηγορέειν, ἕτερα ἐν ἑτέροισι γράφοντα. Ἀρχὴ δὲ ἡ ὡυτὴ, ἥ καὶ ἀμφὶ τῶν παθέων, καὶ τελευτὴ ἡ ὡυτή.

ΘΕΡΑΠΕΙΑ ΦΡΕΝΙΤΙΚΩΝ.

Κεφ. α΄.

Κατακεκλίσθαι χρὴ τὸν νοσέοντα ἐν οἴκῳ εὐμέτρῳ, εὐκρήτῳ. χειμῶνος μὲν, ἐν ἀλέῃ· θέρεος δὲ, ἐν ψύχεϊ νοτερῷ· ἔαρος δὲ καὶ φθινοπώρου, πρὸς τὰς ὥρας τεκμαίρεσθαι. Ἔπειτα ἡσυχίην ἄγειν κελεύειν, καὶ αὐτὸν τὸν νοσέοντα, καὶ τοὺς ἐπὶ τῆς οἰκίης ἅπαντας· ψόφου γὰρ καθαπτόμενοι φρενιτικοί· ἀτὰρ ἠδὲ ὑπὸ τῶνδε μαίνονται. Τοῖχοι

Lib. I. Prooemium. *Ὀξεῶν νούσων ἄκεα ξυναφέα τῇσι σημηΐων ἰδέῃσι, ἀμφὶ ὧν τοῖσι ξυγγράμμασι, ἅσσα μοι πρόσθεν γεγράφαται.*] Libri: *ὀξεῶν νούσων ἄκεα ξυναφέα τῇσι ἀμφὶ σημηΐων ἰδέῃσι, ὧν τοῖσι ξυγγράμμασι, ἅσσα μοι πρόσθεν γεγράφαται.* — Nempe *τοῖσι* in his *Pb.*, *τοῖς* cett. — Iam vero in hac vulgata lect. non intelligo rationem grammaticam verborum *ὧν τοῖσι ξυγγράμμασι, ἅσσα μοι πρόσθεν γεγράφαται.* Neque enim video, unde pendeat genitivus *ὧν*. Quid deficiat, facile patet: praepositio. Itaque *ἀμφί* ante *ὧν* intuli, putans per librariorum negligentiam in alienam sedem esse translatum. — Paulo ante noster *δέος καὶ ἀμφὶ μεταδόσιος τοῦ κακοῦ*; — paulo post *ἐν τοῖσι ἀμφὶ πυρετῶν λόγοισι*, — et *ἀμφὶ τῶνδε μοῦνον τὰ ἄκεα φράσω.*

θεραπείῃ.] *Pb.* *θεραπίῃ*, quam formam cur Wiganus praetulerit, non perspicio.

ἐν τοῖσι ἀμφὶ πυρετῶν λόγοισι λελέξεται.] Aretaeus hos *ἀμφὶ πυρετῶν λόγους* re vera conscripsit, teste Alexandro Aphrodisiensi. En! unum iam opus suum hodie deperditum citat!

ἄνευθε.] *Ἄνευθεν* Pc. *ἄνευ* Pd.

ἀμφὶ τῶνδε μοῦνον τὰ ἄκεα φράσω.] *Μούνων* (sic) Pa. *b. d. e. f.* — utrumque ferri potest. — Praepositio *ἀμφί* h. l. fere abundat; Ionismus mihi videtur *ἀμφί* hac ratione cum Genitivo usurpatum. Cf. Vig. p. 573. ed. Herm.

Cap. 1. *νοτερῷ.*] Sic Kühniana: cett. *νοτέρῳ.* De accentu male posito iam Petitus monuit. *Pb.* in marg. *νοτερῷ.*

αὐτὸν τὸν νοσέοντα.] Sic O. V. Pc. *d. e. f.*; *τόν* om. cett.

ψόφου γὰρ καθαπτόμενοι φρενιτικοί· ἀτὰρ ἠδὲ ὑπὸ τῶνδε μαίνονται.] Libri: *ὀξυήκοοι γὰρ ἠδὲ ψόφου καθαπτόμενοι φρενιτικοί. ἀτὰρ ὑπὸ τῶνδε μαίνονται.* Hipp. Coaca 96. et Prorrh. I. 16.: *οἱ φρενιτικοὶ … ψόφου καθαπτόμενοι.* — Gal. in exeg.: *ψόφου ῥᾳδίως αἰσθανόμενοι.* Cf. Oecon. Hipp. in *καθαπτόμενοι ψόφου.* — Teneamus praeterea *ἀτάρ* parum apte poni in librorum scriptura, nam nulla est antithesis. — Quid igitur? *ὀξυήκοοι* glossa est in dictionem exquisite Hippocraticam; *ἠδέ* pone *ἀτάρ* inferendum est, et *γάρ* pone *ὀξυήκοοι*: locus nempe de novo a librariis quodammodo constitutus fuit, postquam glossa in textum irrepserat.

μηδὲ ἄχναις, μηδὲ γραφῇσι εὔκοσμοι.] Vulgo in his *ἄχναι.* H. *ἄχναις* (postremae literae vestigium tantum) *εὐκόσμοισι.* Pc. *d. e. f.* *ἄχνας εὐκόσμοισι.* Ad *ἄχνας* in

λεῖοι, ὁμαλοὶ, μηδ' ὑπερίσχοντες, μηδὲ ἄχναις, μηδὲ γραφῇσι εὔκοσμοι· ἐρεθιστικὸν γὰρ τοιχογραφίη. καὶ γὰρ πρὸ τῶν ὀφθαλμῶν παμφαίνουσί τινα ψευδέα ἰνδάλματα, καὶ τὰ μὴ ἐξίσχοντα ἀμφαφόωσι ὡς ὑπερίσχοντα, καὶ πᾶσα πρόφασις ἀναιτίη πρόκλησις χειρῶν φορῆς. Κλίνης μῆκος καὶ πλάτος σύμμετρον, ὡς μήτε βληστρίζεσθαι ἐν τῇ πλατείῃ, μήτε ἀπὸ τῆς στεινῆς ἐκπίπτειν κοίτης. Ἐν ψιλοῖσι τοῖσι στρώμασι, ὡς μὴ κροκυδίζειν ὑπόμνησις ἔοι· ἀτὰρ ἠδὲ ἐν μαλθακοῖσι, ἀστεργὴς γὰρ τοῖσι νεύροισι ἡ σκληρὴ κοίτη. οὐχ ἥκιστα δὲ τῶν ἄλλων τοῖσι φρενιτικοῖσι τὰ νεῦρα πονέει, μάλα γάρ τοι σπῶνται φρενιτικοί. Εἴσοδοι τῶν φιλτάτων· μῦθοι καὶ λαλιὴ μὴ θυμοδακεῖς· πάντα γὰρ εὐθυμέεσθαι χρὴ, μάλιστα τοῖσι ἐς ὀργὴν ἡ παραφορή. Κατάκλισις ἢ ἐν ζόφῳ, ἢ ἐν φωτὶ πρὸς τὸ νόσημα τεκμαρτέη. ἢν γὰρ πρὸς τὴν αὐγὴν ἀγριαίνωσι καὶ τὰ μὴ ὑπεόντα φαντάζωνται, ἢ ξενὰ ἰνδάλματα προβάλλωνται, καὶ τὸ ξύνολον τὴν αὐγὴν, ἢ τὰ ἐν αὐγῇ δεδίττωνται, ζόφον αἱρέεσθαι χρή· ἢν δὲ μὴ, τοὐναντίον. Ἀγαθὸν δὲ, πρὸς αὐγὴν σωφρονέειν τε καὶ πρηΰνεσθαι τὴν παραφορήν. Ἀσιτίη μὴ μακρή. σιτία δὲ ὑγρότερα, καὶ βραχύτερα, καὶ συνεχῆ· μειλίγματα γὰρ θυμοῦ σιτία. Εὐκαιρίη δὲ, ἐν τῇσι ἐπανέσεσι ἀμφοῖν, καὶ πυρετοῦ, καὶ παραφορῆς. Ἢν δὲ ὑπ' ἀσιτίης ἐκμαίνωνται, καὶ ἢν μὴ παρείκῃ ὁ πυρετὸς, διδόναι μὴ μεγάλα ἐπὶ πυρετῷ βλάπτοντα. Ἀγαθὸν δὲ ξυμφωνέειν καὶ τὸν πυρετὸν, καὶ τὴν παραφορὴν, ἔς τε τοὺς παροξυσμοὺς καὶ τὰς ἐπανέσιας.

d. et *e.* in marg. legis glossam *ἤγουν ἐπανάστημα.* — Flagitante loci sensu *ἄχναις* dedi, quod Wiganus etiam requirit.

καὶ γὰρ πρὸ τῶν ὀφθαλμῶν παμφαίνουσί τινα ψευδέα ἰνδάλματα καὶ τὰ μὴ ἐξίσχοντα ἀμφαφόωσι ὡς ὑπερίσχοντα.] Pro *παμφαίνουσι*, quod de coniectura recepi, libri vulgo *ἀμφαιρέουσι* P. *c. d. e. f.* *ἀφαιρέουσι*: postremum in marg. exemplaris Henyschiani adscribitur una cum *ἀμφαιωρέουσι*, quod Petitus probat, supplens *τοῖχοι γραφῇσι εὔκοσμοι ἀμφαιωρέουσι*; idem illud *ἀμφαιωρέουσι* Schneiderus adeo ex h. l. in Lexicon recepit. — Crassus «obversantur" habet, unde quid legerit, haud certo efficias. — Wiganus nihil adnotat et Latine «accipiunt" scribit. — Neque *ἀφαιρέουσι*, neque *ἀμφαιρέουσι* congruunt cum loci sensu: sed neque *ἀμφαιώρεουσι* convenit; nam *αἰωρέω* transitivum est, quum tamen requiratur intransitivum; nempe cum Petito *τοῖχοι κ. τ. λ.* cogitatione supplere, nemo facile audeat, opinor; et vero aeque minus *οἱ νοσέοντες* supplebis; tum vero *πρὸ τῶν ὀφθαλμῶν ἀμφαιωρέουσι* mirum sonat et dubito, num Graecum sit totum hoc verbum, quod nusquam alias, quod sciam, obvium. — Sed est noster in hisce omnino *ὁμηρικός*: poëtae *ἰνδάλματα* fere debentur, certe verbum, unde nomen ductum est, et debetur forma *ἀμφαφόωσι*. Itaque arbitror Aretaeum *παμφαίνουσι* scripsisse (ut Il. XI. 29. *ἐν δέ οἱ ἧλοι Χρύσειοι πάμφαινον*); librarios vero hinc *ἀμφαιρεῦσι* effinxisse et *ἀφαιρέουσι*, *ἀμφαιρέουσι*, *ἀμφαιωρέουσι*: si modo Henyschio fides habenda, soli postremum in marg. adscribenti una cum lect., quam alii libri etiam exhibent. — Potest viri coniectura esse. — Non infitior me saltem mirari Schneiderum eiusmodi quid in Lexicon recipere.

βληστρίζεσθαι.] Pe. in marg. glossam adscriptam fert: *ὀλισθαίνειν.*

στεινῆς.] Sic Ionice O. ex H. V.; eandem formam vidi in Pa. *c. f.*

κροκυδίζειν.] V. *κροκιδίζειν.*

ἀτὰρ ἠδὲ ἐν μαλθ.] Ἠδ' Pe. *f.*

εἴσοδοι τῶν φιλτάτων.] Eurip. Med. 1149. *παίδων μυσαχθεῖσ' εἰσόδους.* Androm. 930. *κακῶν γυναικῶν εἴσοδοι μ' ἀπώλεσαν.*

μῦθοι καὶ λαλιὴ μὴ θυμοδακεῖς.] Θυμοδακὴς Pb.

πάντα γὰρ εὐθυμέεσθαι χρή.] Locus ita intelligendus: *πάντα* (i. e. *πρὸς πάντα*) *γὰρ εὐθυμέεσθαι χρὴ τοὺς φρενιτικοὺς, μάλιστα δὲ οἷσι ἐς ὀργὴν ἡ παραφορή.* — Itaque notemus *τοῖσι* pro relativo *οἷσι*. — *Πάντα* initio adverbii vice fungitur.

ἢν γὰρ πρὸς τὴν αὐγὴν ἀγριαίνωσι καὶ τὰ μὴ ὑπεόντα φαντάζωνται, ἢ ξενὰ ἰνδάλματα προβάλλωνται καὶ τὸ ξύνολον τὴν αὐγὴν, ἢ τὰ ἐν αὐγῇ δεδίττωνται, ζόφον αἱρέεσθαι χρή· ἢν δὲ μὴ, τοὐναντίον.] Libri omnes: *ἢν γὰρ πρὸς τὴν αὐγὴν ἀγριαίνωσι καὶ ὁρέωσι τὰ μὴ ὄντα καὶ τὰ μὴ ὑπεόντα φαντάζωνται ἢ ἀνθ' ἑτέρων ἕτερα γιγνώσκουσι, ἢ ξενὰ ἰνδάλματα προβάλλωνται καὶ τὸ ξύνολον κ. τ. λ.* — Wiganus haec adnotat: «*καὶ ὁρέωσι τὰ μὴ ὄντα.* Videtur hoc glossema esse in *καὶ τὰ μὴ ὑπεόντα φαντάζωνται.* — *ἢ ἀνθ' ἑτέρων ἕτερα γιγνώσκουσι.* Videtur hoc glossema in *ἢ ξενὰ ἰνδάλματα προβάλλωνται*, idque falsum; nam alibi (cap. de mania) ait, (*φρενιτικοὶ*) *μὲν γὰρ παραισθάνονται καὶ τὰ μὴ παρέοντα ὁρέουσι δῆθεν ὡς παρεόντα καὶ τὰ μὴ φαινόμενα ἄλλῳ κατ' ὄψιν ἰνδάλλεται· οἱ δὲ μαινόμενοι ὁρέουσι μὲν ὡς χρὴ ὁρῆν, οὐ γιγνώσκουσι δὲ περὶ αὐτέων, ὡς χρὴ γιγνώσκειν.* Hic manifestum est, phreniticos a maniacis distingui eo, quod illorum visus decipiatur, horum iudicium in cognoscendis rebus labet atque erret. Quid quod eadem plane sint, *ξενὰ ἰνδάλματα προβάλλωνται*, ac, *τὰ μὴ φαινόμενα ἄλλῳ κατ' ὄψιν ἰνδάλλεται.*" Verissime vir egregius haec monuit: itaque recentiorum additamenta eieci.

καὶ ἢν μὴ παρείκῃ ὁ πυρετός.] Sic Pc. *e. f.* *παρήκῃ* cett. omnes. — Unice veram lectionem esse eam, quam praebent libri Parisienses tres, quisque videt; *παρήκειν* non congruit. Paulo ante sermo fuit de remissione febrium.

Ἢν ὦν ἥκῃ ὁ καιρὸς ἐς θρέψιν, πρώτιστα σκεπτέον, εἰ χρὴ ἀφαιρέειν αἷμα. Ἢν μὲν ὦν ἡ παραφορὴ ξὺν πυρετῷ ἀρχῆθεν εἰςβάλλῃ τῆς πρώτης, ἢ δευτέρης ἡμέρης, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι, μάλιστα τὴν μέσην. Ἀτὰρ καὶ ἢν ἐς τρίτην, ἢ τετάρτην ἡμέρην ἡ παραφορὴ ἥκῃ, μέσφι τῆς πρώτης τῶν κρισίμων περιόδου, τάμνειν. Εἰ δὲ προσωτέρω τοῦ δέοντος χρόνου ἑκταίῳ ἐόντι, ἢ ἑβδομαίῳ, ἐῆν. πολλὸν γὰρ πρὸ τῶν κρισίων ἐν τοῖσι ὀξέσι κενοῦν χρὴ, ἢ φαρμακεύειν, ἢ τοῖσι ἄλλοισι ἐρεθισμοῖσι χρέεσθαι. Ἀτὰρ καὶ φλέβα τάμνων μὴ πολλὸν ἀφαιρέειν, κῆν ἐν ἀρχῇ τάμνῃς· φρενῖτις γὰρ εὔτρεπτον ἐς συγκοπὴν κακόν. Ἢν δὲ πολυπληθὴς ὁ νοσέων ἔῃ, καὶ νεηνίης, καὶ ἐξ ἀδηφαγίης, καὶ οἰνοφλυγίης, — οἵδε οὐ τῆς φρενίτιδος ἔασι οἱ λογισμοὶ, ἀλλὰ καὶ ἄνευ παραφορῆς πολλὸν τουτέων ἀφαιρέειν αἷμα. πολλὸν δὲ μεῖον ἀφαιρέειν, ἢν οἵδε ἔωσι οἱ φρενιτικοί. Τάμνειν δὲ φλέβα τουτέων εὐτολμότερον, ἢν ἐξ ὑποχονδρίων, καὶ μὴ ἀπὸ κεφαλῆς, ἡ νοῦσος ᾖ. ἐνθάδε γὰρ τῆς ζωῆς ἐστι ἡ ἀρχή· κεφαλὴ δὲ χῶρος μὲν αἰσθήσιος, καὶ νεύρων ἀφέσιος· αἷμα δὲ παρὰ κραδίης ἕλκει μᾶλλον, ἢ ἄλλοισι διδοῖ. Ἢν ὦν πεπόνθῃ ἥδε, οὐ χρὴ τὴν ἐπ' ἀγκῶνι τάμνειν φλέβα. τάδε γὰρ πάθεα, κενεαγγέειν ἐφ' οἷσι ἡ βλάβη οὐ σμικρή. Κῆν μὲν ἡ δύναμις ἀντέχῃ εἰς τὸ ἱκανὸν τῆς κενώσιος, ἅπαξ ἀφαιρέειν, ὅκως μὴ ἐν τῇ διαστάσι τῆς ἐπαφαιρέσιος διολλύηται τῆς τροφῆς ἡ ἐγκαιρίη. ξυνεχέες γὰρ τοῖσι φρενιτικοῖσι οἱ πυρετοὶ καὶ οὐδὲ ἐπανέσιας μακρὰς, ἀλλὰ βραχείας καὶ ἀσήμους κουφισμοὺς ποιεύμενοι. Ἢν δὲ πρὸ τῆς ξυμμετρίης ἀπαυδήσῃ ὁ νοσέων, ἐς δευτέρην ἐπάνεσιν ὑπερβάλλεσθαι, ἢν μὴ ἐς μακρὸν ἐκπίπτῃ· εἰ δὲ μὴ, ἀνακαλεσάμενον ὀσμῇσι, καὶ ψαύσεσι προςώπου, καὶ πιέσι ποδῶν, αὐτίκα ἀφαιρέειν. Γνῶμα δὲ τῆς αὐταρκίης, ἡ δύναμις.

Τροφὴ ὑγρὴ πᾶσι μὲν τοῖσι πυρεταίνουσι, οὐχ ἥκιστα δὲ φρενιτικοῖσι· ἐπιξηρότεροι γὰρ πυρετῶν μούνων. Τὸ δὲ μελίκρητον, ἢν μὴ χολώδεες ἔωσι· ἄπεπτον γὰρ τοῖσι πικροχόλοισι. Χόνδροι πλυτοὶ ξὺν ὕδατι, ἢ μελικρήτῳ. ἀγαθὸν δὲ καὶ ἐκ τῶνδε ῥοφή-

μὴ μεγάλα ἐπὶ πυρετῷ βλάπτοντα.] Vulgo *ἐπὶ πυρετόν* H. Pc. *f.* *πυρετῶν.* — Hinc *πυρετῷ* effeci: nam tum saepe haec confunduntur, tum et in superioribus et in seqq. *πυρετός* sing. num. usurpatur.

πολλὸν γὰρ πρὸ τῶν κρισίων ἐν τοῖσι ὀξέσι κενοῦν χρὴ, ἢ φαρμακεύειν, ἢ τοῖσι ἄλλοισι ἐρεθισμοῖσι χρέεσθαι.] *Γάρ* recepi e libris H. Pc. *d. e. f.* *ἐρεθισμοῖσι* H. O. *ἐρεθμοῖσι* cett. — Facile patet eum respicere Hipp. Aph. I. 20. *τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακείῃσι, μήτ' ἄλλοισι ἐρεθισμοῖσι, ἀλλ' ἐᾷν.* — Cf. lib. de Humoribus spurium p. 125. Kühn.

αἷμα δὲ παρὰ κραδίης ἕλκει μᾶλλον, ἢ ἄλλοισι διδοῖ.] *Παρὰ καρδίης* O. ex H.; idem praebuere Pc. *d.* *παρὰ καρδίῃ* vulgo. Unus V. *κραδίῃ.*

τάδε γὰρ πάθεα, κενεαγγέειν ἐφ' οἷσι ἡ βλάβη οὐ σμικρή.] Libri omnes ita locum scriptum referunt: sensus est *τάδε γάρ πάθεα, ἐφ' οἷσι κενεαγγέειν βλάβη οὐ σμικρή.* — Sed in structura vulgata inesse credo Ionismum, qualis *ὄρνιθες ὥς.* Cf. Greg. Cor. de Dial. Ion.: *τὸ ἀναστρέφειν τὰς λέξεις Ἰώνων ἐστὶν ἴδιον.*

ἅπαξ ἀφαιρέειν, ὅκως μὴ ἐν τῇ διαστάσι τῆς ἐπαφαιρέσιος διολλύηται τῆς τροφῆς ἡ ἐγκαιρίη.] Libri omnes *διόλλυται.* — Leges grammaticae faciunt, ut subiunctivum reponam.

οὐδε ἐπανέσιας.] *Οὐδ' ἐπανέσιας* Pd. *f.*

ὀσμῇσι καὶ ψαύσεσι προςώπου.] Cett.: *ὀσμήσεσι.* Ego non fero librariorum errorem nominum terminationes confundentium.

γνῶμα.] Infra in fine capitis *γνώματα.* — Nomen Herodoto usurpatum VII. 52. Wesselingius ad Historicorum parentis locum Aretaei verba laudat et Soph. Trachin. 599. *ἔχοις ἂν γνῶμα μὴ πειρωμένη.*

οὐχ ἥκιστα δὲ φρενιτικοῖσι· ἐπιξηρότεροι γὰρ πυρετῶν μούνων.] *Ἐπιξηροτέρη* A. — Transitus est in utraque lectione a morbo ad ipsos aegrotantes, qualis in medicorum Graecorum operibus frequens.

τὸ δὲ μελίκρητον, ἢν μὴ χολώδεες ἔωσι· ἄπεπτον γὰρ τοῖσι πικροχόλοισι.] Libri: *οὐδὲ μελίκρητον, ἢν μὴ χολώδεες ἔωσι, εὔπεπτον γὰρ τοῖσι πικροχόλοισι.* — Videri ergo possim omnia in Aretaeo meo miscere; sed mihi persuadere non possum illum ita scripsisse. Est in primis Hippocraticus in toto hoc capite et continuo respicit Divini senis librum de Victu acut. — Hic vero: *μελίκρητον δέ*, inquit, *πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσι ὀξείῃσι νούσοισι τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισι ἧσσον ἐπιτήδειον, ἢ τοῖσι μὴ τοιούτοισί ἐστι· — καὶ διαχωρητικὸν δὲ κάτω χολώδεων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων. μᾶλλον*

ματα διδόναι ἁπλᾶ, ὁποῖα θύμβρης, ἢ σελίνου, ἢ ἀνήθου ἐνηψημένων. εὔπνοα γὰρ τάδε καὶ διουρητικά. σύμφορον δὲ φρενιτικοῖσι οὔρησις. Λαχάνων πάντων μὲν, μάλιστα δὲ μαλάχης· ἀγαθὸν γὰρ τὸ γλίσχρασμα καὶ ἐς λειότητα γλώσσης καὶ ἀρτηρίης, καὶ ἐς τὴν τῶν κοπρίων διέξοδον. ἄριστον δὲ καὶ τεῦτλον, καὶ βλίτον, καὶ κορωνόπους, καὶ κολοκύντη καθ' ὥρην, καὶ ὅ τι ἂν ἐφ' ἑκάστης ὥρης ἄριστον ᾖ. Πτισάνης δὲ χυλὸς, ὑγρότατος μὲν ἐν πρώτοισι, ὡς ἀτροφώτερος ἔοι· ἐπὶ δὲ μᾶλλον παχύτερος, ὁκόσον ἂν ἡ νοῦσος προήκῃ χρόνου. Ὑποστέλλεσθαι δὲ ἐν τῇσι κρίσεσι καὶ μικρόν τι πρὸ τῶν κρισίων. Ἢν δὲ ἐς μῆκος ἡ νοῦσος ἴῃ, μὴ ἀφαιρέειν τῶν προςθεσίων, ἀλλὰ σιτώδεα διδόναι, ὡς ἐξαρκέσῃ ὁ νοσέων· εὖτε καὶ κρεῶν ἀκρέων καὶ πετεινῶν χρέος, τὰ πολλὰ τοῖσι χυλοῖσι ἐντηκομένων, κάρτα γὰρ χρὴ τάδε ἐν τῇ ἑψήσι λύεσθαι. Ἰχθύων οἱ πετραῖοι τῶν ἄλλων εἰσὶ κρέσσονες, ὡς ἐπίπαν δὲ τοὺς ἐν τῇ χώρῃ ἀρίστους αἱρετέον· ἄλλη γὰρ ἄλλας φέρειν ἰχθύων ἰδέας πεπίστευται χώρη. Ὀπώρης οἰνώδεος ὑποστέλλεσθαι, κεφαλῆς γὰρ καὶ φρενῶν ἅψιν ποιέει. ἢν δὲ ἀνάγκη ἔῃ, τῆς δυνάμιος, ἢ τοῦ στομάχου βιαζομένων, ἑφθὰ ἐν μελικρήτῳ, ἢ ὀπτὰ ἐν στέατι, ὁκοῖον μῆλα, δοτέον· τῶν δ' ἄλλων, θερμῷ ὕδατι ἕκαστον ἐκλύειν, ἢν ἐς μούνην τὴν τοῦ στομάχου παραμυθίην διδῷς. ἢν δὲ καὶ ἐς δύναμιν δέῃ, μὴ κάρτα τὸ οἰνῶδες ἐκλύειν. Τροφὴ μὲν ὦν, ὡς ἔπος εἰπεῖν τοιήδε.

Τέγγειν δὲ τὴν κεφαλὴν, ἐς ἔμψυξιν, λιπαϊ ἐλαίης ὄμφακος τετριμμένης· ἀλεαί-

δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίγνεται. Sed lege, quaeso, totum de mulso locum § 53—57. — Porro mel bilem augere legis apud antiquos celeros. — Mihi igitur librarii locum corrupisse videntur; facilis fuit lapsus ab ἄπεπτον ad εὔπεπτον: mox etiam εὐτροφώτερος in ἀτροφώτερος mutandum veniet. — Οὐδέ vix apte ponitur loco nostro, etiamsi non attendas ad fontes, unde noster sua hauriat; ipsa grammatica ratio facit ut aegre feram. Itaque lenissima medela οὐδέ in τὸ δέ mutavi: forte in libro aliquo, relicto spatio vacuo literae postea adponendae, scriptum fuerit ο δέ; unde postea οὐδέ ortum fuerit. Hisce scriptis video Petitum itidem locum corruptum esse credere: eius ratio tamen emendandi minus mihi arridet.

θύμβρης, ἢ σελίνου, ἢ ἀνήθου ἐνηψημένων.] Sic H. V. A. Pc. d. et Kühniana: ἐνεψημένων cett.

εὔπνοα γὰρ τάδε καὶ διουρητικά.] Εὔπνοια h. l. in Kühniana non nisi typothetae error est.

λαχάνων πάντων μὲν μάλιστα δὲ μαλάχης κ. τ. λ.] Miror quodammodo haec genitivo efferri, quum superiora et seqq. omnia nominativo ponantur. Licet genitivus ferri possit, adeoque illum servem, non discerno, an non potius librariis quam auctori debeatur, ita ut hic scripserit: λάχανα πάντα μὲν μάλιστα δὲ μαλάχη.

καὶ κολοκύντη καθ' ὥρην.] Sic O. ex H.; item Pb. d. e. f. κολοκύνται cett. In καθ' ὥρην imitatio est Hippocratici s. potius Cnidiorum apud Hipp. ἐς ὥρην.

πτισάνης δὲ χυλὸς, ὑγρότατος μὲν ἐν πρώτοισι, ὡς ἀτροφώτερος ἔοι· ἐπὶ δὲ μᾶλλον παχύτερος, ὁκόσον ἂν ἡ νοῦσος προήκῃ χρόνου.] Libri in hisce: ὡς εὐτροφώτερος ἔοι· ἔστι (H. Pc. d. e. ἔτι G. v. ἔς τι) δὲ μᾶλλον παχύτερος, ὁκόσον ἂν ἡ νοῦσος προήκοι (προήκῃ H. Pc. d.) χρόνον. — Pro εὐτροφώτερος Goup. in varr. lectt. coniicit ἀτροφώτερος, quod in textum recepit Wiganus: et vero emendatio certissima est. — Me advertit tum h. l. ὡς ἀτροφώτερος ἔοι, tum antea capitis initio ἐν ψιλοῖσι τοῖσι στρώμασι, ὡς μὴ κροκυδίζειν ὑπόμνησις ἔοι. Nimirum utroque loco potius ἔῃ exspectaveram: nec tamen mutare audeo. — Vitiosa sunt ἔστι, ἔς τι et ἔτι: unice verum esse credo ἐπί; antea ἔστω conieceram. — Omnino προήκῃ recipere oportebat; et χρόνου genitivo scribere, iubet Graecae linguae usus. Infra in verbis κἢν πρόσω μὲν ἤδη πολλὸν ἥκῃ χρόνου, alii libri χρόνον, minus recte.

εὖτε καὶ κρεῶν ἀκρέων χρέος.] Petitus ad h. l.: «Galenus, inquit, aegris reficiendis porcorum pedes in ptisana exhibebat lib. 7. meth. med. — Nota obiter elegantiam quam auctor affectat vocum similitudine, κρεῶν ἀκρέων, Paronomasiam vocant Rhetores; ut δῶρα ἄδωρα· βίος ἄβιος." — Vid. de ἄκρεα, quae adscripsi ad lib. Hipp. de V. A. p. 219. Locus autem noster longe certissimum praebet testimonium, Aretaeum apud Hipp. ἄκρεα legisse et ex illo in sua scripta transtulisse.

τοῖσι χυλοῖσι ἐντηκομένων.] Cett.: ἐκτηκομένων. De coniectura mutavi.

ἰχθύων οἱ πετραῖοι τῶν ἄλλων εἰσὶ κρέσσονες, ὡς ἐπίπαν δὲ τοὺς ἐν τῇ χώρῃ ἀρίστους αἱρετέον· ἄλλη γὰρ ἄλλας φέρειν ἰχθύων ἰδέας πεπίστευται χώρη.] Libri: ἰχθύων οἱ πετραῖοι τῶν ἄλλων εἰς (O. ἐς) κρέσσον ἔστων (ἔστω H. V. Pa. b. d. e. f.) ἐπίπαν δὲ τοὺς ἐν τῇ χώρᾳ (χώρῃ V. A. Pb. c. d. e. f.) ἀρίστους αἱρετέον· κ. τ. λ. — Elegantissima huius loci corrupti emendatio debetur Koenio ad Greg. Cor. p. 464. Ed. Schaefer.

ὀπώρης οἰνώδεος ὑποστέλλεσθαι, κεφαλῆς γὰρ καὶ φρενῶν ἅψιν ποιέει.] Ὀπώρης H. V. O. Pb. c. d. e. f. ὀπώρας cett. — Φρενῶν ἅψις dictio est exquisite Hippocratica e lib. de V. Ac. § 52. mihi, εἰ καρηβαρίη μὲν μὴ ἐνείη μηδὲ φρενῶν ἅψις. § 50. ὁ μὲν γλυκὺς (οἶνος) ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος. Cf. Oecon. Hipp. in ἅπτεσθαι. — Quod ad ὀπώρην οἰνώ-

νεσθαι γὰρ ἡ κεφαλὴ οὐ φιλέει φρενιτικοῖσι. Ἢν δὲ καὶ ἀγρυπνίη καὶ φαντασίη ἔωσι, ῥοδίνου μίσγειν ἴσον ἴσῳ τὰ πρῶτα· ἐπὶ δὲ μᾶλλον τὸ ῥόδινον ἔστω πλέον ἐς στύψιν καὶ ἔμψυξιν τῆς κεφαλῆς. Ἢν δὲ καὶ τὴν γνώμην παρακινέωνται, καὶ τὴν φθέγξιν ἐξαλλάσσωνται, ἑρπύλλου κόμης ἐνεψητέον ἐν τοῖσι ἐλαίοισι, ἢ κισσοῦ χυλὸν, ἢ πολυγόνου παραχυτέον. Ἢν δὲ ἐπὶ μᾶλλον ἡ παραφορὴ ἐξάπτηται, καὶ πευκέδανον, καὶ σπονδύλιον τοῖσι ἐλαίοισι ἐνεψεῖν, καὶ ὄξους παραχεῖν· ἀτμῶν γὰρ τάδε καὶ θέρμης διαπνευστικὰ, καὶ παχέων χυμῶν διαλυτικὰ, τὰ τῆς παραφορῆς ξυναίτια. Πεφυλάχθαι δὲ χρὴ τάδε, ὡς μὴ ἐς τὸν αὐχένα καὶ τοὺς τένοντας ἡ τέγξις ἥκῃ. πολεμίη γὰρ τένουσι καὶ νεύροισι. Καιρὸς δὲ πᾶς τέγξιος, πλὴν τῆς ἐςβολῆς τοῦ παροξυσμοῦ. ἀραιοτέρῃ δὲ ἐν τῇ ἀναβάσι, πάντων δὲ μάλιστα ἐν ἀκμῇ. ἢ δ' ἂν ἐκμαίνωνται, τῇδε μάλιστα τέγγειν ψυχρῷ· καὶ ψυχομένῳ ἐπὶ μᾶλλον, θέρεος ὥρῃ· χειμῶνος δὲ, χλιαρῷ. Εἰς δὲ τὸ πρηΰνειν τὴν παραφορὴν, ὀξυκρήτῳ, ἢ κονύζης ἑψήματι, καὶ σπογγιῇ τὰ πρόςωπα πυριῆν· ἔπειτα χρίειν οἰνανθίνῳ, ἢ κροκίνῳ λίπαϊ. καὶ τὰς ῥῖνας καὶ τὰ ὦτα τοισίδε διαχρίειν.

Τάδε μέντοι καὶ ὕπνου ἀγωγά. ἢν γὰρ πάννυχοι μὲν ἐγρήσσωσι, μηδὲ δι' ἡμέρης εὕδωσι, ὀφθαλμοὶ δὲ ὁκοῖόν τι κέρας ἑστήκωσι, βληστρίζωνται δὲ καὶ ἐξανιστῶνται, ὕπνον αὐτέοισι καὶ ἠρεμίην μηχανέεσθαι· πρώτιστα μὲν διὰ τῶν τῆς κεφαλῆς τεγξίων ῥοδίνου ἀκρήτου, ἢ ἀμαρακίνου ξὺν χυλῷ κισσοῦ, ἢ ἑρπύλλου, ἢ καὶ μελιλώτου ἐν ἀφεψήματι. Ἐπὶ μᾶλλον δὲ ὑπνωτικὸν, μήκων ἀφεψηθεῖσα ἐν λίπαϊ ἔς τε τὸ τῆς

δεα attinet, cf. Plinium XV. 33. « Ergo succorum vinosi piro, moro, myrto: minime (quod miremur) uvis." — Plutarchus Symp. III. V. 2. καὶ τῶν ἄλλων δὲ καρπῶν τοῖς οἰνώδεσι μᾶλλον ὡς ψυκτικοῖς χρωμένους τοὺς ἰατροὺς ὁρῶμεν, ὥςπερ ῥοαῖς καὶ μήλοις.

ἐπὶ δὲ μᾶλλον τὸ ῥόδινον ἔστω πλέον ἐς στύψιν καὶ ἔμψυξιν τῆς κεφαλῆς.] Ἔτι δὲ μᾶλλον cett., quod non fero: ἐπὶ δὲ μᾶλλον scripsit Aretaeus; opponitur hoc antecedenti ἴσον ἴσῳ τὰ πρῶτα et usurpatur de rei incremento, quod sensim fiat. Sic mox ἢν δὲ ἐπὶ μᾶλλον ἡ παραφορὴ ἐξάπτηται et quod paulo ante reposui: ἐπὶ δὲ μᾶλλον παχύτερος, ὁκόσον ἂν ἡ νοῦσος προήκῃ χρόνου. — Est tamen etiam ubi ἐπὶ μᾶλλον denotet simplex fere μᾶλλον; exempla adeo frequenter obvia, ut adponere supersedeam.

καὶ τὴν φθέγξιν ἐξαλλάσσωνται, ἑρπύλλου κόμης ἐνεψητέον.] Ἐξαλλάττωνται Pd. ἑρπύλλου H. O. Pc. d. e. f. ἑρπύλου cett. — ἐνεψετέον O.

σπονδύλιον.] In litera π nulla varietas lectionis: usitatior forma fere σφονδύλιον. De his vid. Pierson ad Moer. p. 361. et Koen. ad Greg. Cor. p. 148. Lobeck. Phryn. p. 111.

τὰ τῆς παραφορῆς ξυναίτια.] Τά H. V. G. v. l. O. Po. — Itaque ἃ apud ceteros e Goupyli coniectura fluxisse videtur: iam antea adnotavi locos, ubi articulus pro relativo usurpatur a nostro: supra eodem hoc capite μάλιστα τοῖσι ἐς ὀργὴν ἡ παραφορή.

καιρὸς δὲ πᾶς τέγξιος.] Sic O. Pc. d. e. f. πάσης vulgo, quod vitiosum esse dudum vidit Petitus; πᾶσας Pa. πάσας Pb.

ἀραιοτέρῃ δὲ ἐν τῇ ἀναβάσι.] Crassus: « rarius quidem in incremento." Wiganus: « parcius tamen in incremento adhibeatur." — Habemus h. l. τὴν ἐςβολήν, — τὴν ἀνάβασιν. — τὴν ἀκμήν, — cf. Gal. initio libri de totius morbi temporibus: ὅλου τοίνυν τοῦ νοσήματος ἐπινοοῦμεν καιροὺς, ἀνάλογον ταῖς ἡλικίαις τῶν ζώων. ἕνα μὲν καὶ πρῶτον τῆς γενέσεως αὐτοῦ· δεύτερον δὲ τὸν τῆς ἀναβάσεως· τρίτον δὲ τὸν τῆς ἀκμῆς· καὶ τέταρτον τὸν τῆς παρακμῆς.

καὶ τὰ ὦτα τοισίδε διαχρίειν.] Vulgo τοῖσι δὲ διαχρίειν. V. om. δέ; et vero in O. omissum est. Me iudice auctor τοισίδε διαχρίειν scripsit, quod in aliis libris in τοῖσι δέ abiit, in aliis in τοῖσι, omisso δέ ante διά in verbo composito.

ἢν γὰρ πάννυχοι μὲν ἐγρήσσωσι.] Cf. Homericum πάννυχοι ἐγρήσσοντες Il. XI. 551.

μηδὲ δι' ἡμέρης εὕδωσι, ὀφθαλμοὶ δὲ ὁκοῖόν τι κέρας ἑστήκωσι, βληστρίζωνται δὲ καὶ ἐξανιστῶνται.] In libris omnibus pone εὕδωσι interponitur ἀτενέες δὲ τὸ ξύμπαν ἔωσι. — Capite de Cephalaea (de s. M. chron. I. 2.) noster: ὀφθαλμοὶ ἢ ἀτενέες κέρασι ἴκελοι πεπήγασι, ἢ τῇδε κἀκεῖσε σπασμώδεες ἔνδον εἱλεῦνται. — Adscripsi Homericum

ὀφθαλμοὶ δ' ὡςεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
ἀτρέμας ἐν βλεφάροισι.

Nempe utroque loco Poetam imitatur: sed eo, de quo nunc agimus, tam aperte id facit, ut verba ἀτενέες δὲ τὸ ξύμπαν ἔωσι non nisi ab interprete proficisci potuisse videantur, illud ὁκοῖόν τι κέρας ἑστήκωσι explicante: glossa autem praecedit dictionem, quam illustrare debet, quod itidem factum vidimus in iis, quas initio huius capitis, etiam Wigani iudicio freti, expulimus: ad εὕδωσι, βληστρίζωνται, ἐξανιστῶνται supplendum est οἱ νοσέοντες: id autem ad ἀτενέες suppleri nequit: nam οἱ ὀφθαλμοὶ ἀτενέες sunt, non aegri. — Inepte igitur omnino in textum haec illata sunt.

ξὺν χυλῷ κισσοῦ ἢ ἑρπύλλου.] Ἑρπύλλου O. Pc. d. e. f. ἑρπύλου cett.

κεφαλῆς ἔμβρεγμα, ἢ ὕδατι ἐς τὸ πρόσωπον ξὺν σπογγιῇ. Ὑποτιθέναι δὲ χρὴ καὶ αὐτὰς ὅλας, εἰ εἶεν νεοδρεπεῖς, τοῖσι ὑποκεφαλαίοισι. παχύνει γὰρ καὶ ὑγραίνει τὸ πνεῦμα ξηρόν τε καὶ λεπτὸν ἐόν, καὶ ὀμίχλην τῇσι αἰσθήσεσι παρέχει· βαρὺ δὲ καὶ νωθὲς ὀμίχλη, ἥπερ ὕπνου ἀρχή. Ἢν δὲ μεζόνων δέωνται, καὶ αὐτὸ τὸ μηκώνειον ἐς τὰ μέτωπα ξὺν ὕδατι χρίειν, ἠδὲ ὑπαλείφειν τὰς ῥῖνας καὶ ἐς τὰ ὦτα ἐγχέειν. Ψηλαφίη ποδῶν εὐαφὴς ξὺν λίπαϊ· ψαῦσις τῆς κεφαλῆς. ἀνυτικὸν δὲ καὶ κνῆσις, μάλιστα κροτάφων τε καὶ ὤτων· καὶ γὰρ καὶ τὰ θηρία ἐς ἀνάπαυλαν ὀργῆς τε καὶ θυμοῦ κνήσι ὤτων τε καὶ κροτάφων δαμνῶνται. Ὕπνου δὲ ἀγωγὰ ἑκάστου καὶ τὰ ξυνήθεα. ναυτίλῳ μὲν, ἡ ἐν ἀκάτῳ κατάκλισις, καὶ ἐν θαλάσσῃ περιφορὴ, καὶ αἰγιαλῶν ἦχος καὶ κυμάτων κτύπος, ἀνέμων τε βόμβος, καὶ θαλάσσης, καὶ νηὸς ὀδμή. μουσικῷ δὲ ἐθισμὸς αὐλῶν ἐφ' ἡσυχίῃ, ἢ ψαλμὸς λύρης, ἢ πηκτίδος σὺν ᾠδῇ. διδασκάλῳ δὲ νηπιάχων μύθων προσομιλίη, ἢ μελέτη παίδων. ἄλλοισι δ' ἄλλα ὕπνου θελκτήρια.

Τοῖσι δὲ ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ, ἢν φλεγμονῇ καὶ σκληρίῃ ἐπαίρηται, ἔλαιον δρυπετοῦς ἐλαίης ἐμβάλλειν· παχὺ γὰρ, καὶ γλίσχρον, καὶ ἀλεαῖνον· τοῦδε ὦν χρέος ἐν φλεγμασίῃ. ἐνηψήσθω δὲ ἐν αὐτῷ ἄνηθον, κόνυζα· ἢν δὲ καὶ φῦσα ἐνῇ, κυμίνου καὶ σελίνου τῶν καρπῶν, ἠδὲ ὁκόσα οὔρων καὶ φυσέων ἀγωγά· ἀγαθὸν δὲ ὁμοῦ τὰ πάντα καὶ νίτρον ἐνσήσαντα ἐμπάσσειν. Ἢν δὲ τὸ ἧπαρ τὴν πεῖσιν καὶ τὴν ὀδύνην

ἐν λίπαϊ ἔς τε τὸ τῆς κεφαλῆς ἔμβρεγμα, ἢ ὕδατι ἐς τὸ πρόσωπον ξὺν σπογγιῇ.] Ἔμβρεγμα O. ex H.; idemque praebent Pc. *d. e. f.* — Crassus etiam legit *βρέγμα*, quod ceteri libri ferunt.

ὑποτιθέναι δὲ χρὴ καὶ αὐτὰς ὅλας, εἰ εἶεν νεοδρεπεῖς, τοῖσι ὑποκεφαλαίοισι.] Pone *νεοδρεπεῖς* libri interpositum ferunt *χλωράς*, quod totum illud *εἰ εἶεν νεοδρεπεῖς* interpretatur, et recentiori manui debetur. Glossam igitur expunxi.

παχύνει γὰρ καὶ ὑγραίνει τὸ πνεῦμα ξηρόν τε καὶ λεπτὸν ἐὸν, καὶ ὀμίχλην τῇσι αἰσθήσεσι παρέχει· βαρὺ δὲ καὶ νωθὲς ὀμίχλη, ἥπερ ὕπνου ἀρχή.] Libri *παρέχον*. — Crassus: «et caliginem quamdam sensibus obducunt.” Hic igitur aut legit, quod ego exhibeo, aut, quod probabilius, ita de suo scripsit, *παρέχον* vitio laborare videns. — Spiritus siccus et tenuis non *παρέχει ὀμίχλην τῇσι αἰσθήσεσι*, sed *μήκων ἡ παχύνουσα καὶ ὑγραίνουσα τὸ πνεῦμα*. — Cum h. l. cf. verba e cap. de Cur. Epileps.: *ὑπνὸς πολλὸς, παχυτὴς, ἀργίη, ὀμίχλη τῆς αἰσθήσιος.*

καὶ γὰρ καὶ τὰ θηρία ἐς ἀνάπαυλαν ὀργῆς τε καὶ θυμοῦ κνήσι ὤτων τε καὶ κροτάφων δαμνῶνται.] Libri Pc. *d. e. f.* *καί* pone *γάρ* omittunt. — Omnes libri *δάμνονται*. quod de meo in *δαμνῶνται* mutavi: non sum nescius in Hesychio *δάμνεται. δαμάζεται* legi (nam pro *δαμνεῖ* Kusterus vere *δαμνᾷ* reposuisse videtur); sed ego his fidem non adhibeo: — aut *δαμνᾶται, δαμνῶνται*, — aut *δάμναται, δάμνανται* legendum credo. — Obversatusne Aretaeo haec scribenti fuerit locus ex incerto poëta (forte Euripide), quem legis apud Plutarchum de cohibenda ira cap. 14. —?

καὶ γὰρ κάπρον φριξαύχεν' οὐ μόνον γυνὴ,
παῖς δ' ἂν νεογνὸς χειρὶ προσκνήθων νέᾳ,
κλίναι παλαιστοῦ παντὸς εὐμαρέστερον.

Digni certe versus, qui hic adponantur.

μουσικῷ δὲ ἐθισμὸς αὐλῶν ἐφ' ἡσυχίῃ, ἢ ψαλμὸς λύρης, ἢ πηκτίδος σὺν ᾠδῇ. διδασκάλῳ δὲ νηπιάχων μύθων προσομιλίη, ἢ μελέτη παίδων, ἄλλοισι δ' ἄλλα ὕπνου θελκτήρια.] Librorum scriptura haec est: *μουσικῷ δὲ* (*δ'* Pe.) *ἔτι ἐθισμὸς αὐλῶν ἐφ' ἡσυχίῃ* (*ἡσυχίης* Pc. *f.*) *ἢ ψαλμὸς λύρης* (*λύρας* V. A.), *ἢ πυκτίδος* (*πηκτίδος* H. O. Pe. *f.*) *ἢ μελέτη παίδων* (*παιδίων* V.) *σὺν ᾠδῇ. διδασκάλων δὲ νηπιάχων μύθων προσομιλίη. ἄλλοισι δ' ἄλλα ὕπνου θελκτήρια.* — Haec turbata esse facile apparet. — Initio *ἔτι* abundat et librario debetur, qui *ετι* per errorem scripserat, sed videns *ἐθισμός* ponendum esse vitiosum *ετι* reliquit, forte punctis subnotatum: — hoc igitur deleo. — In seqq. *μελέτη παίδων* non ad *τὸν μουσικόν* referendum est, sed ad *τὸν διδάσκαλον*: sunt simul iungenda *ψαλμὸς λύρης, ἢ πηκτίδος σὺν ᾠδῇ.* quibus opponitur *ἐθισμὸς αὐλῶν ἐφ' ἡσυχίῃ.* — Ἐθισμός h. l. accipio de exercitatione tibias inflare et iis canere discentis. Dubitavi aliquando num *μελισμός* Aretaeus scripsisset: sed ipse librariorum error in *ἔτι* magnopere firmare mihi videtur nomen in libris vulgatum. — Pro *διδασκάλων* legendum esse *διδασκάλῳ*, ut *ναυτίλῳ, μουσικῷ*, dudum viderat editor Anglus.

τοῖσι δὲ ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ, ἢν φλεγμονῇ καὶ σκληρίῃ ἐπαίρηται, ἔλαιον δρυπετοῦς ἐλαίης ἐμβάλλειν· παχὺ γὰρ καὶ γλίσχρον καὶ ἀλεαῖνον· τοῦδε ὦν χρέος ἐν φλεγμασίῃ. ἐνηψήσθω δὲ ἐν αὐτέῳ ἄνηθον, κόνυζα, — ἢν δὲ καὶ φῦσα ἐνῇ, κυμίνου καὶ σελίνου τῶν καρπῶν, ἠδὲ ὁκόσα οὔρων καὶ φυσέων ἀγωγά· ἀγαθὸν δὲ ὁμοῦ τὰ πάντα καὶ νίτρον ἐνσήσαντα ἐμπάσσειν.] Nescio an usquam locum magis a librariis corruptum et turbatum viderim! En, ita libri! *Τοῖσι δὲ ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ ἐμβρέγματα καὶ ἐπιπλάσματα, ἢν φλεγμονῇ καὶ σκληρίῃ ἐπαίρηται καὶ φῦσα* (*καὶ φῦσα* om. H. O.) *ἔλαιον δρυπετοῦς ἐλαίης μὴ ὠμῆς ἐμβάλλειν. παχὺ γὰρ καὶ γλίσχρον καὶ ἀλεαῖνον. τόδε ὦν χρέος ἐν φλεγμασίῃ. ἐνεήσθω δὲ ἐν αὐτῇ ἄνηθον, κόνυζα· ἀγαθὸν δὲ ὁμοῦ τὰ πάντα· ἢν δὲ καὶ φῦσα ἐνῇ, κυμίνου καὶ σελίνου τῶν καρπῶν. ἠδὲ ὁκόσα οὔρων καὶ φυσέων ἀγωγά· καὶ νίτρον ἐνσείσαντα* (*ἐνσήσαντα* H. O. Pb. c. d.) *ἐμπάσσειν.* — Haec, puto, ad hunc modum scripta, etiamsi, ut fit,

ἴσχῃ, ἔρια μὲν ἔστω οἰσύπῳ πιναρὰ ἀπὸ τῆς ὄϊος. ἔλαιον δὲ τὸ ἀπὸ τῆς ὄμφακος, ἢ ῥόδινον· μίσγειν δὲ χρὴ σίραιον Ἑλληνικὸν, ἢ Κρῆτα καὶ ἐνεψεῖν μελίλωτον, μίξαντά τε ἐς ἕνα χυλὸν τὰ πάντα καταιονεῖν τὸ ἧπαρ. Σπληνὶ δὲ τὸ ἔλαιον ξὺν ὄξεϊ ἔστω, ἢ εἰ μέζων ἢ πρὶν δοκέοι, ὀξύκρητον, καὶ ἀντὶ ἐρίων σπογγιὴ ἁπαλή. μάλα γὰρ τοῖςδε ὁ σπλὴν χαίρει τε καὶ πρηΰνεται. Ἢν δὲ τὰ ὑποχόνδρια εἴσω ἠδὲ ἄνω εἰρύνηται καὶ τὸ δέρμα περιτείνηται, ἄριστον μὲν ἀντὶ τοῦ λίπαος, ἢ ξὺν αὐτέῳ, παχὺ πικέριον ἴσον. κόνυζα δὲ ἔστω, καὶ λιβανωτὶς, τὰ ἐνεψήματα· καὶ ἄνηθον οὐκ ἀτερπές.

Ἢν δὲ ἐπιπλάσσειν εὐκαιρίη ἔῃ, τοῖσι μὲν ἐλαίοισι τοῖσι αὐτέοισι χρέεσθαι ἐπὶ τοῖσι ὁμοίοισι· ὕλη δὲ λίνου σπέρμα, καὶ τῆλις, καὶ ἄλητον κριθῆς λεπτόν ἀγαθὸν δὲ καὶ κύαμος, καὶ ὄροβος, ἢν ἐξοιδαίνῃ ἡ γαστήρ. Κέγχρος δὲ φωχθεῖσα ἐν μαρσύποισι, πυρίημα κοῦφον καὶ μαλθακόν· ἀληλεσμένη δὲ ξὺν μέλιτι, καὶ ἐλαίῳ, καὶ λίνου σπέρματι, ὑποχονδρίοισι ἐπίπλασμα ἀγαθόν. Ἄνθη δὲ καὶ βοτάναι καὶ σπέρματα, ἄσσα μοι

Latine interpreteris, non tamen intelliges. — Itaque locum expurgemus et emendemus. Verba *ἐμβρέγματα καὶ ἐπιπλάσματα* inscriptionem referunt, quae olim margini adscripta postea in textum illata fuit. — Hanc quidem delebimus! — Iam iungemus *τοῖσι δὲ ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ, ἢν φλεγμονὴ καὶ σκληρίη ἐπαίρηται.* Omittemus cum Wigano codicis Harleyani fide *καὶ φῦσα*, quia e seq. *ἢν δὲ καὶ φῦσα ἐνῇ* perperam huc translatum est: denique non nominativo *φλεγμονὴ καὶ σκληρίη*, sed dativo *φλεγμονῇ καὶ σκληρίῃ* scribemus; nam *ἐπαίρηται* h. l. passivum est: sexcenties medici et Aretaeus ipse: *ὑποχόνδρια ἐπηρμένα*! — Pergamus tamen ad *ἔλαιον δρυπετοῦς ἐλαίης μὴ ὠμῆς ἐμβάλλειν.* Et Petitus et Wiganus *μὴ ὠμῆς* glossema esse crediderunt in *δρυπετοῦς*: vide in primis huius adnotationem! His ego prorsus consentio! Sed verbo de *δρυπετοῦς… μὴ ὠμῆς* monendum. — Hesychius: *δρυπετεῖς. ἀπὸ δένδρου πεπτωκυίας. ὠμάς.* — Kusterus *μὴ ὠμάς* emendat ad Suidam provocans. Ad locum nostrum provocat Alberti et itidem *μὴ ὠμάς* velle videtur. Cum hisce conferenda sunt, quae de *δρυπετής* et *δρυπέπης* a se invicem distinguendis monuit Piersonus ad Moeridem p. 121. et, quem hic excitat, Kühnius ad Poll. VI. 45. Cf. Kusterus et Bernhardy ad Suidam in *δρυπέπης*: ita enim scripsit Suidae nuperrimus editor. — Itaque his auctoribus paene *δρυπέπους ἐλαίης* in nostro scriptore requiras. — Ego, ut verum fatear, cum Kustero et *δρυπέπης* et *δρυπετής* tueor, et vereor ne subtilius, quam verius disseruerit Piersonus, cuius ratiocinationis veluti fundamentum est haec opinio, fructus in arboribus maturescere, qui de illis decidant immaturos esse. — Et vero concedendum est interdum fructus immaturos de arboribus delabi, sed simul tenendum, constantem esse naturae legem, ut arborum et plantarum fructus, nisi homines hos colligant, maturi in terram defluant, adeoque omnino *δρυπετής* de maturo fructu minime absonum, sed contra rei naturae admodum consentaneum esse. Me iudice igitur *δρυπετής* de maturo fructu usurparunt Graeci, in qua voce *μετάληψις* inest, qua consequens pro antecedente ponitur. — Redeamus ad Aretaeum. — In verbis *τόδε ὦν χρέος ἐν φλεγμασίῃ*, nominativum *τόδε* aegre fero: emendo *τοῦδε.* — Venit *ἐνε. σθω*, quod quid sit et a quo verbo ducendum sit, non satis perspicio. Arbitror corruptum esse vocabulum et repono *ἐνηψήσθω*, quia de hac re ubivis in hoc capite sermo fit, et paulo post legimus: *κόνυζα δὲ ἔστω καὶ λιβανωτὶς τὰ ἐνεψήματα.* — Pessime dein *ἐν αὐτῇ*, pro quo lego *ἐν αὐτῷ*, nempe *τῷ ἐλαίῳ.* — Verba *ἀγαθὸν δὲ ὁμοῦ τὰ πάντα* tum, si ad structuram loci mentem adtendas, inepte inferuntur; tum, si teneas non nisi *ἄνηθον* et *κόνυζαν* praeter oleum enumerata esse. — Sed si conferas finem sequentis periodi, *μίξαντά τε ἐς ἕνα χυλὸν τὰ πάντα καταιονεῖν τὸ ἧπαρ*, palam fit haec ad finem nostrae periodi pertinere et scribendum *ἀγαθὸν δὲ ὁμοῦ τὰ πάντα καὶ νίτρον ἐνσήσαντα ἐμπάσσειν.* — Nempe *ἐνσήσαντα* recte Wiganum recepisse pro vulgato *ἐνσείσαντα*, quivis videt. Sed videndum, quorsum spectet *ἐμπάσσειν* in fine. — Nempe quum *ἐπιπάσσειν, ἐπιπλάσσειν*, — *ἐμπάσσειν, ἐμπλάσσειν* saepius apud medicos confundantur, emendationem requirere quis possit, nisi teneat *ἐμπάσσειν* valere *ἐμπάσσειν τῷ ἐλαίῳ*, non *τοῖσι ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ*, quibus ipsum oleum *ἐμβάλλεται.* — Ecce! locum antea intellectu haud facilem, ut opinor, expedivimus!

τὴν πεῖσιν.] H. V. *πῆσιν*: idem vidi in Po.: itaque *πεῖσιν* verissima Goupyli emendatio, uti videtur. H. in marg. glossam fert *πάθην*.

σπληνὶ δὲ τὸ ἔλαιον ξὺν ὄξεϊ ἔστω, ἢ εἰ μέζων ἢ πρὶν δοκέοι, ὀξύκρητον κ. τ. λ.] Ξύν dant Pc. d. e. f. — *σύν* cett. Libri *ἢ εἰ μέζον ἢ πρὶν δονέει* (*δονέοι* H. Pe. f. *δον ἔοι* Pc. d.) — Quod ego Graece exhibeo, Wiganus Latine expressit. — In notulis *μέζον ἢ πρὶν δοκέει* posuit, minus recte: nam *μέζον* ferri nequit et praestat optativus prae indicativo.

ἢν δὲ τὰ ὑποχόνδρια εἴσω ἠδὲ ἄνω εἰρύνηται καὶ τὸ δέρμα περιτείνηται, ἄριστον μὲν ἀντὶ τοῦ λίπαος, ἢ ξὺν αὐτέῳ παχὺ πικέριον ἴσον.] Libri *ἢν δὲ τὰ ὑποχόνδρια εἴσω ᾖ, ἠδὲ ἄνω εἰρύνηται.* — Inest dictio Hippocratica e Coaca 51. et Prorrh. I. 45.: utroque loco legis *ὑποχόνδρια τουτέοισι εἴσω εἰρύαται.* Itaque corruptum est *ᾖ ἠδὲ ἄνω*, ortum vero *ᾖ* e prima syllaba sequentis *ἠδέ.* Aretaeus in tota hac periodo est Hippocraticus oratione. — Sequens *τὸ δέρμα περιτείνηται*, itidem Divino seni debetur, qui in Prognost.: *τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν.* Etiam *πικέριον* e libris spuriis *περὶ γυναικείων* est haustum: cf. Foës. in Oecon. — Galenus exponit *βούτυρον.* — Unus cod. H. veram lect. servavit, in libris ceteris abiit in *πάχεϊ ἐπικαίριον ἴσον.*

κέγχρος δὲ φωχθεῖσα ἐν μαρσύποισι πυρίημα κοῦφον καὶ μαλθακόν.] Respicit Hipp. de Victu acut. § 21.

ἐν τοῖσι ἐμβρέγμασι λέλεκται, καὶ ἐν τοῖσι ἐπιπλάσμασι ἔστω τὰ ὠυτά. Μέλι δὲ καὶ σὺν αὐτέοισι μὲν ἀγαθὸν ἐς σύστασιν τῶν ξηρῶν, καὶ ἐς μίξιν τῶν αὐχμηρῶν, καὶ ὡς ἡ θέρμη ἐς πολλὸν διαρκέῃ. ἀγαθὸν δὲ καὶ αὐτὸ μοῦνον, καὶ ἐπίπλασμα ἡμίεφθον· καὶ ἔμβρεγμα ξύν τινι τῶν ὑγρῶν λυθὲν, μαλθάξαι, ἀλεῆναι, φυσέων καὶ οὔρων ἀγωγὸν, πρηῢναι πρήσιας. Τάδε γὰρ καὶ μελίκρητον ποιέει ποθὲν, καὶ τουτέων πλέονα καὶ κρέσσονα, εἴσω παρελθὸν ἀρτηρίῃ, καὶ πνεύμονι, καὶ θώρηκι, καὶ κοιλίῃ.

Ξυνεχέως δὲ τὴν κοιλίην ἐρεθίζειν βαλάνοισι, ἢ διαχρίστοισι, — ἐπιξηραίνονται γὰρ τὰ πολλά, — ἔς τε τὴν ὁλκὴν τῶν ἀπὸ τῆς κεφαλῆς, ἀτὰρ ἠδὲ ἐς διαπνοὴν τῶν ἐν τῷ θώρηκι ἀτμῶν, καὶ ἔκκρισιν τῶν ἐν τῇ κοιλίῃ. Ἢν δὲ καὶ πολλῶν ἡμερέων ἡ γαστὴρ ἐπίσχηται, κλύζειν χρὴ μελικρήτῳ, καὶ ἐλαίῳ, καὶ νίτρῳ.

Ἢν δὲ μὴ ἀξίως ὑποκαταστῶσι αἱ τῆς φλεγμονῆς πρηδόνες, σικύην θέντα ἐντάμνειν, ἔνθα ἂν ἡ φλεγμονὴ κραίνῃ καὶ μέζων ἔῃ. μίην δὲ ἢ δευτέρην, ὅκως ἄν τά τε φλεγμαίνοντα σημαίνῃ καὶ ἡ δύναμις κελεύῃ. ἀτὰρ καὶ τὸ πλῆθος τοῦ αἵματος τοισίδε τεκμαρτέον, ἀμετρίη γὰρ συγκοπῆς αἰτίη. Ἐς μὲν ὦν ἡμέρην μίην, ἢ δευτέρην τέγξις ἡ ὠυτὴ, ἐς δὲ τὴν τρίτην κηρωτὴ ξύν τινι λίπαϊ τῶν ἐμβρεγμάτων. Ἔπειτα ἐπιθήματα, ἐν φλεγμασίῃ μὲν ἢν ἔτι ἔωσι, ὕσσωπος, τῆλις ἑφθὴ ἐν μελικρήτῳ, τερμίνθου ῥητίνη, κηρός. τὰ δὲ ἔλαια ἐπὶ τοῖσι αὐτέοισι τὰ ὠυτά. Ἢν δὲ μὴ τουτέοισι ἐπανίῃ μηδὲν ἡ παραφορὴ, κουρῆς τῆς κεφαλῆς χρέος· εἰ μὲν μήκισται εἶεν αἱ κόμαι, τὰ πρώτιστα ἐς ἥμισυ· εἰ δὲ βραχύτεραι, ἐν χρῷ. Ἔπειτα μεσηγὺ ἀναλαβόντα τὴν δύναμιν, σικύην κατὰ τῆς κορυφῆς προςβάλλειν, ἠδὲ ἀφαιρέειν αἷμα· κούφη δὲ προτέρη ἐς τὰ μετάφρενα κεκολλήσθω.

mihi: πυρίη δὲ ξηρή· ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισι ἐπιτηδειότατοι· καὶ γὰρ κοῦφον καὶ προςηνὲς ὁ κέγχρος. Vide quae ad h. l. adnotavi. — In nostri codd. μαρσίπποισι H. μαρσίποισι V. Pa. b. c. e. f.

ἀλήλεσμένη δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ καὶ λίνου σπέρματι ὑποχονδρίοισι ἐπίπλασμα ἀγαθόν.] Libri: ἀληλεσμένη (ἀληλεσμένης Pc. ἀληλεσμένοις Pd.) δε καὶ ὑδερώδεα (O. ὑδερώδεσι) ξὺν μέλιτι καὶ ἐλαίῳ καὶ λίνου σπέρματι ἐπίπλασμα ἀγαθόν. — Pro ὑδερώδεσι Wiganus coniicit ὑποχονδρίοισι: equidem lubens recepi, sed pone σπέρματι inserendum censui.

καὶ ἐν τοῖσι ἐπιπλάσμασι ἔστω τὰ ὠυτά.] Vulgo τὰ ἑωυτά, sed Pc. d. τὰ ὠυτὰ praebuerunt. Talia vel sine codd. auctoritate emendanda sunt. cf. Koen. ad Greg. Cor. p. 420.

πρηῢναι πρήσιας.] πρήσιας H. Pb. O. πρίσιας cett. Pd. in marg. ἤγουν πρίσματα.

ἐπιξηραίνονται γὰρ τὰ πολλά.] Τά de meo adposui; cett. omittunt.

ἔκκρισιν.] Sic recte H. O. ἐς κρίσιν cett.

ἡμερέων.] Sic O. Pc. d. e. f. ἡμερῶν cett.

αἱ τῆς φλεγμονῆς πρηδόνες.] Nicander Ther. 364: θοῶς δ' ἐπὶ γυῖα χέονται — πρηδόνες, ἄλλοθεν ἄλλαι ἐπημοιβοὶ κλονέουσαι. — Pd. e. in marg. ἤγουν ἀναθυμιάσεις. — Crassus: „phlegmones exhalationes." — Opinor nostrum hoc nomine et ardorem et tumorem inflammationis significare.

ἔνθα ἂν ἡ φλεγμονὴ κραίνῃ.] Ad κραίνῃ Pd. in marg. φαίνεται.

τοισίδε τεκμαρτέον.] Libri τοῖσι δὲ τεκμαρτέον. Nempe ante τοῖσι punctum adponitur.

τέγξις ἡ ὠυτή.] Sic Pc. d. ἡ ἑωυτή cett.

ἔπειτα ἐπιθήματα, ἐν φλεγμασίῃ μὲν ἢν ἔτι ἔωσι, ὕσσωπος κ. τ. λ.] Libri ἔπειτα ἐπιθήματα ἐν φλεγμασίῃ μὲν ἢν ἐπεῶσι (sic) ὕσσωπος κ. τ. λ. — Illud ἢν ἐπέωσι me offendit; referesne ad φλεγμασίῃ, quod sing. num. continuo praecedit? non facile licet. Sed ortum puto ex ἔτι ἔωσι. — Conf. Hipp. de victu acut. §. 35. mihi: ἀκμαζόντων τῶν νουσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων. — Itaque ἐν φλεγμασίῃ εἶναι inde desumtum videtur a nostro: dictio aeque apte de morbis ac de aegrotantibus usurpari posse videtur.

τερμίνθου ῥητίνη.] Libri omnes τερμίνθου τοῦ φυτοῦ ῥητίνη. — Iam vero quivis, puto, τερμίνθου ῥητίνην novit, neque Aretaeus τοῦ φυτοῦ adscripsit. — Sed praeterea glossa tam inepta videtur, ut vix ab interprete aliquo proficisci potuerit, nisi ab eo, qui nihil intelligens legerit in Hesychio: τέρμινθος. φυτὸν ἐμφερὲς τῷ λίνῳ, ἐξ οὗ πλέκουσιν Ἀθηναῖοι παροψμίας. Nimirum Diosc. I. 91.: τέρμινθος, inquit, γνώριμον δένδρον!

ἔλαια ἐπὶ τοῖσι αὐτέοισι τὰ ὠυτά.] Sic A. Pc. d. cett. τὰ ἑωυτά.

κουρῆς τῆς κεφαλῆς χρέος.] Edi solet κουρή. G. v. l. κουρῇ. Pc. d. e. κουρῆ (sic). Genitivum requiri quivis videt.

εἰ μὲν μήκισται εἶεν αἱ κόμαι, τὰ πρώτιστα ἐς ἥμισυ· εἰ δὲ βραχύτεραι ἐν χρῷ.] Libri initio ἢν μέν: iidem omnes εἰ δέ. De meo εἰ μέν reposui, quum εἶεν sequeretur; firmat emendationem εἰ δέ in altero membro.

σικύην κατὰ τῆς κορυφῆς προςβάλλειν.] Σικύην Pb. d. συκίην cett. — Est hic librariorum error in medicorum libris tam vulgaris, nihil ut supra.

Ἐπεὶ δὲ καὶ θώρηκα ἐν πάσῃσι τῇσι ὀξείῃσι νούσοισι ἀκέεσθαι χρὴ, τὸν πάντῃ κάμνοντα, ξὺν κραδίῃ, καὶ πνεύμονι, πρώτιστα μὲν ὑπ' ἀνάγκης τῆς ἀναπνοῆς, ἄλλοτε μὲν θερμῆς, ἄλλοτε δὲ ψυχρῆς· ἔτι δὲ ὑπὸ πυρετοῦ καυσώδεος, καὶ βηχὸς, καὶ ὑγρῶν πονηρίης, καὶ νεύρων κοινωνίης, καὶ στομάχου συμφορῆς, καὶ ὑπεζωκότος τε καὶ διαφράγματος κακίης, — κραδίῃ γάρ ἢν πάθῃ μέζον τι δεινὸν, οὔκοτε ἀκέεται, — ἐπὶ δὲ τοῖσι φρενιτικοῖσι καὶ μάλα χρὴ τάδε μειλίσσειν. Παραφορὴ μὲν γὰρ μετεξετέροισι ἔκ τινος τῶν ἐν τῷ θώρηκι. ἀναπνοὴ, θερμή τε καὶ ξηρή· δίψος δριμύ· οὐκ εὔφορον πῦρ, τῷ πάντα ἐς θώρηκα ξυῤῥέειν· καὶ κακίη μὲν ἀπὸ τοῦ οἰκείου θάλπεος τετραμμένου, μέζων δὲ καὶ δυςφορωτέρη, ἢ ἀπὸ τῶν ἄλλων ἐς θώρηκα ξύνδοσις· ἄκρεα γὰρ ψυχρὰ, ὕπερθεν δὲ τῶνδε ὁ θώρηξ. Καὶ δέεται ὦν ἀρήγειν ὑγρασίῃ καὶ ψύξι. Τέγξις μὲν ὦν, ἔλαιον ξὺν χαμαιμήλῳ ἑψηθὲν, ἢ νάρδῳ. θέρεος δὲ, καὶ σίραιος Ἑλληνικός. Ἢν δὲ καὶ ἐπιθέτοισι δέῃ χρέεσθαι, φοίνικες ἐν οἴνῳ αὐστηρῷ δευθέντες, ἔπειτα λεῖοι ἐς μάζαν τετριμμένοι ξὺν νάρδῳ, ἀλφίτοισι, οἰνάνθῃ, προςηνὲς θώρηκι ἐπίπλασμα. ψυκτικὸν δὲ καὶ μῆλα θλασθέντα ξὺν μαστίχῃ καὶ μελιλώτῳ· πάντα δὲ κηρῷ καὶ νάρδῳ ἀναλαμβάνειν. Ἢν δὲ καὶ τὸν στόμαχον ἔχῃ νάρκη καὶ ἀποσιτίη, ἀψινθίου χυλὸν, ἢ κόμην τοισίδε ξυλλεαίνειν. καὶ τῷδε ἑψηθέντι ξὺν λίπαϊ καταιονεῖν τὸ ὑποχόνδριον. πιπίσκειν δὲ καὶ τὸ ἀπόβρεγμα, ἢ χυλὸν αὐτέου πρὸ τῆς τροφῆς, ὁκόσον κυάθους δύο τοῦ ἀποβρέγματος, ἢ κύαθον πικροῦ τοῦ χυλοῦ ξὺν ὕδα-

ἐπεὶ δὲ καὶ θώρηκα ἐν πάσῃσι τῇσι ὀξείῃσι νούσοισι ἀκέεσθαι χρὴ, τὸν πάντῃ κάμνοντα ξὺν κραδίῃ καὶ πνεύμονι, πρώτιστα μὲν ὑπ' ἀνάγκης τῆς ἀναπνοῆς, ἄλλοτε μὲν θερμῆς, ἄλλοτε δὲ ψυχρῆς· ἔτι δὲ ὑπὸ πυρετοῦ καυσώδεος, καὶ βηχὸς, καὶ ὑγρῶν πονηρίης, καὶ νεύρων κοινωνίης, καὶ στομάχου συμφορῆς, καὶ ὑπεζωκότος τε καὶ διαφράγματος κακίης, — κραδίη γὰρ ἢν πάθῃ μέζον τι δεινὸν οὔκοτε ἀκέεται, — ἐπὶ δὲ τοῖσι φρενιτικοῖσι καὶ μάλα χρὴ τάδε μειλίσσειν.] Pauca tantum in his mutavi; ita enim libri: *ἐπεὶ δὲ καὶ θώρηκα ἐν πάσῃσι τῇσι ὀξείῃσι νούσοισι ἀκέεσθαι χρὴ, πάντῃ τὸν κάμνοντα ξὺν καρδίῃ* (*κραδίῃ* Pa. b. d. e. f.) *καὶ πνεύμονι, πρώτιστα μὲν ὑπ' ἀνάγκης τῆς ἀναπνοῆς ἄλλοτε μὲν θερμῆς, ἄλλοτε δὲ ψυχρῆς· ἔτι δὲ ὑπὸ πυρετοῦ καυσώδεος καὶ βηχὸς καὶ ὑγρῶν πονηρίης καὶ νεύρων κοινωνίης καὶ στομάχου συμφορῆς ὑπεζωκότος τε καὶ διαφράγματος κακίης· καρδίη* (*κραδίη* Pa. b. d.) *γὰρ ἢν πάθῃ μέζον τι δεινὸν, οὔποτε* (*οὔκοτε* Pc. d.) *ἀκέεται· ἐπὶ δὲ τοῖσι φρενιτικοῖσι καὶ μάλα χρὴ τάδε μειλίσσειν.* — Videamus de scripturae vitiis: *πάντῃ τὸν κάμνοντα*, quod ad *θώρηκα* refertur, transposita vocula mutandum in *τὸν πάντῃ κάμνοντα.* — Ante *ὑπεζωκότος* copula *καί* excidit. Receptis praeterea iis, quae Epice et Ionice in codd. leguntur scripta, iam locus salvus est. — Apodosis sententiae est in verbis *ἐπὶ δὲ τ. φρεν. — μειλίσσειν*: in protasi obiectum est *τὸν θώρηκα*, in apodosi ad *τάδε* transit auctor, i. e. *τάδε τὰ συμπτώματα*: longius nempe ducta periodo in apodosin *δέ* infertur, et ad alterum obiectum, cum priore tamen arcte cohaerens, fit transitus. In fine *προτάσεως* intermedia sententia parenthesi infertur *κραδίη — ἀκέεται.* — Hic nexus variorum periodi membrorum.

οὐκ εὔφορον πῦρ τῷ πάντα ἐς θώρηκα ξυῤῥέειν· καὶ κακίη μὲν ἀπὸ τοῦ οἰκείου θάλπεος τετραμμένου, μέζων δὲ καὶ δυςφορωτέρη ἢ ἀπὸ τῶν ἄλλων ἐς θώρηκα ξύνδοσις· ἄκρεα γὰρ ψυχρὰ, ὕπερθεν δὲ τῶνδε ὁ θώρηξ.] Libri *τῷ πάντῃ ἐς θώρηκα ξυῤῥέειν.* — Crassus et Wiganus interpretantur «undique," adeo ut fere *πάντοθεν* exprimere videantur. Me iudice *πάντῃ* vitiosum est et e *πάντα* originem duxit, quod ideo reposui. Porro codd. *μέζων τε καὶ δυςφορωτέρη*: sed pro *τέ* legendum est *δέ*: antithesis est in *κακίη μέν* et *μέζων δὲ καὶ δυςφορωτέρη.* — Tandem ceteri omnes libri scripti et editi *ἄκρα* (*ἄκρεα* H. V. O. Pb. c. d. e. f.) *γὰρ ψυχρὰ, κεφαλὴ πόδες τε καὶ χεῖρες· ὕπερθεν δὲ τῶνδε ὁ θώρηξ.* — Recte Wiganus *ἄκρεα* recepit; nam hanc formam Aretaeum usurpasse docet lusus in *κρεῶν ἀκρέων*, de quo paulo ante vidimus. Sed ridiculum est Aretaeum dicentem facere *τὸν θώρηκα ὕπερθεν τῆς κεφαλῆς εἶναι*! — Deleamus glossam *κεφαλὴ πόδες τε καὶ χεῖρες*, qua exposuit nescio quis *τὰ ἄκρεα.* — Respexit forsitan interpres ille Hipp. locum e progn.: *κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν, τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων*: sed minus recte Aretaeum intellexit, qui nunc per *τὰ ἄκρεα* non nisi *χεῖράς τε καὶ πόδας* intelligit! — Haud consentio cum Wigano ad *θώρηξ* adnotante: «Videntur post hanc vocem pauca quaedam deficere." Nihil deest.

τέγξις μὲν ὦν ἔλαιον ξὺν χαμαιμήλῳ.] Χαμαιμήλῃ vulgo: *χαμαιμήλῳ* Pc. d. e. f.

δέῃ χρέεσθαι.] Χρέεσθαι δέῃ Pc. d. e. f.

τοισίδε ξυλλεαίνειν.] Hic quoque libri *τοῖσι δὲ ξ.*

καταιονεῖν τὸ ὑποχόνδριον.] Koen. ad Greg. Cor. p. 397: «In Aretaeo Cappadoce Ionice scribente plus semel obvium *καταιονεῖν* corruptum videtur ex *καταιονέειν* Ionice, pro *καταιονᾷν* posito; quamquam et altera forma, ab Ionibus accepta, apud alios occurrit: vid. Pierson. ad Moer. p. 73." — Libri scripti in hac forma tuenda ita conspirant, ut nihil de meo mutem: nescio num probare quis possit, *καταιονεῖν* potius e *καταιονέειν*, quam

τος κυάθοις δύο. Ἢν δὲ καὶ καῦσος ἔχῃ τὸν στόμαχον, οὐκ ἀπὸ τῆς καταστάσιος τῆς νούσου, ἀλλ' αὐτοῦ μούνου ἀπὸ χυμῶν δριμέων καὶ ἁλμυρῶν, ἢ ὑπὸ χολῆς δακνομένου, καὶ δίψεϊ αὑαινομένου, ὑδρομιγὲς γάλα δοτέον ἐν τροφῇ, ὅσον ἡμικοτύλιον τοῦ γάλακτος ἐν ὕδατος κυάθῳ ἑνί. ῥυμφάνειν δὲ αὐτέου τὸ πλεῖστον, βραχὺ δέ τι καὶ σὺν ἄρτῳ ἀναλίσκειν.

Ἢν δὲ καὶ καῦσος ἔχῃ τὸν ἄνθρωπον, καὶ δίψος, καὶ ἀπορίη, καὶ μανίη, καὶ ἐπιθυμίη ψυχροῦ ὕδατος, διδόναι, μεῖον μὲν, ἢ ὁκόσον ἐν καύσου νούσῳ, ἄνευ φρενίτιδος· τῶνδε γὰρ ἀμφὶ τῶν νεύρων ὀῤῥωδέειν χρή. διδόναι ὦν, ὁκόσον ἐς στομάχου ἄκος· ὀλίγον δὲ ἀπαρκέει· βραχυπόται γὰρ οἱ φρενιτικοί.

Ἢν δὲ καὶ ἐς συγκοπὴν τράπωνται, — γίγνεται γὰρ καὶ τόδε, τῆς μὲν δυνάμιος λυομένης, ἱδρῶτι δὲ χεομένου τοῦ ἀνθρώπου, πάντων δὲ ἐς τὸ ἐκτὸς τὴν φορὴν ποιευμένων, καὶ τοῦ τόνου λυομένου καὶ τοῦ πνεύματος, ἔς τε ἀκηδίην μὲν τῆς παραφορῆς, δέος δὲ εἰς ἀτμὸν λυθῆναι καὶ ὑγρασίην τὸν ἄνθρωπον, — ἄλκαρ μοῦνόν ἐστι οἶνος, θρέψαι μὲν ὠκέως κατ' οὐσίην, καὶ πάντῃ μέχρι περάτων μολεῖν, τόνῳ δὲ προςθεῖναι τόνον, καὶ πνεῦμα νεναρκωμένον ἐγεῖραι, ψύξιν ἀλεῆναι, στύψαι πλάδον, φερομένων ἔξω καὶ ῥεόντων κρατῆσαι, ἡδὺς μὲν ὀσφραίνεσθαι ἐς ἡδονὴν, κραταιὸς δὲ στηρίξαι δύναμιν ἐς ζωὴν, ἄριστος δὲ μειλίξαι θυμὸν ἐν παραφορῇ. τάδε μέν τοι ποθεὶς ἅμα πάντα πρήσσει· θυμόν τε γὰρ πρηΰνονται μαλθάξι φρενῶν, καὶ ἐξ ἑωυτέων ἐς δύναμιν τρέφονται, ἀτὰρ ἠδὲ ἑωυτέοισι ἐμπνέουσι ἐς ἡδονήν.

Ὅταν δὲ πρόσω μὲν ἤδη πολλὸν ἥκῃ χρόνου, ὅ τε πυρετὸς νωθὴς ἔῃ, ἀτὰρ ἠδὲ ἡ

e *καταιονῆν*, corruptum esse, si quidem corruptum pronuntiare audeat? Equidem vulgatum in libris *καταιονεῖν* retinebo; alia etiam verba in *εω* contracte efferuntur subinde v. c. *ἐμεῖται* initio.

καταστάσιος.] O. Pc. *d.* ita Ionice; *καταστάσεως* cett.

ἢν δὲ καὶ καῦσος ἔχῃ τὸν ἄνθρωπον.] Καί h. l. omittitur in Pc. *e.*

βραχυπόται γὰρ οἱ φρενιτικοί.] Alterum fragmentum est sententiae, cuius partem alteram supra usurpavit. Coaca 16. *οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες.* In Prorrh. I. 96. additur: *ἢ σπασμώδεες.*

ἔστι δὲ καὶ χρίσματα κρέσσονα τῆς τέγξιος, εὐφορέστερά τε καὶ δυνατώτερα· οὔτε γὰρ περιῤῥέει ἐς τὸ τῶν στρωμάτων αἶσχος· εὔχρηστον δὲ τὸ τοιόνδε, εἰ προςίζεται τῷ σκήνεϊ, ἔςτε ξυντακέντα ὑπὸ τῆς ἀλέης ἀνεπόθη. ἀλλὰ καὶ τὸ ἀΐδιον αὐτέων ὀνηϊστὸν, περιῤῥέει γὰρ ἡ τέγξις.] Loci de coniectura ita constituti vulgatam lect. cum scripturae varietate in libris adponam. — *ἔστι δὲ καὶ χρίσματα κρέσσονα τῆς τέγξιος, εὐφορέστερά τε καὶ δυνατώτερα* (*ἀδυνατώτερα* Pf.). *οὔτε γὰρ περιῤῥέειν ἐς τὸ τῶν στρωμάτων* (*τραυμάτων* Pb.) *αἶσχος· ἄχρηστον γὰρ τοῖσι κάμνουσι τὸ τοιόνδε, εἰ προςίζεται τῷ σκήνεϊ, ἔς τε τὰ* (*ἐς τὰ* H. Pd.) *ξυντακέντα ὑπό τε τῆς ἀλέης ἀνεπόθη. ἀλλὰ καὶ τὸ ἀΐδιον* (*ἴδιον* V. A.) *αὐτέων ὀνηϊστόν· περιῤῥέει γὰρ ἡ τέγξις.* — Crassus: «Nempe inunctiones irrigationibus praestant, facilius feruntur et magis proficiunt: neque enim dilabentes lectum et stragula inquinant, aegrotis vero id inutile est, sed inhaerentes corpori in colliquatas partes et a calore sorbentur, quinetiam et ipsarum perpetuitas conducibilis: nam irrigatio diffluit." — Wiganus in adnn.: «*οὔτε γὰρ περιῤῥέειν* etc., inquit, sensus quidem in his duabus lineis facile eruitur: verba tamen haud prorsus castigate legi puto." — Petitus nihil, quod tenere operae pretium sit, adscribit. — Sed Wiganus in Latinis tamen eiusmodi sensum eruit, qui omnino displiceat: «Inunctiones perfusionibus praestant, quia facilius tolerantur et magis proficiunt; neque enim stragula diffluendo inquinant; laborantibus enim incommodum est, ut stragula corpori adhaerescant; unguenta vero a calore liquantur absorbenturque, quin et perpetim inhaerescendo iuvant, cum perfusio diffluat." — Neque Crassus, neque Wiganus adposite ad Graeca interpretantur: age igitur ipsam librorum lectionem accuratius perpendamus! Facile quivis pro *περιῤῥέειν* scribendum esse *περιῤῥέει* videbit. Iam vero in seqq. facile etiam corrigis *ἔς τε ξυντακέντα ὑπὸ τῆς ἀλέης ἀνεπόθη.* — In aprico nunc *ἄχρηστον γὰρ τοῖσι κάμνουσι τὸ τοιόνδε, εἰ προςίζεται τῷ σκήνεϊ ἔς τε ξυντακέντα ὑπὸ τῆς ἀλέης ἀνεπόθη* sensu idoneo destitui. — *Προςίζεται* ad *τὰ στρώματα*, quod voluit Wiganus, referri nequit: nam *ξυντακέντα* eodem spectat, quo *προςίζεται*, neque vero *στρώματα ὑπὸ τῆς ἀλέης ἀνεπόθη.* Praeterea non *ἄχρηστον τοῖσι κάμνουσι, εἰ τὰ στρώματα προςίζεται τῷ σκήνεϊ*, sed fortasse *οὐ φορητόν.* — Neque vero *ἄχρηστον τοῖσι κάμνουσι, εἰ τὰ χρίσματα προςίζεται τῷ σκήνεϊ ἔςτε ἀνεπόθη*, sed omnino *εὔχρηστον.* — Quid igitur? Librarii ex *εὔχρηστον* effecere *ἄχρηστον*, cuiusmodi confusio iam saepius in nostro obviam venit. — Particula

φάτων μὲν, ὁκόσα μοι λέλεκται. ξὺν αὐτέοισι δὲ καστόριον, ῥητίνη τερμίνθου· εὐφορβίου, λιμνήστιδος, πυρέθρου ἴσα· πεπέριος, χαλβάνης, ἐς ἥμισυ, ξὺν νίτρου Αἰγυπτίου τριπλασίῳ, κηροῦ ὁκόσον ἐς σύστασιν ὑγρήν. Πολλὸν δὲ τουτέων φαρμακείη ποικιλωτέρη καὶ πλέον καὶ ἰδίῃ λέλεκται. Ἐπιπλάσματα τῇσι σκληρίῃσι καὶ τῇσι ἐντάσεσι τῶν μερέων ἐπιθετέον. ὕλη δὲ λίνου σπέρμα, τῆλις, ἄλητον κρίθινον, μέλι· ἔλαιον ἔνθα πήγανον, ἢ ἄνηθον ἐζέσθη· ἀλθαίης ῥίζα κοπεῖσα καὶ ἐν μελικρήτῳ ἑψηθεῖσα, ὡς κηροειδὴς γενέσθαι. ἔστω δὲ εὐαφέα καὶ προςηνέα τῇ ξυστάσι. Ἢν μὲν ὦν ἄπυροι ἔωσι ἔτι, ἢ σμικρὸν ἐπιπυρεταίνωσι, τάδε χρὴ πρήσσειν, οὐκ ἀλεγίζοντα τῆς θέρμης.

Ἢν δὲ πυρετοὶ ὀξέες ἔωσι καὶ ἡ ἄλλη νοῦσος σμικροτέρη τῶνδε φαίνηται, καὶ ἐς τὸν κίνδυνον οἵδε ξυνεπείγωσι, πρὸς τούςδε χρὴ τὴν δίαιταν καὶ τὴν ἄλλην θεραπείην ἁρμόζεσθαι. Τροφῇσί τε ὦν τελέως λεπτῇσι, εὐπέπτοισι χρέεσθαι· καὶ τῇ εὐκαιρίῃ προςεκτέον νῦν μᾶλλον· καὶ τοὺς παροξυσμοὺς ὑποστέλλεσθαι ἐς πᾶσαν ἰητρείην· καὶ τὸ ξύμπαν τοῖσι πυρετοῖσι προςκέεσθαι χρή.

Ἢν δὲ πρόσω προήκῃ χρόνου καὶ τὴν κεφαλὴν ἐν αἰτίῃ ἴσχῃ, σικύην χρὴ ἐς τὸ ἰνίον προςβάλλοντα αἱμάσσειν ἀφειδέως. καὶ γὰρ φλεβοτομίης ὀνίνησι μᾶλλον καὶ τὰς δυνάμιας οὐκ ἀφαιρέει. Προτέρη δὲ μεσηγὺ τῶν ὠμοπλατέων κούφη τιθέσθω ἐς ἀντίσπασιν τῆς ἐν τῷ ἰνίῳ.

Παρελύθη κοτε καὶ κατάποσις, ἥπερ μούνη ἀποπλήκτοισι ἄλκαρ ἐστὶ σωτηρίης εἴς

γάρ ferri nequit, sed δέ dandum est, quod nescio an non Crassus legerit, qui: «aegrotis *vero* id inutile est" interpretatur. Iamque omnia facile procedunt, facileque intelligi mihi videntur.

ὕλη δὲ ἀλειφάτων μὲν, ὁκόσα μοι λέλεκται. ξὺν αὐτέοισι δὲ καστόριον, ῥητίνη τερμίνθου· εὐφορβίου, λιμνήστιδος, πυρέθρου ἴσα· πεπέριος, χαλβάνης ἐς ἥμισυ ξὺν νίτρου Αἰγυπτίου τριπλασίῳ, κηροῦ ὁκόσον ἐς σύστασιν ὑγρήν.] Vulgatam adponam scripturam loci una cum varietate lectionis: *ὕλη δὲ ἀλειφάτων* (*ἀλοιφάτων* Pa.) *μὲν ὁκόσα μοι λέλεκται· ξὺν αὐτέοισι δὲ* (*τὸ* V. interponit) *καστόριον, ῥητίνη* (*ῥητίνης* H. Pc. *d. f.*) *τερμίνθου τοῦ δένδρεος, εὐφορβίου, λημνίστιδος* (*λιμνήστιδος* O. H. Pc. *d. e. f.*), *πυρέθρου ἴσα, πεπέρεος* (*πεπέριος* Pe. *f.*), *χαλβάνης*, (*χαλβάνου* Pa.) *ἐς ἥμισυ ξὺν νίτρῳ Αἰγυπτίῳ* (*νίτρου Αἰγυπτίου* H. Pc. *d. e. f.*) *τριπλάσιον, κηροῦ ὁκόσον ἐς σύστασιν ὑγρήν.* — Wiganus in notulis: «malim, inquit, *καστορίου, ῥητίνης*, uti postea *εὐφορβίου* cett., ... *ῥητίνης* habet H." — Non consentio: nam *εὐφορβίου, λιμνήστιδος, πυρέθρου ἴσα* arcte cohaerent, neque huc castoreum et terebinthinam resinam trahere oportet: cap. 2. legis: *λιμνήστιδος ἠδ' εὐφορβίου ἴσα ξὺν λίπαϊ γλευκίνῳ χρίειν ἄριστον*; loco nostro duobus his accedit tertium *πύρεθρον* et quartum cap. 6.: *χρίειν δὲ τῷ διὰ τῆς λιμνήστιδος καὶ εὐφορβίου καὶ νίτρου καὶ πυρέθρου ἀλείμματι. προςβάλλειν δὲ τοῖςδε τοῦ καστορίου συχνόν.* Sed mihi glossa *τοῦ δένδρεος* hic quoque delenda visa est et in seqq. recipiendus genitivus *νίτρου Αἰγυπτίου*, ita ut *τριπλάσιον* in *τριπλασίῳ* mutarem. Cap. 5. *ξὺν νίτρου διπλασίῳ.* — Ita tandem omnia recte descripta videntur.

πολλὸν δὲ τουτέων φαρμακείη ποικιλωτέρη καὶ πλέον καὶ ἰδίῃ λέλεκται.] Cum hisce cf. cap. 2. libri sequentis verba: *ὧν ἡ σκευασίη ἰδίῃ λέλεκται.* — Puto Aretaeum utroque loco libros hodie deperditos, quos de materia medica conscripserit, respicere. — Miror nonnihil illud *καὶ πλέον*, quod fere suspectum mihi: nempe aut *καὶ πλεονάκις* significat, me iudice, aut legendum *πολλὸν δὲ τουτέων φαρμακείη ποικιλωτέρη καὶ πλέων ἰδίῃ λέλεκται.* Videant alii!

ἄλητον κρίθινον.] Vulgo *ἄλφιτον κρίθινον*: sed alterum illud H. O. Pc. *d. e. f.*

ἐζέσθη.] Ἔζεσται H. ἔζεσθαι Pd. *e.*

ὡς κηροειδὴς γενέσθαι.] Vulgo *ὡς κ. γ.*; sed *ὥςτε κ. γ.* V. A. O. Pa. —

ει
τῇ ξυστάσι.] Ξυστάσι (sic) Pa. — Vide quae de his dativis alibi monui. (Ad Hipp. de V. A. p. 128. seq.)

οὐκ ἀλεγίζοντα τῆς θέρμης.] Ἀλεγίζειν Homericum est. Il. I. 160:

πρὸς Τρώων, τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.

ibid. 180,

Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω.

τροφῇσι ... λεπτῇσι.] Sic V. O. Pa. *b.* *τροφῇσι ... λεπτοῖσι* cett.

ἐς πᾶσαν ἰητρείην.] Sic Po. *ἰητρίην* cett.

καὶ τὸ ξύμπαν τοῖσι πυρετοῖσι προςκέεσθαι χρή.] Ad totum hunc locum a verbis inde *ἢν δὲ πυρετοὶ ὀξέες ἔωσι* tenendum, antiquos ab Hipp. inde morbum acutum cum febre considerare ita, ut eum veluti e morbo et febre compositum dicant, tanquam totum quodpiam e duabus partibus: cf. quae adscripsi ad Hipp. de V. A. p. 117. mihi.

ἢν δὲ πρόσω προήκῃ χρόνου.] Sic de meo scripsi: libri perperam *χρόνῳ* ferunt.

κούφη τιθέσθω.] Vulgo editur *κουφὴν* (sic) *τιθέσθω.* O. e. V. *κούφη τιθέσθω*: sed H. Pc. *d.* *κουφὴν τίθεσθαι* Patet unde plurimarum Edd. lectio originem traxerit.

τε τὴν τῆς τροφῆς κατάποσιν καὶ ἐς τὴν τῶν φαρμάκων πάροδον. Οὐ γὰρ ἀτροφίης καὶ λιμοῦ κίνδυνος μοῦνον, ἀλλὰ καὶ βηχὸς, καὶ δυςπνοίης, καὶ πνίξιος. κῆν γὰρ καὶ ἐγχέῃ τις ἐς τὸ στόμα ὑγρὸν σιτίον, ἐς τὴν ἀρτηρίην ὑποῤῥέει, οὔτε τῶν παρισθμίων ξυμπιπτόντων ἐς τὸν ὠσμὸν τῶν σιτίων, οὔτε τῆς ἐπιγλωττίδος ἐνιζούσης ἐς τὴν ἑωυτῆς ἕδρην, ἥτις ἐπίθημα τῆς ἀρτηρίης πέφυκε. Χρὴ ὦν μελίκρητον ἢ χυλὸν ἐγχέαντα μυστίλῃ μακρῇ, ὑπεραίροντα ὑπὲρ τῆς ἀρτηρίης, ἐς τὸν στόμαχον ἐγχέειν· ὅδε γὰρ ἔτι ἐς κατάποσιν ὑπουργέει. Ἢν δὲ ὁ νοσέων ἐς ὄλεθρον ἴῃ ὕστατον, ὁ δὲ αὐχὴν ξὺν τῇ ἀναπνοῇ πηγνύηται, τόν τε αὐχένα καὶ τὸν ἀνθερεῶνα θερμάσμασι χρίειν τε καὶ πυριῆν. Ματαιόπονοι δὲ καὶ ἀΐδριες, ὁκόσοι σικύην ἐς τὸν ἀνθερεῶνα προςβάλλουσι, ἐς εὐρύτητα τοῦ στομάχου· οὐ γὰρ διαστάσιος χρέος ἐς ἔνδεσιν τῆς τροφῆς, ἀλλὰ ξυμπτώσιος ἐς κατάποσιν. Προςδιαστέλλει δὲ σικύη· κῆν καταπίνειν θέλῃ, ἐπίσχει τῇ ἀποστάσι τε καὶ ἀνθολκῇ· ἐπανιέναι δὲ χρὴ ἐς τὴν περιστολὴν τῆς καταπόσιος. πρὸς δὲ τουτέοισι τὴν ἀρτηρίην πληροῖ ἐς κίνδυνον ἀποπνίξιος. Ἀλλ' οὐδ' εἰ ἔνθα καὶ ἔνθα τοῦ βρόγχου θείης, ἀρήγει· μύες γὰρ καὶ νεῦρα, καὶ τένοντες, καὶ φλέβες ἐπίπροσθεν ἔασι αὐτέου.

Κύστις δὲ καὶ τὸ χαλαρὸν ἀρχοῦ ἄλλοτε μὲν ἐς ἔκκρισιν παρεῖται, καὶ ἔστι τῶν περιττῶν ἀεὶ ἐόντων πλήρεα, — κύστις δὲ καὶ ἐς ὄγκον μέγιστον ἀείρεται· — ἄλλοτε δὲ ἐς κάθεξιν αὐτέων, διαῤῥέει γὰρ τὰ περιττὰ, ὡς δι' ἀψύχων. Ἔνθα ὦν ἐς μὲν τὴν κύστιν τῷ καθετῆρι οὐκ εὔτολμον χρέεσθαι· κίνδυνος γὰρ σφακελίζειν τῇ κύστι, ἠδὲ σπασμὸν διδόναι τῷ ἀνθρώπῳ. Ὑποκλύζειν δὲ μὴ πολλῷ πλήθεϊ τοῦ χυλοῦ, κρέσσον. κῆν ἐκκοπρωθῇ τὸ ἔντερον, προςενιέναι ξὺν ἐλαίῳ καστόριον. Ἐλπὶς δὲ μούνη

ἥπερ μούνη ἀποπλήκτοισι ἄλκαρ ἐστὶ σωτηρίης.] Vulgo μούνη καὶ ἀποπλ. — V. om. καί, unde in O. omissum: Pc. d. μούνης ἀποπλ. sine addito καί.

κῆν γὰρ καὶ ἐγχέῃ τις.] Καί pone γάρ om. O.; item Pa. b. — Potes κῆν γὰρ ἐγχέῃ τις scribere, potes ἢν γὰρ καὶ ἐγχέῃ τις, potes etiam κῆν γὰρ καὶ ἐγχέῃ τις.

ἐς τὸ στόμα.] Sic O. Pa. b. εἰς cett.

μυστίλῃ μακρῇ.] Pc. e. in marg. σταφυλοπλαστῇ.

ὑπεραίροντα.] Ὑπεραιρέοντα Pc. d. e. f. — Ceterum in verbis τόδε γὰρ ἔτι ἐς κατάποσιν ὑπουργέει, — nam τόδε omnes libri ferunt, — de meo ὅδε γὰρ ἔτι ἐς κατάποσιν ὑπουργέει dedi: neque enim pronomen ad aliud quid quam ad τὸν στόμαχον referri apte potest. Patet ultro e praegressis οὔτε τῶν παρισθμίων ξυμπιπτόντων ἐς τὸν ὠσμὸν τῶν σιτίων.

ἢν δὲ ὁ νοσέων ἐς ὄλεθρον ἴῃ ὕστατον, ὁ δὲ αὐχὴν ξὺν τῇ ἀναπνοῇ πηγνύηται κ. τ. λ.] Libri εἰ δὲ ὁ νοσέων ἐς ὄλεθρον εἴη ὕστατον, ὁ δὲ αὐχὴν σὺν τῇ ἀναπνοῇ πήγνυται. — In his ξύν Po. σύν cett. — Ad εἴη Wiganus: «an ἴῃ?" quaerit. — Mihi omnino ἴῃ legendum videtur; sed propter hoc ipsum ἢν — ἴῃ — πηγνύηται scripsi de meo. — Ad nomen αὐχήν Pc. in marg. ὁ αὐχὴν τοῦ στομάχου scilicet!

τόν τε αὐχένα καὶ τὸν ἀνθερεῶνα θερμάσμασι χρίειν καὶ πυριῆν.] Vulgo τόνδε τὸν αὐχένα. H. Pd. e. f. τόν omittunt: omisit Wiganus in O. et in notulis: «τόνδε. An τόντε?" inquit. — Imo vero nihil aliud nisi τόν τε αὐχένα auctor scripsit.

ἀΐδριες.] Il. III. 69. ἀλλ' ἀστεμφὲς ἔχεσκεν, ἀΐδρεϊ φωτὶ ἐοικώς. — Infra cap. 10. καὶ τόδε ἐκάλεσαν ἄνδρες ἀΐδριες πλευρῖτιν.

τὴν ἀρτηρίην πληροῖ.] Sic O. H. V. Pa. πληροῦν cett.

Κύστις δὲ καὶ τὸ χαλαρὸν ἀρχοῦ ἄλλοτε μὲν ἐς ἔκκρισιν παρεῖται καὶ ἔστι τῶν περιττῶν ἀεὶ ἐόντων πλήρεα, — κύστις δὲ καὶ ἐς ὄγκον μέγιστον ἀείρεται κ. τ. λ.] Pro ἀρχοῦ libri dant ἀγχοῦ. Ad quam lect. Wiganus: «Verum sane est, inquit, vesicam rectumque intestinum, prope se iacere; malim tamen, χαλαρὸν ἀρχοῦ. Ita Hipp. (lib. de Artic. 810.) κύστις τε γὰρ καὶ γοναὶ, καὶ ἀρχοῦ τὸ χαλαρὸν ἔκτισται. Quae verba exponens Galenus (de Vulv. Sect.) ait, Ἀρχὸν μὲν οὖν λέγων, (Ἱπποκράτης) τὸ ὅλον ἀπευθυσμένον· καὶ χαλαρὸν δὲ ἀρχοῦ, τὸ κάτω μέρος τοῦ ἀπευθυσμένου, ἔνθα καὶ μάλιστα ἀνευρύνεται. V. Foes. Not. et Oecon. in χαλάω et ἀρχός. Ἀρχοῦ vox medica est; et si cornu τοῦ P obscurum est, facile τῷ Γ simile videbitur: unde in ἀγχοῦ mutatum est." — Hoc auctore ἀρχοῦ scripsi! — Sed praeterea libri καὶ ἔστι τῶν περιττῶν ἀεὶ (οὐκ ἀεὶ H. V. G. v. l. Pa. b. d.) ἐόντα πλήρεα. — Pessime librarii ἐόντα et πλήρεα nominativo scripserunt: iungendum τῶν περιττῶν ἀεὶ ἐόντων: non ἔστι ἀεὶ ἐόντα πλήρεα.

ἔνθα ὦν ἐς μὲν τὴν κύστιν τῷ καθετῆρι οὐκ εὔτολμον χρέεσθαι.] Libri omnes: τῷ καθετῆρι ὀργάνῳ οὐκ εὔτολμον χρέεσθαι. — Equidem ὀργάνῳ interpreti nescio cui deberi puto, adeo ut glossam deleam.

ἐλπὶς δὲ μούνη πάντων ὁμοῦ τῶν παρέτων καὶ ἰδίῃ τῶν μερέων, ἡ ἐς ἔλαιον ἐνίζησις.] Cum Crasso πάντων τῶν παρ-

καὶ πάντων ὁμοῦ τῶν παρέτων, καὶ ἰδίῃ τῶν μερέων, ἡ ἐς ἔλαιον ἐνίζησις. ὁ δὲ τρόπος αὐτέης ἐν τοῖσι χρονίοισι εἰρήσεται.

ΘΕΡΑΠΕΙΑ ΠΑΡΟΞΥΣΜΟΥ ΕΠΙΛΗΠΤΙΚΩΝ.

Κεφ. ε'.

Τῆς ἐπιληψίης ὀλεθρίη μὲν ἡ πρωτίστη κατάπτωσις, ἢν ὀξέως εἰςβάλλῃ ἡ νοῦσος. ἔκτεινε γάρ κοτε καὶ ἡμέρῃ μιῇ. Κινδυνώδεες δὲ καὶ οἱ ἐν τῇσι περιόδοισι παροξυσμοί· διὰ τάδε μὲν ὦν καὶ ἐν τοῖσι ὀξέσι καταγέγραπται ἡ ἐπιληψίη. Ἢν δὲ ἐς μελέτην μὲν ἥκῃ τοῦ κακοῦ ὤνθρωπος, ἡ δὲ νοῦσος ἀπρὶξ ἐμφῦσα ἔχηται, οὐ χρονίη μοῦνον γίγνεται, ἀλλὰ μετεξετέροισι αἰωνίη. ἢν γὰρ ὑπερβάλλῃ τὴν ἀκμὴν τῆς ἡλικίης, ξυγγηρᾷ τε καὶ ξυναποθνήσκει.

Ὁκόσα μὲν ὦν ὡς χρονίῃ ἐστὶ ἰητήρια, ἐν τοῖσι χρονίοισι λελέξεται. Ὁκόσα δὲ ἐς τὸ τάχος τοῦ ὀλέθρου πρηκτέα, τῶνδε τὰ πλεῦνα μὲν ἐπὶ τοῖσι ἀποπληκτικοῖσι λέλεκται· φλεβοτομίη, κλύσματα, χρίσιες, σικύη. τάδε γὰρ ἐς ἀνέγερσιν δυνατώτατα. Ὁκόσα δὲ ἴδια καταπτώσιος ἄκεα, τάδε νῦν φράσω. Παιδίοισι μὲν ὦν, οἷσι ἐκ διαφθορῆς, ἢ ἐκ ψύξιος ἰσχυρῆς, ξύνηθες τὸ πάθος, ἔμετος ἢ σιτίων, ἢ φλέγματος, ἢ ἄλλου χυμοῦ τινὸς ὀνήϊστον. πτίλα δὲ ἰρίνῳ μύρῳ δευθέντα ναυτίην ἐρεθίζει. ἀτὰρ καὶ τὸ ἴρινον οὐκ ἄχρηστον εἰς τὴν τῶν παρισθμίων χρίσιν. Ξυμπιέζειν δὲ τὴν λαγόνα πρηέως ἐπὶ γαστέρα ἐκκρεμὲς προβάλλοντα τὸ παιδίον· τόδε γὰρ τὸ σχῆμα πρὸς ἔμετον ῥήϊστον. Ἢν δὲ καὶ σπᾶται ἢ διαστρέφηται τὴν κάτω γνάθον, ἢ τὼ χεῖρε καὶ τὰ σκέλεα ῥίπτηται, καὶ ξύμπας τιταίνηται οἱ ὦψ, τὰ γυῖα ψηλαφίῃ ξὺν λίπαϊ μαλθάσσειν, ἀπιθύνειν τε τῆς ὄψιος τὰ διάστροφα· πρηέως δὲ διακρατέειν, ὡς μὴ

έτων intelligo de ipsis aegrotantibus: non cum Wigano accipio *πάντων ὁμοῦ τῶν παρέτων μερέων.*

Cap. 5. *ἔκτεινε γάρ κοτε.*] Ἔκτεινε γάρ τοι *Pf.* sed altera lectio in margine.

ἢν δὲ ἐς μελέτην μὲν ἥκῃ τοῦ κακοῦ ὤνθρωπος, ἡ δὲ νοῦσος ἀπρὶξ ἐμφῦσα ἔχηται οὐ χρονίη μοῦνον γίγνεται, ἀλλὰ μετεξετέροισι αἰωνίη.] Libri cett. *ὤνθρωπος.* Ad *ἀπρὶξ ἐμφῦσα ἔχηται* duo maxime sunt tenenda: primo locus e cap. de s. *συγκοπῆς*, ubi: *τῆςδε γὰρ ἀπρὶξ λαβόμενον, οὐ μεθίησι.* — Tum vero Homericum: *Θέτις δ' ὡς ἥψατο γούνων, — ὡς ἔχετ' ἐμπεφυυῖα.* Il. I. 512. — Cf. Herodotum III. 109. *ἡ θήλεα ἅπτεται τῆς δειρῆς, καὶ ἐμφῦσα οὐκ ἀνίει, πρὶν ἂν διαφάγῃ.* — Haec enim dictionem illustrant.

ὡς χρονίῃ.] Ὡς ἐν χρονίῃ H. sed praep. e seqq. vitiose huc tracta videtur.

παιδίοισι μὲν ὦν, οἷσι ἐκ διαφθορῆς ἢ ἐκ ψύξιος ἰσχυρῆς ξύνηθες τὸ πάθος.] Libri *ἀξύνηθες*; Wiganus tamen *ξύνηθες* Latine expressit, non Crassus. — Ultro patet *ἀξύνηθες* in contrarium esse mutandum. Ipse noster alibi *ξυνδιαιτᾶταί τε παισὶ καὶ μειρακίοισι.*

ἀτὰρ καὶ τὸ ἴρινον οὐκ ἄχρηστον ἐς τὴν τῶν παρισθμίων χρίσιν.] Ita O. — Adnotat Wiganus: « *ἄχρηστον.* Ita optime ex M. cum antea absurde legeretur *ἄχρι σπασμῶν.*" Vere: *παρισθμίοις τὸ ἴρινον* prodesse dicit Aretaeus, ut nempe deglutitionem adiuvet: qua de re cf. verba paulo inferius obvia: *διαστήσαντα τὴν γένυν ἐς τὸ στόμα ἐγχέειν, ἀτὰρ καὶ ἔτι προσωτέρω τῶν παρισθμίων ὅκως καταπίοιεν.* Cf. locum e superiore cap. a verbis inde *παρελύθη κοτὲ καὶ κατάποσις.* — Pro *χρίσιν* H. V. Pa. *b.* *χρῆσιν.*

ἢν δὲ καὶ σπᾶται ἢ διαστρέφηται τὴν κάτω γνάθον, ἢ τὼ χεῖρε καὶ τὰ σκέλεα ῥίπτηται καὶ ξύμπας τιταίνηται οἱ ὦψ, τὰ γυῖα ψηλαφίῃ ξὺν λίπαϊ μαλθάσσειν, ἀπιθύνειν τε τῆς ὄψιος τὰ διάστροφα· πρηέως δὲ διακρατέειν, ὡς μὴ διαστρέφηται τὰ ἰδέα.] De pluribus in hac sententia videndum erit: singula ergo inspiciamus! — Libri omnes iterum *τὼ χεῖρε*, cf. Stephani thesaurus, in *χείρ.* — Vulgo porro *καὶ ξὺν παντὶ τείνηταί οἱ ὦψ*: sed *ξύμπαν τιταίνηται* H. V. Pa. *d. e. f.* — *ξύμπας τιταίνεται* O. ex F. — Dein vulgo *ψηλαφίῃ* sine *τὰ γυῖα*: sed *γαιοψηλαφίη* H. V. G. v. l. Pc. *d. e. f.* — *γυιοψηλαφίη* Pb. — Itaque reposui *τὰ γυῖα ψηλαφίῃ.. μαλθάσσειν*: nam *τὰ γυῖα* h. l. posuit auctor, ut quadraret

διαστρέφηται τὰ ἰθέα. Τὰ ψυχρὰ πυριῆν ἐρίοισι πιναροῖσι, ἢ παλαιοῖσι τρύχεσι. Διαχρίειν τε τὴν ἕδρην μέλιτι ξὺν πηγανίνῳ ἐλαίῳ, ἢ ξὺν νίτρῳ, ἢ ῥητίνῃ ὑγρῇ ξὺν τοῖςδε, καὶ διωθεῖν πρηέως ἔσω τῆς ἕδρης· τάδε γὰρ φυσέων ἀγωγά. Φύσας δὲ διεξίουσι ἐπὶ τῆςδε τῆς νούσου παῖδες. Ἢν δὲ καταπίνειν δύνωνται, διδόναι τοῦδε τοῦ φαρμάκου· καρδαμώμου μέρος α΄, χαλκοῦ κερ. α΄. τάδε ξὺν μελικρήτῳ πιπίσκειν. ἢ γὰρ ἐξήμεσαν ξὺν τοῖσι ἐν τῷ στομάχῳ πιέζουσι, ἢ ὑπηλάθη ἡ γαστήρ. Ἄριστον δὲ ἔκλειγμα καὶ τόδε· τοῦ καρδαμώμου, καὶ σινήπιος, καὶ ὑσσώπου τῆς κόμης, ἶσα· ἴριδος τῆς ῥίζης μέρος α΄ ξὺν νίτρου διπλασίῳ, πεπέριος ἐς τρίτον· μέλιτι φυράσαντα ὁμοῦ τὰ πάντα, διαστήσαντα τὴν γένυν, ἐς τὸ στόμα ἐγχέειν, ἀτὰρ καὶ ἔτι προσωτέρω τῶν παρισθμίων, ὅκως καταπίοιεν. Τάδε μὲν ὦν παιδίοισι. Τοῖσι δὲ νεηνίῃσι καὶ τάδε μὲν ξύμφορα. ἀτὰρ καὶ φάρμακα δυνατώτερα ἐς ἔμετον αἱρέεσθαι· ναρκίσσου βολβούς· σινήπιος καὶ ὑσσώπου ἶσα, καὶ χαλκοῦ καὶ πεπέριος, μοίρης τῶν προτέ-

cum τὼ χεῖρε καὶ τὰ σκέλεα in superioribus, sicut ὄψιος respondet superiori ὤψ. Articulum τά igitur de meo interposui. — Tandem venio ad πρηέως δὲ διακρατέειν, ὡς μὴ διαστρέφηται τὰ ἰθέα: — nimirum libri ferunt τὰ ἤθεα. Iam vero describam Wigani notulam ad vulgatam lectionem: «Legendum, inquit, credo κατὰ ἤθεα. Ita Hipp. (675. 21.) τὰς μήτρας στραφῆναι κατ᾽ ἤθεα. Foësius κατ᾽ ἤθεα hic *pro more* reddit: haud scio an accurate prorsus, licet ἦθος *morem* significet. Corinthus ἤθεα exponit τοὺς τόπους ἐν οἷς ἀναστρέφονται. Hesych. ἦθος, γνώριμος τρόπος ἀναστροφῆ. An legendum γνώριμος τόπος ἀναστροφῆς, ut cum Corintho congruat. Aem. Port. in Lex. Ionico, ἤθεα significare dicit, sedes in quibus aliquis habitare consuevit. ἐς ἤθεα Περσέων, Herod. 41. II. Itaque κατ᾽ ἤθεα reddi potest *in iis locis, quibus distorqueri solitae sunt.* Cum haec vertebam τὰ εὐθέα, vel ἰθέα legendum conieci." — Ipse ἰθέα mecum legebam, antequam Wigani notulam videram: sed inspiciamus Hipp. qui l. l. ex initio libri περὶ ἀφόρων: ἢν μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν (τὸ στόμα τῶν μητρέων) ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν, ἢ ἔρχεται βιαίως ξὺν νούσῳ, ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ᾽ ἤθεα. — (εἴθεια cod. serv.). — Redeo ad Wiganum: vere is mihi videtur Hesychii locum restituere: nondum satis bene interpretari videtur Hipp., cuius verba quin pessime ieterpretatus sit Foësius, nullus dubito. Nimirum puto equidem pseudo-Hippocratem scripsisse στραφῆναι κατ᾽ ἰθέα. — Sed praeterea haud certum est, nostrum h. l. Hippocratea illa respicere; certum vero, etiamsi respiciat, minus recte Wiganum ex iis locum Aretaei restituere. — Notemus pseudo-Hippocratem loqui de parte inclinata et in pristinam posituram redeunte; nostrum loqui de partibus rectis inflectendis. Siquidem Aretaeus pravam scripturam Hippocratici imitatus esset, scripsisset, ὡς μὴ διαστρέφηται τὰ κατ᾽ ἤθεα, non ὡς μὴ διαστρέφηται κατ᾽ ἤθεα, quod Wiganus voluit, sed ferri neutrum ullo modo potest. — Verum si attendamus ad parallelismum in ἀπιθύνειν τε τῆς ὄψιος τὰ διάστροφα· πρηέως δὲ διακρατέειν, ὡς μὴ διαστρέφηται τὰ ἰθέα, vix dubitare licet quin τὰ εὐθέα, aut τὰ ἰθέα scripserit Aretaeus. — His partibus ἰθείαις contrariae sunt καμπύλαι, de quibus apud Hipp. et nostrum subinde sermo est.

τὰ ψυχρὰ πυριῆν ἐρίοισι πιναροῖσι, ἢ παλαίοισι τρύχεσι.] Libri τὰ ψυχρὰ πυριῆν ἐρίοισι παλαιοῖς πιναροῖσι τρύχεσι. — Wiganus iam vidit epitheta de propria sede sua migrasse. Cf. cap. 2. ἢ πιναροῖσι θερμοῖσι ἐρίοισι, ἢ τρύχεσι παλαιοῖσι: ubi παλαίοισι servandum fuisse, ipse hic locus noster iam luculenter ostendit.

τάδε γὰρ φυσέων ἀγωγά. Φύσας δὲ διεξίουσι ἐπὶ τῆςδε τῆς νούσου παῖδες.] Libri φύσας δὲ διεξίουσι (διεξίουσαι H.) τῆςδε τῆς νούσου παῖδες (παιδίοισιν H. Pd.) — Crassus: «flatuum autem excretio huiusce morbi in pueris medela est." — Hoc certe non est interpretari! At similiter fere Wiganus; «pueri autem per flatuum expulsionem hoc morbo liberantur." — Nisi graviter fallor διεξίουσι est transitivum, de formis ῾ΙΩ, ῾ΙΕΩ cf. Buttm. I. p. 523. — Itaque simplicissima olim videbatur medela φύσας δὲ διεξίουσι τῆςδε τῆς νούσου παῖδας, sicuti τὰ ἀπότοκα τῶνδε νοσήματα: sed nescio an non ridiculum sit, quod primo conieceram; tum vero mox: τάδε μὲν ὦν (inquit noster) παιδίοισι. Itaque puto nunc eum διεξίουσι παῖδες φύσας voluisse: nam ipse supra: παιδίοισι... οἷσι ἐκ διαφθορῆς... ξύνηθες τὸ πάθος. Ἐμπνευμάτωσις autem σιτίων διαφθορῇ propria est. — Hinc factum, ut ἐπὶ τῆςδε τῆς νούσου reponerem.

καρδαμώμου μέρος α΄.] Sic V. Pa. ἓν cett.; verum H. neutrum habet.

χαλκοῦ κερ. α΄.] Κέρατα α΄ V. Pa. χαλκοῦ κεκαυμένου μέρος H. — Cod. H. lect. exhibuit Wig. in O. Sed infra libri καὶ χαλκοῦ sine epitheto, excepto *Pb.*, qui ibi in marg. κεκαυμένου: itaque nostrum solummodo χαλκοῦ utroque loco scripsisse credo, licet re ipsa χαλκοῦ κεκαυμένου vellet. — Praeterea μέρος in H. perparum placet: nam longe praestat pondus definiri. Est autem κερ. α΄ dosis, qualem apud antiquos exspectes, hoc quidem medicamen pueris administrantes.

ξὺν νίτρου διπλασίῳ.] Non video, cur cum Wig. prae vulg. lect. hac praeferam cod. V. scripturam ξὺν νίτρῳ διπλασίῳ.

πεπέριος ἐς τρίτον.] Sic *Pf.* πεπέρεος cett.

καὶ τάδε μὲν ξύμφορα.] Μέν vulgo abest; adposuit Wiganus ex H. Praebent etiam Pc. *d. f.*

ναρκίσσου βολβούς· σινήπιος.] Haec vulgata est lectio. Wiganus in O. βολβοῦ ex M. recepit: sed in errore fuit. Profecto ναρκίσσου βολβούς Aretaeus scripsit: nam Gal. comm. 1. in lib. de Humoribus. p. 143. Kühnio: ἐφ᾽ ὧν γοῦν, inquit, βουλόμεθα τὸν μετὰ δεῖπνον ἔμετον ἀλύπως κινῆσαι, τοὺς βολβοὺς τῶν ναρκίσσων ἅμα τοῖς ἐσθιομένοις (ita scribo pro τῶν ἐσθιομένων) φαγεῖν δώ-

ρων ἐς ἥμισυ, ξὺν μέλιτι φυράσαντα, διδόναι. Τάδε μὲν ὦν ἐς ἀνέγερσιν τοῦ παροξυσμοῦ. τὰ δὲ ἐς λύσιν τοῦ νοσήματος ἐν τοῖσι χρονίοισι λελέξεται.

ΘΕΡΑΠΕΙΑ ΤΕΤΑΝΟΥ.

Κεφ. ϛʹ.

Νῦν μάλα χρὴ κοίτην μαλακὴν, εὐαφέα, λείην, προςηνέα, θερμὴν ἔμμεναι. Ἀπηνέα γὰρ καὶ σκληρὰ, καὶ τιταινόμενα τὰ νεῦρα ὑπὸ τῆς νούσου γίγνεται· ἀτὰρ καὶ τὸ δέρμα πᾶν καρφαλέον καὶ τρηχὺ περιτέταται· τὰ πρόσθεν εὔτροχα βλέφαρα μόλις τοῖσι ὀφθαλμοῖσι ἐπιμύει· ὀφθαλμοὶ δὲ ἀτενέες, ἐνδεδινημένοι. ἀτὰρ καὶ τὰ ἄρθρα ξυνδέεται οὐ κινεύμενα τῇ τάσι. Ἔστω δὲ καὶ ὁ οἶκος ἀλεεινὸς, κῆν θέρεος ᾖ. μὴ μέχρι ἱδρώτων, ἢ ἐκλύσιος. ἐς συγκοπὴν γὰρ ἡ νοῦσος ῥέπει. Χρὴ δὲ μηδὲ ἐς τὰ ἄλλα τὰ μεγάλα ἄκεα μέλλειν. οὐ γὰρ καιρὸς ἀμβολῆς. Εἴτε ὦν διὰ ψύξιν, ἄνευ φανερῆς προφάσιος, γένοιτο τέτανος, εἴτε ἐπὶ τρώματι, εἴτε ἐπ' ἀμβλώματι γυναικὸς, φλέβα τὴν ἐπ' ἀγκῶνι τάμνειν, προμηθεόμενον καὶ τὴν πίεσιν τοῦ βραχίονος ἐν τῇ ἐπιδέσι, ὡς ἐς ἄνεσιν ἔχοι, καὶ τὴν τομὴν, ὡς εὐαφέως καὶ ῥηϊδίως γένοιτο. τάδε γὰρ σπασμῶν προκλήσιες. καὶ ἐςάπαξ ἀφαιρέειν, εὐμέτρως, μὴ μέχρι λειποθυμίης καὶ περιψύξιος. Μηδ' ἐπ' ἀσιτίης ἔη· ψυχρὸν καὶ ξηρὸν λιμός. διδόναι ὦν μελικρήτου παχέος ἀκρητεστέρου καὶ πτισάνης χυλοῦ ξὺν μέλιτι. τάδε γὰρ καὶ παρισθμίοισι ἐς ἔνθλιψιν ἀπονώτατα καὶ στομάχῳ ἐς κατάποσιν λεῖα καὶ ῥήϊστα, καὶ ἐς μάλθαξιν κοιλίης μαλθακώτατα καὶ ἐς δύναμιν δυνατώτατα. Τὸ δὲ ξύμπαν σκῆνος ἐρίοισι κατειλίχθω δεδευμένοισι ἐλαίῳ γλευκίνῳ, ἢ κροκίνῳ, ἐν οἷς ἢ λιβανωτὶς, ἢ κόνυζα, ἢ ἀρτεμισίη ἐνήψηται. καὶ τὰ πάντα θερμὰ ἐς δύναμιν καὶ ἐς θίξιν ἔστω. Χρίειν δὲ τῷ διὰ τῆς λιμνήστιδος, καὶ εὐφορβίου, καὶ νίτρου, καὶ πυρέθρου ἀλείμματι

σομεν, καὶ οὕτως εὐημεῖς αὐτοὺς ποιήσομεν. — Itaque verba σινήπιος — φυράσαντα διδόναι remedium compositum describunt, inter quod et ναρκίσσου βολβοὺς nihil commune est.

τάδε μὲν οὖν ἐς ἀνέγερσιν τοῦ παροξυσμοῦ.] Ita re vera scripsisse videtur Aretaeus; sed interpretor ἐς ἀνέγερσιν ἐκ τοῦ παροξυσμοῦ.

Cap. 6. τὰ πρόσθεν εὔτροχα βλέφαρα μόλις τοῖσι ὀφθαλμοῖσι ἐπιμύει.] Libri προςεύτροχα: vulgo μόγις, Pc. d. e. μόλις. — E προςεύτροχα de coniectura effeci πρόσθεν εὔτροχα. — «Palpebrae natura versatiles.» interpretantur Crassus et Wiganus. — Cf. I. 7. de s. m. chron. in fine βλέφαρον οὐκ ἐπίτροχον.

ὀφθαλμοὶ δὲ ἀτενέες ἐνδεδινημένοι.] Cap. 5. lib. I. de s. m. acut. itidem egis: ὀφθαλμοὶ ἐνδεδινημένοι; cf. Foës. Oecon. in ἐνδεδινημένοι ὀφθαλμοί.

κῆν θέρεος ᾖ] Petitus: «scribe, inquit, θέρος.» — Emendatione non est opus. Valent ista κῆν ὥρη θέρεος ᾖ. Inest ellipsis.

μέχρι ἱδρώτων.] Μέχρις Pc. d. e. f.

ἐπ' ἀμβλώματι γυναικός.] Sic O. H. Pd. e. f. ἀμβλώσει cett. — γυναικί G. v. l. Pd.

ἐπ' ἀγκῶνι.] Ἐπ' ἀγκῶνος Pe. f.

προμηθεόμενον.] Libri omnes προμηθευόμενον. De meo formam Herodoto usurpatam restitui; cf. adnn. ad cap. de cur. Melancholiae infra. — In libris Hipp. προμηθέεσθαι aliquoties occurrit; cf. Foës. in Oecon. in voce.

ὡς ἐς ἄνεσιν ἔχοι.] Id est ὡς ἀνειμένως ἔχοι.

ψυχρὸν καὶ ξηρὸν λιμός.] Exspectaveram ψυχρὸν γὰρ καὶ ξηρὸν λιμός.

παρισθμίοισι ἐς ἔνθλιψιν ἀπονώτατα.] Ἔκθλιψιν a Goupylo inde: H. V. A. O. ἔνθλιψιν. G. v. l. ἔνθληψιν. Po. ἔνθλιψιν; itaque fere errorem typogr. esse dixeris in Goupylea.

μαλθακώτατα.] Sic O. ex H. μαλακώτατα cett,

ἐνήψηται.] Ἐνέψηται O. nescio quare, neque unde.

τῷ διὰ τῆς λιμνήστιδος.] Λημνίστιδος vulgo. Alterum dant O. Pc. d. e. f.

τὰ παρ' οὖς.] Hippocraticum hoc; cf. Coac. 200. sqq.

τάδε γὰρ μάλιστα πάσχει τε δεινὰ καὶ κτείνει.] Κτεί-

προςβάλλειν δὲ τοῖςδε τοῦ καστορίου συχνόν. Εὖ δὲ καὶ τοὺς τένοντας ξυλλαμβάνειν τοῖσι ἐρίοισι, καὶ χρίειν καὶ τὰ παρ' οὖς καὶ ἀνθερεῶνα. τάδε γὰρ μάλιστα πάσχει τε δεινὰ καὶ κτείνει. Πυριῆν δὲ κούφοις θερμάσμασι τένοντας καὶ κύστιν· μαρσίποις ἔχουσι κέγχρον πεφωγμένην· ἢ κύστεσι βοῶν ἐλαίου θερμοῦ ἡμιπλήρεσι, ὡς εἰς πλάτος ἐπικέηνται τῶν πυριωμένων χωρίων. Ἐβιήσατό κοτε ἀνάγκη πυριῆσαι κεφαλὴν, οὐκ ἀσφαλὲς μὲν αἰσθήσεσι, νεύροισι δὲ ἀγαθόν· τάςδε μὲν γὰρ ὀμίχλης ἐπ' ἀναφορῇ ἀτμῶν πίμπλησι, ἀνίησι δὲ τὰ νεῦρα. Χρὴ ὦν τῷ τρόπῳ τε τῆς πυρίης ὡς ἀσφαλεστάτῳ χρέεσθαι· καὶ ὕλῃ μὴ σφόδρα βαρυόδμῳ μιῇ. ἀλλὰ ὕλη μὲν ἔστω, ἔλαιον τὸ ἐν κύστεσι ἄκνισον ἐν διπλῷ ἀγγείῳ ἑψηθέν· ἢ ἅλες λεπτοὶ ἓν τῳ μαρσιπίῳ. κέγχρος γὰρ καὶ λίνου σπέρμα εὐαφέα μὲν, ἀτμώδεα δὲ καὶ βαρύοδμα. Τρόπος δὲ πυρίης· ὑποτετάσθαι δεῖ τοῖς τένουσι ὑπτίοισι τὰ πυριάματα ἄχρι τῆς κορυφῆς. προσωτέρω δὲ ἐπὶ τὸ βρέγμα μὴ προβαίνειν· τόδε γὰρ τὸ χωρίον ἁπάσης μὲν τῆς αἰσθήσιός ἐστι κοινὸν καὶ ἀπὸ τοῦδε πᾶσαι αἱ ἀφέσιες ὠφελείης τε καὶ βλάψιος. Ἢν δὲ καὶ ἐπιπλάσσειν δέῃ τοὺς τένοντας, νέρθεν ἔστω τοῦ ἰνίου· ἀνωτέρω γὰρ εἰ θείης, τὴν κεφαλὴν πλήσεις ἀτμῶν τοῦ λίνου σπέρματος καὶ τῆς τήλεως. Ἐπὶ δὲ τοῖσι ἐπιπλάσμασι ἀγαθὸν ἡ σικύη ἐς τὸ ἰνίον, τῆς ῥάχιος ἑκατέρωθεν. ἔστω δὲ φειδὼ πολλὴ τῆς φλογὸς, ὀδυνηρὸν γὰρ καὶ σπασμῶδες τῶν χειλέων τῆς σικύης ἡ ἀμφίθλασις. Χρὴ ὦν ἐς δηρὸν ἕλκειν καὶ μαλθακῶς μᾶλλον, ἢ ἀθρόον ἐν ὀλίγῳ χρόνῳ· ὧδε γὰρ ἂν σοι κυρτωθείη τὸ χωρίον ἀπόνως, ὅπερ ἐπιτάμνειν χρή. Τέκμαρ δέ σοι τῆς αἱμάξιος τῆς συμμετρίης ἡ δύναμις γιγνέσθω. Τάδε μὲν ὦν τῶν ἄνευ ἑλκέων τετάνων τὰ ἄκεα.

νει e cod. Pb. recepi. Ceteri omnes τείνει. — Solum κτείνει verum mihi videtur. Nempe τοὺς τένοντας καὶ τὰ παρ' οὖς καὶ ἀνθερεῶνα μάλιστα πάσχειν δεινὰ καὶ τὸν ἄνθρωπον κτείνειν dicit, qui initio cap. de s. tetani: μυῶν τῶν ἐν γνάθοισι καὶ τενόντων τάδε τὰ πάθεα: sunt vero ista πάθεα, ut ipse ibi affirmat, σπασμοὶ... ὀξύτατοι κτεῖναι.

μαρσίποις.] Μαρσιπίοις Pe. f. μαρσίπποις H.

πεφωγμένην.] Πεφωσμένην H. Pc. d. e. f.

ἐπικέηνται τῶν πυριωμένων χωρίων.] Ἐπικέηται H. Pd. πεπυριαμένων H. Pc. πεπυριασμένων Pd.

ἐβιήσατό κοτε ἀνάγκη πυριῆσαι κεφαλὴν, οὐκ ἀσφαλὲς μὲν αἰσθήσεσι, νεύροισι δὲ ἀγαθόν. τάςδε μὲν γὰρ ὀμίχλης ἐπ' ἀναφορῇ ἀτμῶν πίμπλησι, ἀνίησι δὲ τὰ νεῦρα.] Postremum membrum libri omnes sic scriptum referunt: τάςδε μὲν γὰρ ὀμίχλης ἐπαναφορὴν ἀνίησι ἀτμῶν, πίμπλησι δὲ τὰ νεῦρα. Eandem loci scripturam Crassus vidit. At quamquam tum hic, tum editor Anglus Latine haec interpretantur, intelligi tamen non possunt. In ἐπαναφορήν latere ἐπ' ἀναφορῇ quivis vidit et vero fere Latine expresserunt illi. Sed quid quaeso est τάςδε (τὰς αἰσθήσεις) ὀμίχλης ἀνίησι ἐπ' ἀναφορῇ ἀτμῶν? Quid πίμπλησι τὰ νεῦρα? Et vero τὸ πίμπλασθαι nervis proderit! — Verum facile patet, verba alio ordine ab auctore fuisse conscripta: nempe hic dedit τάςδε μὲν γὰρ ὀμίχλης ἐπ' ἀναφορῇ ἀτμῶν πίμπλησι, ἀνίησι δὲ τὰ νεῦρα. — Ipse enim initio capitis: ἀπηνέα γὰρ καὶ σκληρὰ καὶ τιταινόμενα τὰ νεῦρα ὑπὸ τῆς νούσου γίγνεται. Ergo τιταινομένοις τοῖς νεύροις remedium est relaxari, ἀνίεσθαι. Malum vero sensibus τὸ ὀμίχλης πίμπλασθαι.

χρὴ ὦν τῷ τρόπῳ.] Vulgo οὖν. Ionismum praebent O. Pa. c. d. e. f.

ὕλῃ μὴ σφόδρα βαρυόδμῳ μιῇ.] Petitus: «Vox μιῇ, inquit, videtur παρέλκειν." — Non consentio; significat τινί. — Cogitemus εἷς τις, ἕν γέ τι.

ἄκνισον.] Ἄκνισσον H. O. Pd.

ἓν τῳ μαρσιπίῳ.] Ita de meo scripsi τῷ cett.

ὠφελείης τε καὶ βλάψιος.] Ὠφελίης vulgo: ὠφελείης. Pa. b.

ἢν δὲ καὶ ἐπιπλάσσειν δέῃ τοὺς τένοντας, νέρθεν ἔστω τοῦ ἰνίου. ἀνωτέρω γὰρ εἰ θείης κ. τ. λ.] Καί vulgo abest, adscribitur in H. V. O. Pc. d. — Libri omnes pro νέρθεν dant ὄρθιον. Sed Wig. in adnn. ad verba, ὄρθιον ἔστω τὸ ἰνίον, haec adponit: «Haec haud intelligo. Legendum forsan ἔνερθεν ἔστω τοῦ ἰνίου, *infra sinciput fiat*, quod optime congruit seqq. ἀνωτέρω γὰρ εἰ θείης. Manifestius id ex Aëtio apparebit, qui his omnino similia de curatione Tetani adfert ex Archigene (110. 52.): εὐαφέστατα δὲ ἔστω καὶ κοῦφα τὰ καταπλάσματα, καὶ πυρία δὲ προςαγέσθω ὑποκειμένου τοῦ καταπλάσματος διὰ κύστεως εὐμεγέθους καὶ ἡμιπλήρους ἐλαιοῦ θερμοῦ, ἢ ἁλὸς φρυκτοῦ, ἢ κέγχρου ἐν μαρσίπποις καὶ τὰ καταπλάσματα δὲ ἐν μαρσίπποις ἐμβληθέντα ἐπιτιθέσθω, εἵνεκε τοῦ ἀμολύντως πυριᾷν καὶ μάλιστα εἰ τῇ κεφαλῇ προςτιθέναι δέοι. πεφυλάχθαι δὲ τὰς συνεχεῖς ἐμβροχὰς ἐπὶ κεφαλῆς. πληρωτικαὶ γὰρ τυγχάνουσι. παραλαμβανέτω δὲ τὸ κατάπλασμα καὶ ἐμβροχαὶ (καὶ αἱ ἐμβ. vellem E.) αὐχένα καὶ σιαγόνας καὶ ῥάχιν ὅλην μέχρι ψοῶν. Haud similiora sunt Aretaei verbis ea, quae ex Aretaeo ipso alibi citat." Malui νέρθεν quam ἔνερθεν exhibere.

Ἢν δὲ ἐπὶ τρώματι σπασμὸς γένηται, ὀλέθριον μὲν καὶ δυςέλπιστον. Ἀρήγειν δὲ χρή· μετεξέτεροί τε γὰρ καὶ ἐκ τοιῶνδε ἐσώθησαν. Χρὴ ὦν, πρὸς τῇ ἄλλῃ ἰητρείῃ καὶ τὰ ἕλκεα ἰῆσθαι· τέγξι θερμαινόντων, ἅσσα μοι λέλεκται, καὶ πυρίῃ καὶ ἐπιπλάσμασι, φαρμάκοισί τε ὁκόσα ῥηϊδίως θερμαίνει τε καὶ πολλὸν τεύξει πῦον· ξηρὰ γὰρ ἐπὶ τετάνῳ τὰ ἕλκεα. Ἔστω ὦν λιβανωτοῦ τῆς μάννης, καὶ πολίου τῆς κόμης, καὶ ῥητίνης ἀπὸ τερμίνθου καὶ πίτυος, καὶ ἀλθαίης ῥίζης, καὶ πηγάνου καὶ κονύζης τῆς βοτάνης. τάδε χρὴ ξυμμίσγειν τοῖς ἐπιπλάσμασι, τὰ μὲν τήκοντα, τὰ δὲ ἐμπάσσοντα, τὰ δὲ ξὺν ἐλαίῳ προλεαίνοντα, ἐν μελικρήτῳ δὲ τὴν ἀλθαίην κεκομμένην προεψεῖν. Ἐπιπάσσειν δὲ τῷ ἕλκεϊ καὶ τοῦ καστορίου· οὐ σμικρὴ δὲ ἡ ἔνθεν ἀλέη ὅλῳ τῷ σκήνεϊ· ὅτι καὶ τὰ ῥίγεα τὰ ἀπὸ τῶν ἑλκέων κακοήθεα· ἐγχρίειν δὲ καὶ τὰς ῥῖνας τῷ καστορίῳ, ξὺν κροκίνῳ λίπαϊ. ἀλλὰ καὶ πιπίσκειν τοῦδε ξυνεχέως, ὁκόσον ὁλκῆς τριώβολον. Ἢν δὲ πρὸς τόδε ἀπαυδήσῃ ὁ στόμαχος, μεσηγὺ σιλφίου ῥίζης διδόναι τῆς ὁλκῆς τὸ ἶσον τῷ καστορίῳ· ἢ σμύρνης, τοῦ σιλφίου ἥμισυ. ἅπαντα δὲ ξὺν μελικρήτῳ πιπίσκειν. Εἰ δὲ εὐπορίη ὁποῦ τοῦ σιλφίου τοῦ ἀπὸ τῆς Κυρήνης γένοιτο, τόνδε χρὴ, μέλιτι ἑφθῷ ἐνειλίξαντα, ὁκόσον ὀρόβου μέγεθος, καταπιεῖν διδόναι. ἄριστον γὰρ ὧδε, ὡς τὴν ὑπερώην λάθοι παραλλάξας· δριμὺς γὰρ καὶ τὴν ἐρυγὴν ἀπηνής, κάκοδμος ἐών. Ἢν δὲ μὴ δύνηται ὧδε καταπιεῖν, μελικρήτῳ λύσαντα διδόναι. ἁπάντων γὰρ τῶν καταποτῶν δυνατώτερον, ὁκόσα πέφυκε ἀλεαίνειν τε καὶ ὑγραίνειν, καὶ ἀνιέναι τῆς τάσιος, καὶ μαλθάσσειν νεῦρα. Ἢν δὲ μηδὲν καταπίνωσι, ἐς τὴν ἕδρην ἐγχέειν, ξὺν ἐλαίῳ, τοῦ καστορίου. τῷδε καὶ χρίειν τὴν ἕδρην, ξὺν λίπαϊ, ἢ μέλιτι. τῷδε καὶ τὴν κύστιν τέγγειν τε καὶ χρίειν, ἐς πάχος ξὺν κηρῷ τήξαντα. Ἢν δε καὶ φύσας καὶ κόπριον ἄγειν καιρὸς ᾖ, τῆς ἱερῆς ὁλκῆς < δύο, ξὺν μελικρήτῳ καὶ ἐλαίῳ ἐνιέναι. ξὺν γὰρ τῷ ἄγειν τάδε ἔτι καὶ τὸ ἔντερον καὶ τὴν κάτω κοιλίην ἐκπυρίῃ· ποικίλον γὰρ καὶ θερμὸν φάρμακον ἡ ἱερή.

τοῦ λίνου σπέρματος.] Vulgo *τοῦ λίνου τοῦ σπέρματος.* Alterum omisi cum V. O.

Τέκμαρ.] Τεκμαρτέον H. V. Po. excepto *b*, qui *τεκμαρτέα.* — Itaque *τέκμαρ* coniecturae Goupyli deberi videtur.

ἢν δὲ ἐπὶ τρώματι σπασμὸς γένηται.] Vides illum respicere Hipp. Aph. 2. V.: *ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.*

πρὸς τῇ ἄλλῃ ἰητρείῃ.] Sic Pa. *b. c.* *ἰητρίῃ* cett.

καὶ πολλὸν τεύξει πῦον.] Vulgo *τέγξει.* Wiganus: «An *τεύξει*? inquit, ea medicamenta scilicet, quae pus movent, quaeque *πυοποιά* vocat." Profecto *τεύξει* scripsit: contrarium librariorum errorem restituimus cap. 2. in verbis: *ἢν δὲ μὴ πίνῃ τόδε, ἐς τέγξιν ξύμφορον,* ubi vide.

καὶ ῥητίνης ἀπὸ τερμίνθου καὶ πίτυος.] Libri omnes pone *ἀπὸ τερμίνθου καὶ πίτυος* insertum habent nomen *τῶν δενδρέων.* Equidem non credo, Aretaeum lectores suos h. l. docere voluisse, *τέρμινθον* et *πίτυν* esse arbores, sed interpretem nescio quem glossam in marg. adscripsisse eamque postea in textum irrepsisse, quam ideo confidenter delevi.

τάδε χρὴ ξυμμίσγειν.] Sic O.; cett. Edd. *συμμ.* sed Po. *ξυμμίσγειν.*

οὐ σμικρὴ δὲ ἡ ἔνθεν ἀλέη.] Pro *δέ* h. l. fere *γάρ* exspectaveris. Nil muto tamen!

ἐγχρίειν δὲ καὶ τὰς ῥῖνας τῷ καστορίῳ.] Καί H. O. *Pd.* om. cett. — Τῷ *καστορίῳ* de coniectura repono; cett. *τοῦ καστορίου.* — Εγχρίειν *τὸ στόμα … ἁπλοῖσι* mox p. 187.

τριώβολον.] Τριόβολον O.

δριμὺς γὰρ καὶ τὴν ἐρυγὴν ἀπηνής, κάκοδμος ἐών.] Libri omnes ineptissime *καὶ κάκοδμος ἐών.* — Nemo mirabitur h. l. *καί* otiose repetitum esse a librariis oscitanter haec describentibus.

καὶ κόπριον.] Sic H. V. et O. item Po. *κόπρον* Ed. cett.

τῆς ἱερῆς ὁλκῆς < δύο.] Libri omnes *τῆς ἱερῆς τοῦ καθαρτηρίου < δύο* (< < *δύο* H. Pc. *d. e. f.*). — Mihi *τοῦ καθαρτηρίου* glossema esse videtur: non opus erat, ut Aretaeus h. l. istiusmodi nomine accuratius quam *ἱερήν* spectaret, indicaret, quum e superioribus, *ἢν δὲ καὶ φύσας καὶ κόπριον ἄγειν καιρὸς ᾖ*, ultro pateret, eum remedium purgans respicere.

ἡ ἱερή.] Sic O. H. *Pb.* cett. articulum *ἡ* omittunt.

Cap. 7. *Καὶ ὁ γαργαρεών.*] *Καὶ οἱ γαργαρεῶνες* H. Pc. *d. e.*

εἴσω μέσφι τῆς κραδίης.] Μέσφι H. O. Pc. *d. e. f.* *μέχρι* cett. — *καρδίης* *Pb. c. d. e. f.*

ὡς ἀποσπᾶσαί τι τῶν χυμῶν.] Ἀποσπᾶσαι O. Pc. *d. e. f.* *ἀποσπᾶσθαι* cett.

ΘΕΡΑΠΕΙΑ ΣΥΝΑΓΧΗΣ.

Κεφ. ζʹ.

Δοιαὶ συνάγχης ἔασι ἰδέαι. Ἡ μὲν σὺν θερμασίῃ καὶ μεγάλῃ πρήσι τῶν παρισθμίων, καὶ ἐξογκῶσι ἔξω· ἀτὰρ καὶ ἡ γλῶσσα, καὶ ὁ γαργαρεὼν, καὶ πάντα τὰ τῇδε μέρεα, ἐς ὄγκον ἀείρεται. Ἡ δὲ ἑτέρη ξύμπτωσίς ἐστι τουτέων ἠδὲ ἐς τὸ ἔσω πίεσις, ξὺν ἀγχόνῃ μέζονι, ὡς δοκέειν τὴν φλεγμασίην εἴσω μέσφι τῆς κραδίης ἐρηρεῖσθαι Τῇδε χρὴ μάλιστα ὠκέως ἀρήγειν. τῇδε γὰρ καὶ ὠκέως θνήσκουσι.

Ἢν μὲν ὦν ἀπὸ κραιπάλης καὶ οἰνοφλυγίης ἔωσι, ὑποκλύζειν αὐτῆμαρ. ἀλλὰ καὶ δισσοῖς κλύσμασι· τῷ μὲν ξυνήθεϊ, ὡς ἄγειν κοπρώδεα. τῷ δὲ, ὡς ἀποσπᾶσαί τι τῶν χυμῶν ἀπὸ τῶν παρισθμίων τε καὶ θώρηκος· ἔσται ὦν, ἀλλὰ μήτε ἀκρητεστέρη, - - - - - καὶ κενταυρίου καὶ ὑσσώπου ἑψήματα. τάδε γὰρ καὶ φλεγμάτων ἀγωγά. Κῆν δὲ ἀπὸ λεπτῆς διαίτης ἔωσι, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι. μέζονα δὲ τὴν τομὴν σχάζειν, ὅκως ῥοιζηδὸν ἠδὲ ἀθρόον ῥέῃ τὸ αἷμα· ὅδε γὰρ ὁ ῥόος ἱκανὸς μὲν ὡς ὤκιστα θερμασίην πρηῦναι, δυνατὸς δὲ ἀγχόνην λῦσαι, καὶ πάντα μειῶσαι. Οὐκ ἀγεννὲς δὲ καὶ μέσφι λειποθυμίης ἄγειν, μὴ μέντοι λειποθυμέειν· μετεξέτεροι γὰρ ξὺν τῇ πληγῇ ἐξέθανον ἐπὶ τῇ λειποψυχίῃ. - - - - - ἢ δεσμοῖσι σφίγγοντες ὑπὲρ σφυρὰ καὶ γούνατα· ἄριστον δὲ καὶ ὑπὲρ καρποὺς ἐς πήχεας καὶ ὑπὲρ πήχεας ἐς βραχίονας. Ἢν δὲ καταπίνειν ῥήϊστον ᾖ, ἐλατηρίου διδόναι ξὺν μελικρήτῳ καὶ ὀῤῥῷ γάλακτος, ὁκόσον ἂν καθῆραι ἱκανὸν ᾖ τὸν ἄνθρωπον· ἐλατήριον δὲ τοῖσδε τῶν ἄλλων καθαρτηρίων κρέσσον· ξύμφορον δὲ καὶ κνέωρον καὶ νᾶπυ. τώδε γὰρ ἄμφω τὰς κοιλίας καθαίρει. Ἐπὶ δὲ τοῖσι ἢν μὴ ἐνδίδωσι αἱ πρήσιες, πρὸς τὸν οὐρανὸν ἀνακλάσαντα τὴν γλῶσσαν, τάμνειν τὰς ἐν αὐτέῃ φλέβας. κῆν εὐρόως καὶ πολλὸν ῥυῇ τὸ αἷμα, τῶν ἄλλων μᾶλ-

ἔσται ὦν, ἀλλὰ μήτε ἀκρητεστέρη - - - καὶ κενταυρίου.] Pro ἀλλά Pb. ἄλλα F. τἄλλα; — in Pb. c. nullum vitii signum, nullus asteriscus aut obelus ad καί. — Petitus cogitabat ἔσται ὦν ἱερὴ, ἀλλὰ μήτε ἀκρητεστέρη. — Fortasse inspexit Aëtium, quem confer. Wiganus haec adscribit: «Deficiunt hic quaedam. Ex Aetio suppleri possunt, κλύζειν δι' ἀφεψήματος κενταυρίου, ἀψινθίου καλαμίνθου, ἀριστολοχίας, μέλιτος, νίτρου πλείστου. Quae haec praecedunt et sequuntur ex Archigene se desumere prodit; sed et omnino cum his qaae leguntur apud Aretaeum eadem reperias." Ego a coniecturis abstineo.

τάδε γὰρ καὶ φλεγμάτων ἀγωγά.] Καί om. Pc.

κῆν δὲ ἀπὸ λεπτῆς διαίτης ἔωσι.] Pro δέ Pe. f. μέν.

ὅδε γὰρ ὁ ῥόος ἱκανὸς μὲν ὡς ὤκιστα θερμασίην πρηῦναι, δυνατὸς δὲ ἀγχόνην λῦσαι καὶ πάντα μειῶσαι.] Initio ὧδε H. Pd. e. f. Libri omnes ὡς ἥκιστα, quam lect. Crassus etiam vidit; est autem perabsurda. Emendo ὡς ὤκιστα, nisi forte in ὡς ἥκιστα unum ὤκιστα latet. Wiganus in interpretatione «quam citissime" posuit.

οὐκ ἀγεννὲς δὲ καὶ μέσφι λειποθυμίης ἄγειν, μὴ μέντοι λειποθυμέειν· μετεξέτεροι γὰρ ξὺν τῇ πληγῇ ἐξέθανον ἐπὶ τῇ λειποψυχίῃ. - - - - - - ἢ δεσμοῖσι σφίγγοντες ὑπὲρ σφυρὰ καὶ γούνατα· ἄριστον δὲ καὶ ὑπὲρ καρποὺς ἐς πήχεας καὶ ὑπὲρ πήχεας ἐς βραχίονας.] In hisce μέσφι H. O. Pc. d. μέχρι cett. — ξύν ante τῇ πληγῇ omm. Pa. b. — Primus h. l. adpono lacunae signa pone λειποψυχίῃ: sententiam truncatam esse, neque cum seqq. ἢ δεσμοῖσι κ. τ. λ. superiora apte cohaerere, quivis puto videbit semel hac de re monitus. Libri: ἢ δεσμοῖσι σφυρῶν σφίγγοντες ὑπὲρ σφυρά. Delevi σφυρῶν, quod fere dittographiae ὑπὲρ σφυρά ortum deberi videtur. — Cum hoc loco cf. cap. 8.[vi] verba: περικεέσθωσαν δὲ καὶ δεσμοὶ σφίγγοντες ἄκροισι τοῖσι σκέλεσι ὑπὲρ σφυρὰ καὶ γούνατα καὶ ὕπερθεν καρπῶν καὶ πηχέων ἐς βραχίονας.

ἐλατηρίου διδόναι.] Ἐλατηρίου A. Pa. b. ἐλατήριον cett.

ξὺν μελικρήτῳ.] Καὶ ξὺν μελικρήτῳ H. Pc. d. e. f.

τώδε γὰρ ἄμφω τὰς κοιλίας καθαίρει.] Credo nostro obversari Hipp. verba e libro de V. A. § 23. mihi: ἄμφω δὲ ταῦτα ὀδύνην παύει. — Me iudice apud nostrum τώδε γὰρ ἄμφω est utrumque remedium simul sumptum.

τάμνειν τὰς ἐν αὐτέῃ φλέβας.] Τάμνειν H. O. Pc. d. e. f. τέμνειν cett.

λον ἂν ὤνησε. Τέγξιες ἐπὶ τοῖσι φλεγμαίνουσι τὰ πρῶτα μὲν στύφουσαι, ὅκως ἐς παλίῤῥοιαν ἴωσι αἱ ὗλαι. ἔρια γ᾽ ὦν πιναρὰ ξὺν οἰσύπῳ, δευθέντα οἴνῳ καὶ ἀλείφατι τῷ ἀπὸ τῆς ἐλαίης τῆς ὄμφακος. Ἀτὰρ καὶ τὰ ἐπιπλάσματα ἴκελα τῇ τέγξι· φοίνικες ἐν οἴνῳ δεδευμένοι, λεῖοι ξὺν ῥόδων τοῖσι πετάλοισι. ὡς δὲ γλίσχρον τε καὶ μαλακὸν ἔῃ τὸ ἐπίπλασμα, καὶ ἄλητον ἔστω, ἢ λίνου σπέρμα, καὶ μέλι, καὶ ἔλαιον ἐς τὴν ἁπάντων μίξιν. Ἢν δὲ ἐς πύησιν τρέπηται, τοῖσι θερμοῖσι χρέεσθαι, οἷςπερ καὶ ἐπὶ τῆς ἑτέρης συνάγχης. τῆλις ὦν ἔστω τὸ ἄλητον, καὶ μάννα καὶ ῥητίνη τὰ τηκτά· καὶ πολίου κόμη ἐμπασσέσθω. Καὶ πυρίη θερμὴ σπόγγοισι ξὺν δάφνης τοῦ καρποῦ καὶ ὑσσώπου ἑψήματι. Ἐς δὲ ἐμπύησιν δυνατώτατον, πελειάδων ἢ κυνῶν κόπρον προςεπιπάσσειν, λεπτὴν ἀπὸ κρησέρης. Διακλύσματα δὲ, μελίκρητον ξὺν φακῆς, ἢ ὑσσώπου ἑψήματι, ἢ ῥόδων, ἢ φοινίκων, ἢ ὁμοῦ πάντων. Ἐγχρίειν δὲ τὸ στόμα πᾶν μέσφι τῆς ἔσω φάρυγγος· ἁπλοῖσι μὲν, χυλῷ μόρων, ἢ ῥοιῶν ὕδατι λεανθέντων, ἢ φοινίκων ἑψήματι. Φαρμάκοισι δὲ τῇ διὰ τῶν μόρων, ἢ καὶ τῇ διὰ βησασᾶ, καὶ χυλοῦ ῥοιῶν καὶ τῇ διὰ τῶν χελιδόνων. Ἢν δὲ ἕλκεα ἐσχάρων ἔωσι, διακλύσματα τάδε καὶ ἀνακογχυλισμοὶ, ὑσσώπου ἀφέψημα ἐν μελικρήτῳ, ἢ σύκων τὰ πίονα ἐν ὕδατι καὶ ἐπὶ τοῖςδε ἄμυλος διεθεὶς ἐν μελικρήτῳ, ἢ πτισάνης χυλῷ, ἢ τράγου.

εὐρόως.] *Εὐῤῥόως* Pa.
μᾶλλον ἂν ὤνησε.] *Ἂν μᾶλλον ὤνησε* Pc. *d. e. f.*
ἔρια γ᾽ ὦν πιναρὰ ξὺν οἰσύπῳ.] *Τ᾽ ὦν* vulgo: *τε ὧν* Pc. *d. e.* — Libri *ὑσσώπῳ*: — verissime emendavit Wiganus, duce Crasso. Vere itidem Anglus editor monet perpetuam esse hanc *οἰσύπου* in *ὕσσωπον* permutationem in codd. scriptis medicorum Graecorum.
ξὺν ῥόδων τοῖσι πετάλοισι.] Vulgo *ῥόδοισι*: F *ῥοδίοισι*. Librarii, puto, ob seqq. *τοῖσι πετάλοισι* etiam *ῥόδοισι* dativo scripserunt: Aretaeus vero *ῥόδων* dedit, ut opinor.
καὶ ἄλητον ἔστω, ἢ λίνου σπέρμα.] Vulgo *καὶ ἄλφιτον ἔστω.* Sed *ἄλητον* H. O. Pc. *d.*
τῆλις ὦν ἔστω τὸ ἄλητον.] Sic O. Vulgo *ἄλφιτον*: sed Pc. *e.* *ἄλ$\overset{\eta}{\iota}$τον*. (sic).
σπόγγοισι ξὺν δάφνης.] *Ξύν* de meo interposui. Fortasse e *σπόγγοισιν σὺν δάφνης* factum est, ut praepositio pone dativum pluralem interiret.
πελειάδων.] *Πελιάδων* cett.
μέσφι τῆς ἔσω φάρυγγος.] Sic O. H. Pc. *d.* *μέχρι* cett.
μόρων.] Sic Po. *μώρων* cett. — Nescio an non forma per *ο* sit usitatior. — Infra itidem *μόρων* Po.
χυλῷ μόρων, ἢ ῥοιῶν ὕδατι λεανθέντων, ἢ φοινίκων ἑψήματι.] Libri omnes *λεανθέντων*. — Hinc factum est, ut interpretes Crassus et Wiganus *ὕδατι λεανθέντων* tum ad *μόρων*, tum ad *ῥοιῶν* referrent. — Vereor, ut haec Aretaei mens fuerit, neque enim intelligo, quare succum mororum pararet cum aqua, quum sponte ex hoc fructu succus erumpat. Itaque primo *λεανθεισῶν* scriptum cupiebam: sed quaerere coepi num *ῥοίας* cum aqua *λεανθείσας* alicubi reperirem. Iam vero in Aëtio contrarium invenio: «Probe facit mali punici integri una cum corticibus fracti ac contusi succus melle permixtus: ita ut ad succi partes tres una mellis coniiciatur et donec cogatur decoquatur, ac illinatur.” Itaque succum vides sine aqua paratum. Gal. de alim. facult. II. 24. de punicis malis: *οὐδέποτε δ᾽*, inquit, *οὐδ᾽ ἕψονται δι᾽ ὕδατος ἢ ἐν ἀτμῷ. χυλὸν δὲ ἔχουσι πλείονα μήλων τε καὶ ἀπίων.* — Vides ne causam quidem esse, cur succus *ῥοιῶν* aquae ope pararetur! Hinc suspicio mihi nata, Aretaeum dedisse *χυλῷ μόρων, ἢ ῥοιῶν λεανθέντων, ἢ φοινίκων ἐν ὕδατι ἑψήματι.* — Apud Diosc. I. 149. *φοινίκων ἀφεψήματος* mentio fit. — Quid statuendum de loco Aretaei, non satis certum, itaque sane nihil in contextu muto.
Φαρμάκοισι δὲ τῇ διὰ τῶν μόρων, ἢ καὶ τῇ διὰ βησασᾶ, καὶ χυλοῦ ῥοιῶν καὶ τῇ διὰ τῶν χελιδόνων.] Libri omnes in hisce *τῇ βησασᾶ καὶ χυλῷ ῥοός.* — Wiganus: «Legendum inquit, fortasse melius hic, ut apud ceteros medicos Graecos *τῇ διὰ βησασᾶ, καὶ τῇ διὰ χυλοῦ ῥοός*, uti semper appellantur medicamenta haec composita; utque in seqq. vocat *τῇ διὰ χελιδόνων.* Saltem apparet eosdem haec composita hic indicari.” — Quam lenissimam potui medelam adhibui. — Diosc. III. 46. *καλοῦσι δέ τινες αὐτὸ Ἅρμαλα* (nempe *τὸ πήγανον ἄγριον*), *Σύροι βησασᾶ.* Verum advertit praeterea *ἁπλοῖσι μέν* .... *φαρμάκοισι δέ* in anthithesi: nam exspectas fere potius, ut aliis locis, *ποικίλοισι δέ*, — sed fortasse *φαρμάκοισι* scripsit, quum superiora maxime ad usum culinarem (ut ita dicam) sumantur, *φαρμάκοισι* intelligens de praeparatis compositis officinalibus. Tandem necessario pro *ῥοός* substituendum fuit *ῥοιῶν*: inter *διάχριστα στοματικά*, quae h. l. recensentur, quaeque apud Gal. de comp. med. sec. locos lib. VI. et Paulum VII. 14. recensentur, pertinet illud *διὰ χυλοῦ ῥοῶν*, non *ῥοός*. Vide in Prolegomenis de nostri apparatu pharmaceutico.
ἢν δὲ ἕλκεα ἐσχάρων ἔωσι.] Malim fere *ἢν δὲ ἕλκεα ἐξ ἐσχάρων ἔωσι*: nempe ulcera postquam crustae deciderint.
διακλύσματα τάδε καὶ ἀνακογχυλισμοί. ὑσσώπου ἀφέψημα ἐν μελικρήτῳ, ἢ σύκων τὰ πίονα ἐν ὕδατι, καὶ ἐπὶ τοῖςδε ἄμυλος διεθεὶς ἐν μελικρήτῳ, ἢ πτισάνης χυλῷ, ἢ τράγου.] Cett. omnes *ἀφεψήματι.* Tum vero edi solet *τῶν πιόνων*: sed H. V. A. *τὰ πίονα*, idemque in varr. lectt. Goupylus adscribit et ipse vidi in Po. — Itaque hoc revocavi; et *ἀφέψημα* nominativo scripsi. — Libri ferunt *διηθείς.* — Reposui *διεθείς* a *διΐημι*, quemadmodum *ἀφεθείς* ab *ἀφίημι*; cf. adnn. ad cap. 8., ubi inter

Ἐπὶ δὲ τῆς μετὰ ξυμπτώσιος συνάγχης, ἔσωθεν ἔξω ἄγειν πάντα, καὶ ὑγρὰ, καὶ θέρμην, καὶ σάρκα πᾶσαν, ὡς ἐξογκέῃ ἔξω τὸ πᾶν. Ἔστωσαν ὦν θερμαὶ αἱ τέγξιες ξὺν πηγάνῳ καὶ ἀνήθῳ, ἐμπασσομένου νίτρου· καὶ ἐπιπλάσματα ξὺν τουτέοισι τὰ πρόσθεν. Ἀγαθὸν δὲ κηρωτὴν ξὺν νίτρῳ καὶ σίνηπι τιθέναι ἐς θερμασίην. Θερμασίη δὲ ἡ ἐς τὰ ἔξω τὰ τοιάδε ἴῆται, ἀτὰρ ἠδὲ ἐξογκέει ἐς τὸν αὐχένα. ὄγκος δὲ περιπνευμονίης ῥύεται ἐπαιωρεύμενος ἔξω· εἴσω δὲ τοῖσι συναγχικοῖσι ὀλέθριον κακόν. Ὁκόσοι δὲ, ὑπ' εὐλαβείης τῆς ἐπὶ τῆς συνάγχης πνιγὸς, τὴν ἀρτηρίην ἔταμον ἐς ἀναπνοὴν, οὔ μοι δοκέουσι πείρῃ τὸ πρῆγμα πιστώσασθαι. Ἡ τε γὰρ θερμασίη τῆς φλεγμασίης μέζων ἐκ τοῦ τρώματος γίγνεται καὶ προςτιμωρέει τῇ πνιγὶ, καὶ βήσσουσι. Ἢν δὲ καὶ ἄλλως ἐκφύγωσι τόνδε τὸν κίνδυνον, οὐ ξυνάγεται τοῦ τρώματος τὰ χείλεα· ἄμφω γὰρ χονδρώδεα καὶ ἀξύμφυτα.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΚΙΟΝΙΔΑ ΠΑΘΩΝ.

Κεφ. η'.

Τῶν παθέων ὁκόσα ἀμφὶ τὴν κιονίδα γίγνεται, τὰ μὲν ὑποτάμνειν χρή. ἀλλ' οὐ τοῦ παρεόντος λόγου ἡ τῶνδε χειρουργίη. τὰ δὲ ὡς ὀξέα ἴῆσθαι· ῥηϊδίως γὰρ πνίγει, καὶ δυςπνοίῃ τινα τουτέων κτείνει. Τοιάδε μέντοι ἐστὶ, ἣν καλέομεν σταφυλήν τε καὶ κιονίδα. ἄμφω γὰρ ξὺν φλεγμασίῃ καὶ πάχεϊ καὶ μήκεϊ ξυνίστανται, ὡς ἐς

δευθέντα et *διεθέντα* lectio fluctuat. — De verbo *διϊέναι* significante apud medicos *materiem solidiorem humore solvere et colare* dixi ad Hipp., et postea accuratius sum dicturus. — Dubito an non scripserit Aretaeus: *ἢ πτισάνης χυλὸς, ἢ τράγου*: nec tamen mutare audeo.

θερμασίη δὲ ἡ ἐς τὰ ἔξω τὰ τοιάδε ἴῆται.] Pro *δέ* h. l. fere *γάρ* malueris: nil muto, maxime ob sqq. *ὄγκος δὲ περιπνευμονίης ῥύεται ἐπαιωρεύμενος ἔξω*. Videtur Aretaeus nunc spectare locos e Progn. Hipp. de angina metastasi soluta.

ἀτὰρ ἠδὲ ἐξογκέει.] Petitus: «Lego, inquit, *ἥδε* et est pronomen demonstrativum, quod refertur ad *θερμασίη*. Sed et calor tumorem in collo efficit." — Nihil tentandum: *ἀτὰρ καί* et *ἀτὰρ ἠδέ* nostro sunt familiarissima.

εὐλαβείης.] Sic Pe. *f.* *εὐλαβίης* cett.

οὔ μοι δοκέουσι.] *Εὖ μέντοι δ.* Pc. *d.* — Vides h. l. rursum ei ob mentem obversari quod cap. 2. versus finem monuerat: *ἀγαθὴ δὲ διδάσκαλος ἡ πείρη· χρὴ δὲ καὶ αὐτὸν πειρῆν. εὐλαβίη γὰρ ἀπειρίη.*

καὶ προςτιμωρέει τῇ πνιγὶ, καὶ βήσσουσι.] Pro *καὶ βήσσουσι* potius *καὶ τῇ βηχί* exspectaveram: ferri tamen posse videtur vulgata lectio.

ἀξύμφυτα.] Adponam Wigani ad capitis finem adnotationem. — «Finis, inquit, fortasse capitis huius hic est: in eo tamen aliqua deesse de curatione anginae *μετὰ ξυμπτώσιος* liquet ex Aëtio, qui in curatione *κρυπτῆς συνάγχης* haec habet (163. 8.) *Ἀρεταῖος δὲ πρὸς τούτοις φησὶ, ἐπὶ τῆς κρυπτῆς, εἰ ἐπὶ τοῖς ἄλλοις μὴ ἐνδίδωσι, σικύας κολλῆσαι δεῖ πάντη τοῦ θώρακος· ἀρχὴ δὲ γιγνέσθω κάτωθεν τοῦ ὀμφαλοῦ, προςανατρέχειν δὲ ἐπὶ πλευρὰς καὶ μετάφρενα, συνεχῶς μεταφέροντα ἀπὸ τοῦ τόπου εἰς ἕτερον τόπον, καὶ ἕλκοντα τὴν σικύαν ἄνωθεν ἐπὶ τὰ κάτω. εἰ δὲ πάνυ ἐπείγει ἡ πνίξις, σίνηπι τρίψαντας σὺν ὕδατι καὶ ἐμπλάσαντας ῥάκει ἐπιτιθέναι ἐπὶ τὸ στῆθος. ἔκλειγμα δὲ ἐπὶ τούτοις, σίνηπι, νίτρον, ὕσσωπον, σκίλλαν ὀπτὴν, θεῖον ἄπυρον. δίδου ἴσα πάντα μετὰ μέλιτος κοχλιαρίου ἐκλείχειν.*" — Patet sane ex h. l. quam multa passi sint auctoris tersissimi libri temporum iniuria, ex iisque illi maxime, qui de curatione morborum agunt.

Cap. 8. *ἀλλ' οὐ τοῦ παρεόντος λόγου ἡ τῶνδε χειρουργίη.*] Cum hisce conferens capitis finem, *μετεξετέροισι ἠδὲ τὰ τῆς ὑπερώης ὀστέα ἐφθάρη καὶ ἐς μακρὸν φθίνοντες τὸν βίον ἐτελεύτησαν. τῶνδε μέντοι τὰ ἄκεα ἑτέρωθι λελέξεται*, — iure conficias, nostrum etiam de rebus chirurgicis libros composuisse.

σταφυλήν τε καὶ κιονίδα.] *Κιονίδα* vulgo edi solet; Wiganus *κίονα* ex H. edidit: idem praebent Pc. *d.* *e.* *f.* — Mihi plane incertum videtur, quid Aretaeus scripserit: nam potuit *κίονα* scribere, potuit etiam *κιονίδα* deminutive, vid adnn. ad cap. de s. huius morbi in libro I.

καὶ παχείη.] Sic O.: vulgo *παχεῖα*. Est hoc a Goupylo, uti videtur, profectum, sive consulto is ita scripserit, sive fortuito: nam Po. itidem Ionice *παχείη*.

μέζονι τῇ τομῇ.] Po. V. G. v. l. *μέζον τῆς τομῆς*: itaque vulgata in Edd. lectio verissima Goupyli emendatio est. *Μέζονι τῆς τομῆς* H., in quo igitur vestigium verae scripturae.

Δεῖ δὲ ὑποκλύζειν.] Ita O. ex H. — *ἢν δὲ ὑποκλύζειν* cett.

εἰ δέ τι ἡ πνὶξ ἐπισπέρχοι.] *Ἐπισπέρχειν* Homericum

τὴν ἀρτηρίην ἐκκρεμέα γίγνεσθαι. Ἴσῳ μὲν πάχεϊ, ἀπὸ τῆς βάσιος μέσφι ἄκρου τοῦ οὐρανοῦ, ὁ κίων. ἀνίσῳ δὲ ἡ σταφυλή· τῆςδε γὰρ ἰσχνὴ μὲν ἡ ἀπὸ τοῦ οὐρανοῦ βάσις, ἐς δὲ τὸ ἄκρον στρογγύλη, καὶ παχείη ξὺν ἐρυθήματι, ἢ πελιδνῶσι· τῇδε καὶ σταφυλὴν ἐπίκλησιν ἔσχηκε τὸ πάθος. Τοῖσι ὦν χρὴ ὠκέως ἀρήγειν· ὤκιστος γὰρ ὁ ἀπὸ πνιγὸς ὄλεθρος.

Ἢν μὲν ὦν νεηνίαι οἱ πεπονθότες ἔωσι, τάμνειν τὴν ἐπ' ἀγκῶνι φλέβα, ἠδ' ἀθρόον κενοῦν μέζονι τῇ τομῇ. ὡς γὰρ ἀπ' ἀγχόνης, ἀπέλυσε τῆς πνιγὸς ἡ τοιήδε ἀφαίρεσις. Δεῖ δὲ ὑποκλύζειν κλυσμῷ πρηέϊ, ἔπειτα δὲ δριμέϊ ἄλλοτε καὶ ἄλλοτε, ἔς τ' ἂν ἑλκύσῃ τι ἄνωθεν ἐς μετάστασιν. Περικεέσθωσαν δὲ καὶ δέσμοὶ σφίγγοντες ἄκροισι τοῖσι σκέλεσι ὑπὲρ σφυρὰ καὶ γούνατα, καὶ ὕπερθεν καρπῶν καὶ πηχέων ἐς βραχίονας. Εἰ δέ τι ἡ πνὶξ ἐπισπέρχοι, σικύην ἐς τὸ ἰνίον, ἠδὲ ἐς τὸν θώρηκα, προςβάλλειν· καὶ τουτέων ἐντάμνειν τινά. Πρήσσειν τε ἅπαντα, ὁκόσα μοι ἐν τῇ συνάγχῃ λέλεκται· ὠυτὸς γὰρ ἀμφοῖν ὀλέθρου τρόπος. Ἀλλὰ καὶ τοῖσι ἐς τὸ στόμα φαρμάκοισι τοῖσι αὐτέοισι χρέεσθαι, καὶ στύψεσι, καὶ μαλθακτηρίοις, καὶ πυρίῃ τῇ ἔξωθεν, καὶ ἐπιπλάσμασι, καὶ ἐς τὸ στόμα ἐγχρίσμασι. Περὶ δὲ τὸν κίονα ἐπὶ τῆς σταφυλῆς ἔστω στύμμα, ῥοὸς χυλὸς, μέλιτι ἢ ὕδατι λυθεῖσα ἀκακίη, ὑποκυστὶς, γῆ Σαμίη ἢ Λημνίη, ἢ Σινῶπις, ἠδὲ ὀμφάκιον. Ἢν δὲ ἑλκώδης ἔῃ, κόμμι καὶ ἄμυλον διεθέντα ῥόδων ἢ φοινίκων ἀφεψήματι· καὶ πτισάνης, ἢ τράγου χυλός. Ἐπὶ δὲ τοῦ κίονος, ἔστω πλέον τι τῶν εὐτονωτέρων, διὰ σμύρνης τε καὶ κόστου, καὶ κυπέρου. ἀνέχεται γὰρ τῶνδε τῶν δριμέων ὁ κίων. Ἢν δὲ ἔμπυος ὅδε ὁ χῶρος γένηται, μετεξετέροισι ἠδὲ τὰ τῆς ὑπερῴης ὀστέα ἐφθάρη, καὶ ἐς μακρὸν φθίνοντες τὸν βίον ἐτελεύτησαν. Τῶνδε μέντοι τὰ ἄκεα ἑτέρωθι λελέξεται.

est: intransitive, uti h. l., sumitur Od. V. 304. ἐπισπέρχουσι δ' ἄελλαι - παντοίων ἀνέμων.

σικύην ἐς τὸ ἰνίον.] Olim ἐπί edebatur. Wig. ἐς scripsit, quod itidem in Pc. d. legi.

ὠυτὸς γὰρ ἀμφοῖν ὀλέθρου τρόπος.] De meo ex ὠυτός effeci ὡυτός.

περὶ δὲ τὸν κίονα ἐπὶ τῆς σταφυλῆς ἔστω στύμμα, ῥοὸς χυλὸς κ. τ. λ.] Libri omnes περὶ δὲ τὸν (τήν Pd. f.) κίονα, ἢ τὴν σταφυλὴν ἔστω στύμμα, ad quam lect. Wiganus: «Malim, inquit, ἐπὶ τῇ σταφυλῇ (de morbo enim iam loquitur) et περὶ δὲ τὸν κίονα *circa columellam* reddere. Nam columella (6. 38.) κίων καὶ γαργαρεὼν καλέεται. σταφυλὴ γὰρ πάθεος ἐστιν οὔνομα. Quare videmus licet alii ita vocent, Aretaeum nolle *morbum* (imo *partem* E.) σταφυλήν appellari; affectum autem, qui κίων dicitur, ipse describit (6. 46.) Hic igitur quid columellae applicari velit in morbo σταφυλῇ praecipit: mox quid in eo morbo, qui κίων vocatur, eidem parti apponendum sit, praecepturus." — Verissime haec vir egregius: malui genitivo ἐπὶ τῆς σταφυλῆς scribere, quia infra ἐπὶ δὲ τοῦ κίονος dedit.

ἀκακίη.] Sic Pf. ἀκακία cett.

κόμμι καὶ ἄμυλον διεθέντα ῥόδων, ἢ φοινίκων ἀφεψήματι.] Vulgo δευθέντα; Pd. e. f. διεθέντα, quod certe firmat emendationem nostram cap. 7., ubi διεθέντα, pro διηθέντα reposuimus. Nostro loco recepi quod ab auctore profectum iudicabam; δευθέντα ne recentiori manui debeatur, vereor.

Cap. 9. πρὸς τὰ ἄλλα πάθεα.] Τὰ ἄλλα, quod h. l. praestare videtur, quia πάθεα τὰ ἐν τοῖσι παρισθμίοισι adponitur, praebet Pc.; τἄλλα cett.

ἐπιπλάσιες.] H. G. v. l. Po. ἐπιπλήσιες. Itaque ἐπιπλάσιες verissima esse videtur Goupyli emendatio. Vid. adn. ad Hipp. de V. Acut. p. 151.

ἀρωγὸν, ἀλλ' ἀξύνετον.] Ἀρωγὸν ἀλλὰ ξυνετόν V. Pf. ἄνω γὰρ ἀλλὰ ξύνετον H. A. Pa. b. c. d. e.

ἔστω δὲ στυπτηρίη.] Ἔστι dant libri; «An ἔστω?" quaerit Wiganus. Recipiendum omnino, etsi libri non praebeant.

ἔστω δὲ στυπτηρίη ξὺν μέλιτι, κηκὶς, βαλαύστιον ξὺν μελικρήτῳ. τὰ δὲ αὐτὰ καὶ ξηρὰ ἐμφυσῆν καλάμῳ, ἢ πτίλῳ, ἢ καυλῷ παχέϊ καὶ ἐπιμήκεϊ ἐμπάσσειν, ὡς τῶν ἑλκέων θιγγάνειν τὰ φάρμακα.] Libri in hisce: κηκὶς, βαλαύστιον, ξηρὰ ξὺν μελικρήτῳ. τοῖσι δὲ αὐτοῖς καὶ ἐμφυσῆν καλάμῳ, ἢ καυλῷ παχέϊ καὶ ἐπιμήκεϊ, ὡς τῶν ἑ. θ. τὰ φ. Iam vero ξηρὰ ξὺν μελικρήτῳ absurdum est: nec vero τοῖς αὐτοῖς ἐμφυσᾷν καλάμῳ dicitur, sed τὰ αὐτὰ ἐμφυσᾷν καλάμῳ. Illud ξηρά vero huc omnino pertinet, et legendum κηκὶς βαλαύστιον ξὺν μελικρήτῳ. τὰ δὲ αὐτὰ καὶ ξηρὰ ἐμφυσῆν καλάμῳ. Verum praeterea pone πτίλῳ, ἢ καυλῷ παχέϊ καὶ ἐπιμήκεϊ verbum deest, neque enim horum ope ἐμφυσᾷν solemus, sed his ἐμπάσσομεν pulveres quoslibet; itaque ἐμπάσσειν de meo interposui.

ἔστω δὲ μοίρης διπλάσιον τῆς καδμίης καὶ ῥήου ξὺν τινι ὑγρῷ.] Vulgo καὶ ῥίον ἢ ῥίζα ξύν τινι ὑγρῷ. — H. O.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΦΑΡΥΓΓΑ ΛΟΙΜΙΚΩΝ ΠΑΘΩΝ.

Κεφ. θ'.

Πῇ μὲν ξυνὴ καὶ τῶνδε πρὸς τὰ ἄλλα πάθεα τὰ ἐν τοῖσι παρισθμίοισι ἰητρείη, πῇ δὲ ἰδίη. Ἐπὶ φλεγμασίῃ καὶ ἀγχόνῃ, κλυσμοὶ, φλεβοτομίη, τέγξιες, ἐπιπλάσιες, πυρίη, διάδεσμοι, σικύη, πάντα τωὐτά. Χρίσιες δὲ φαρμάκων δυνατωτέρων· οὐ γὰρ ἀτρεμέει τὰ ἕλκεα, οὐδὲ ἐσχάραι γίγνονται ἐπιπολῆς. ἀλλὰ κὴν ἰχὼρ ἀπὸ τουτέων εἴσω στάξῃ, ὤκιστα μὲν ἑλκοῦται τὰ μέρη, κὴν ἀσινέα ᾖ· ὤκιστα δὲ εἰς τὸ εἴσω νέμεται καὶ κτείνει. Πυρὶ μὲν ὦν καίειν τὸ πάθος ἀρωγὸν, ἀλλ' ἀξύνετον, διὰ τὸν ἰσθμόν. Φαρμάκοισι δὲ πυρὶ ἰκέλοισι χρέεσθαι ἔς τε τὴν ἐπίσχεσιν τῆς νεμήσιος, ἀτὰρ ἠδὲ ἐς τὴν τῶν ἐσχαρέων ἔκπτωσιν. Ἔστω δὲ στυπτηρίη ξὺν μέλιτι, κηκὶς, βαλαύστιον ξὺν μελικρήτῳ. τὰ δὲ αὐτὰ καὶ ξηρὰ ἐμφυσῆν καλάμῳ, ἢ πτίλῳ, ἢ καυλῷ παχεῖ καὶ ἐπιμήκεϊ ἐμπάσσειν, ὡς τῶν ἑλκέων θιγγάνειν τὰ φάρμακα. ἄριστον δὲ καὶ χαλκῖτις ὀπτὴ, ξὺν καδμίῃ λείῃ ξὺν ὄξεϊ. ἔστω δὲ μοίρης διπλάσιον τῆς καδμίης καὶ ῥήου ξύν τινι ὑγρῷ. Φυλάσσεσθαι δὲ χρὴ τῶνδε τὰς ἐπιθλίψιας· ὑγραίνει γὰρ τὰ ἕλκεα καὶ ἐπὶ μᾶλλον νέμεται. Χρὴ ὦν πτερῷ τὰ ξηρὰ καταπάσσειν· τὰ δὲ ὑγρὰ ὑγρότατα ποιέοντα, ἐς τὸν γαργαρεῶνα ἐγχέειν. Ἢν δὲ αἱ ἐσχάραι ἤδη τε ἀπολύωνται, τὰ δὲ ἕλκεα ἐρυθρὰ γίγνηται, κίνδυνος τότε μάλιστα σπασμοῦ. ἐπιξηραίνεται γὰρ ὡς ἐπίπαν τὰ ἕλκεα καὶ τοισίδε τὰ νεῦρα ξυντείνεται. Χρὴ ὦν γάλακτι ξὺν ἀμύλῳ καὶ χυλῷ πτισάνης, ἢ τράγου, ἢ λίνου σπέρματι, ἢ τήλιος μαλθάσσειν καὶ ὑγραίνειν. Μετεξετέροισι δὲ καὶ ἡ κιονὶς διεβρώθη μέχρις ὀστέου τοῦ τῆς ὑπερώης, καὶ τὰ παρίσθμια ἄχρι βάσιος καὶ ἐπιγλωττίδος· καὶ ἐπὶ τῇ ὠτειλῇ καταπίνειν οὔτε στερεὸν, οὔτε ὑγρὸν ἠδύναντο· ἀλλὰ καὶ τὸ ποτὸν ἀνακοπτόμενον ἀπέπνιγέ κοτε τὸν ἄνθρωπον λιμῷ.

καὶ ῥίου ἢ ῥίζα ξύν τινι ὑγρῷ. — Nullus dubito, quin cod. Harleyani lectio *ῥήου* unice vera sit, sed in utraque lect. *ἢ ῥίζα* glossema est, quod structuram omnino turbat, adeoque furcillis expellendum est. Nempe loci structura est *ἔστω δὲ καὶ ῥήου διπλασίον τῆς μοίρης τῆς καδμίης*: itaque *ἢ ῥίζα* omnino abundat.

καὶ τοισίδε τὰ νεῦρα ξυντείνεται.] Cett. *καὶ τοῖσι δὲ τὰ ν. ξ.*

χρὴ ὦν γάλακτι ξὺν ἀμύλῳ καὶ χυλῷ πτισάνης, ἢ τράγου, ἢ λίνου σπέρματι, ἢ τήλιος μαλθάσσειν καὶ ὑγραίνειν.] Pro *χυλῷ* H. Pc. *d. e.* *χυλοῖς*, quod non praeplacet: cap. 7. noster *ἢ πτισάνης χυλῷ, ἢ τράγου.* — Praeterea H. A. Pb. *c. d. e.* *σπέρματος*, quod in O. receptum video: nollem factum; nam non conficitur *χυλὸς λίνου σπέρματος*, nec *τήλιος*; adeo ut horum remediorum vulgo decoqui solitorum administrationis methodus non definiatur a nostro. Miror nonnihil *τήλιος*, pro quo fere *τήλι* exspectaveram, quum vix *σπέρμα τήλιος*, sed simpliciter *τῆλις* dicatur. — Attamen interpolator Dioscoridis: *οἱ δὲ τήλεως καρπός*; potuit ergo forsitan noster *τήλιος σπέρμα* dicere.

Cap. 10. *οὐδὲ ὑπερθέσιος μεγάλης ἰητρείης.*] Vulgo *οὐδ'*: O. Pc. *οὐδέ.* — Vulgo *ἢ μεγάλης ἰητρείης*: in O. *ᾗ μεγάλης ἰητρίης* legis. — Neutrum fero; *ἢ* abundat et in codd. ortum videtur e librariorum interpolatione nihil intelligentium. — Wiganum credo de suo in *ᾗ* mutasse, qua ratione tamen admodum nihil proficit. Tenendi sunt ad huius capitis initium Bacchylidis versus apud Dion. Halic. *περὶ συνθέσεως* p. 240. Ed. Upton:

οὐχ ἕδρας ἔργον οὐδ'
ἀμβολᾶς, ἀλλὰ χρυ-
σαιγίδος Ἰτωνίας
χρὴ παρ' εὐδαίδαλον
ναὸν ἐλ-
θόντας ἁβρόν τι δεῖξαι.

ἢν δὲ ἀπὸ πληρώσιος σίτων καὶ ποτῶν ἔῃ.] Cett. omnes *πλήσιος*, cuiusmodi nomen me alibi legere non memini. Vocem mutilam esse arbitror.

ἀφαιρέειν ἀπ' ἀγκῶνος τῆς ἐν τῷ κοίλῳ φλεβὸς, τοῦ μὴ κατ' ἴξιν· κρέσσον γὰρ ἀπωτάτω ἄγειν.] Vulgo: *ἀφαιρέειν ὑπ' ἀγκῶνος τῆς ἐν τῷ κοίλῳ φλεβὸς, τοῦ μὴ* (*μὴ τοῦ* H. V. Pa. *b. c. e. f.*) *κατ' ἴξιν τῇσι ἑτέρῃσι πλευρῇσι. κρέσσον γὰρ ἀπωτάτω ἄγειν.* — De aliorum haec verba interpretandi ratione nunc nihil dicam, quia

ΘΕΡΑΠΕΙΑ ΠΛΕΥΡΙΤΙΔΟΣ.

Κεφ. ι'.

Οὐκ ἀμβολῆς καιρὸς ἐν πλευριτικοῖσι, οὐδὲ ὑπερθέσιος μεγάλης ἰητρείης. ὅ τε γὰρ πυρετὸς, κάτοξυς ἐὼν, ἐς ὄλεθρον ὁρμᾷ· ἥ τε ὀδύνη τοῦ ὑπεζωκότος ξυνεπείγει ἐπὶ τὸ κάκιον· ἀτὰρ καὶ βῆχες, κλονέουσαι τὸν θώρηκα καὶ τὴν κεφαλὴν, ὑπολύουσι τὰς δυνάμιας. Μάλιστα μὲν ὦν αὐτῆμαρ. φλέβα τάμνειν. Ἢν δὲ ἀπὸ πληρώσιος σίτων καὶ ποτῶν ἔῃ, ἐπ' ἀσιτίης μίην ἡμέρην φυλάξαντα, ἀφαιρέειν ἀπ' ἀγκῶνος τῆς ἐν τῷ κοίλῳ φλεβὸς, τοῦ μὴ κατ' ἴξιν· κρέσσον γὰρ ἀπωτάτω ἄγειν. Τὸ δὲ πλῆθος μὴ μέχρι λειποθυμίης· περιπνευμονίην γὰρ ἐπιφοιτῆσαι κίνδυνος, ἢν τὸ σῶμα ἐπιψυχθὲν τὴν ψυχὴν ἐκλείπῃ. εἴσω γὰρ τὰ ὑγρὰ ξυνθέει, τῆς ἐκτὸς ἀφαιρεθέντα θέρμης τε καὶ τάσιος. πνεύμων δὲ μανός τε καὶ θερμὸς, καὶ ἐς ὁλκὴν δυνατώτατος· πλευρῶν δὲ γειτόνημα, πνεύμων, καὶ κοινωνὸς ἀλγέων. ἀτὰρ καὶ αἱ τοῦδε διαδέξιες οὐ μάλα περιγίγνονται· περιεστηκυῖα δὲ πλευρῖτις ἀπὸ περιπνευμονίης, εὐηθέστερον γάρ. Χρὴ ὦν ἐπὶ ξυμμέτρῳ τῇ ῥοῇ τοῦ αἵματος, μεσηγὺ τὸν ἄνθρωπον ξυλλέξαντα, αὖθις ἀφαιρέειν. εἰ μὲν εὖ ἔχοι, αὐτῆμαρ, τῆς ἐπανέσιος μακρῆς γιγνομένης· ἢν δὲ μὴ, τῆς ὑστέρης. Ἢν δὲ μηδὲ ὁ πυρετὸς ἐνδιδῷ, — τὰ πολλὰ γὰρ μίην ἡμέρην ὁ πυρετὸς ἴσχει τε καὶ αὔξει, — τῇ τρίτῃ, ἐν τῇ δευτέρῃ ἐπανέσι, ἀφαιρέειν, τῇ περ καὶ τὰ προςάρματα δοτέον, λιπαρῶς μὲν χρίσαντα ὅλον τὸν ἄνθρωπον· ἐπὶ δὲ τῇ πλευρῇ, καὶ ἔλαιον θέντα μαλθακὸν ξὺν ἀλείφατι θερμῷ πηγάνου ἢ ἀνήθου ἀφεψήματος· καταιονεῖν δὲ τὸ πλευ-

verum non vidisse illos opinor. — Ante omnia ὑπ' ἀγκῶνος mutandum in ἀπ' ἀγκῶνος. Iam vero sequentium structura haec est: ἀφαιρέειν ἀπὸ τῆς φλεβὸς ἐν τῷ κοίλῳ τοῦ ἀγκῶνος τοῦ μὴ κατ' ἴξιν. Haec bene habent et cum priscorum ratione congruunt. Sed quid τῇσι ἑτέρῃσι πλευρῇσι, quod iam abundat et Wigano molestiam peperit, modo eius adn. inspicias? Ego ita ortum opinor, ut ad τοῦ μὴ κατ' ἴξιν quis in margine adscriberet τῆς ἑτέρης πλευρῆς, quae glossa quidem in textum est invecta, et genitivus in dativum mutatus postea. Ad res ipsas quod attinet, Sprengelius (Opuscc. Acadd. p. 95. ed. Rosenbaum) putat, Aretaeum primum fuisse, qui praeceperit, venam secandam esse in parte a loco affecto longe distante. Nempe e repugnantia, quam deprehendere sibi videtur in locis de venae sectione, qui leguntur in lib. spurio Hipp. de Natura ossium, conficit fragmenta de venis in hoc libro partim esse recentissima. — De antiquitate huius fragmentorum collectionis dicendi locus hic non est; faciam, ut spero, in Hippocratis editione. Sed profiteor me sic censere: Aretaeum facile praeceptum suum e libellis de Hominis natura, et de Ossium natura, vel ex alterutro haurire potuisse. Neque enim tantam video in illis locis repugnantiam, ut hac de causa fragmentum in utroque libello spurio obvium Polybo abiudicare ausim.

εἴσω γὰρ τὰ ὑγρὰ ξυνθέει, τῆς ἐκτὸς ἀφαιρεθέντα θέρμης τε καὶ τάσιος.] Wiganus: «num ἐντός? inquit. Nam sanguis calorem internis partibus praecipue communicat.” Mira dubitatio, quae viro erudito imprudenti excidit: nam si ἐντός libri darent, in ἐκτός mutatum cuperes.

περιεστηκυῖα δὲ πλευρῖτις ἀπὸ περιπνευμονίης, εὐηθέστερον γάρ.] Γάρ abesse solet in Edd. — Adposuit Wiganus in O. ex H. Vidi itidem in Pc. d. e. f. πνευμονίης H. — De περιεστηκυῖα dixi in obss. ad Soranum p. 329. seq.

ἢν δὲ μὴ τῆς ὑστέρης.] Τῆς ἑτέρης H.

τῇπερ καὶ τὰ προςάρματα δοτέον, λιπαρῶς μὲν χρίσαντα ὅλον τὸν ἄνθρωπον. ἐπὶ δὲ τῇ πλευρῇ καὶ ἔλαιον θέντα μαλθακὸν ξὺν ἀλείφατι θερμῷ πηγάνου ἢ ἀνήθου ἀφεψήματος· καταιονεῖν δὲ τὸ πλευρὸν εὖ μάλα προςηνέως.] Equidem, licet libros omnes in hac lectione huiusce loci conspirare videam, vereor tamen, ut recte se habeat. Miror θέντα ἐπὶ τῇ πλευρῇ ἔλαιον μαλθακὸν ξὺν ἀλείφατι θερμῷ: verbum τιθέναι de alio materiae genere non semel apud nostrum occurrit, sed ἔλαιον τιθέναι ἐπὶ τῇ πλευρῇ mirum sonat. Infra in hoc ipso cap. κηρωτὴν ξὺν τῷ κυπρίνῳ καὶ πηγανίνῳ τιθέναι. — Cap. 7. κηρωτὴν ξὺν νίτρῳ καὶ σίνηπι τιθέναι. Cap. 2. σίκυον χρὴ τὸν ἄγριον ξὺν ὄξεϊ τρίψαντα σινήπιος ἴσῃ μάζῃ ξυμμίξαντα τιθέναι. — Vides τιθέναι usurpari de materie solidiore certe quam oleum est; itaque illud ἔλαιον θέντα intelligendum de oleo cum alia materie, quacum oleum in epithema coniungatur. Sed praeterea, quid est ἔλαιον μαλθακόν? Scio equidem apud Hipp. de morb. mul. II. p. 671. vs. 26. Foësio legi: καὶ μυρσίνης φύλλα

ρὸν εὖ μάλα προςηνέως. Μετεξετέροισι δὲ καὶ τὸ ἄλγημα καὶ ἡ φλεγμασίη ἔξω ὤκειλε, ὡς δοκέειν τῶν τῇδε τὸ πάθος εἶναι. τὸ δέ ἐστι τῶν ἔνδον αὔξησις.

Τροφῆς δὲ νῦν, ὡς ἀμφὶ πάσης ἰητρείης ἔστω λόγος, ὡς μηδὲν ἐς ἁμαρτωλὴν ἴῃ. Ἐν τροφῇ γὰρ κείσεται φάρμακα· ἀτὰρ καὶ τὰ φάρμακα ἐν τροφῇ. Γένεϊ μὲν ὦν θερμὴ καὶ ὑγρὴ, ἠδὲ λείη καὶ ὁμαλὴ, σμηγματώδης, διαλυτικὴ, λῦσαι, λεπτῦναι φλέγμα δυναμένη. Σιτίων μὲν ὦν ἁπάντων πτισάνη προκεκρίσθω· ἐν ἀρχῇ μὲν ἐς χυλὸν διηθημένη, ὡς τὸ στερεὸν αὐτέης διακεκρίσθαι, ξὺν μέλιτι πεποιημένη μοῦνον. Πτισάνης δὲ τὰ ξυνήθεα ἐς ἡδονὴν καὶ ποικιλίην φάρμακα ἀπέστω, νῦν γὰρ ἀρκεῖ ὁ χυλὸς μοῦνος. Ἱκανὴ μὲν ὑγρῆναι καὶ θερμῆναι· δυνατὴ δὲ λῦσαι φλέγμα καὶ σμῆξαι· ἄνω δὲ ἀνάγειν μὲν ἀπόνως, ὁκόσα ἀνάγεσθαι χρή· ὑπάγειν δὲ ῥηϊδίως τὴν κοιλίην. προςηνὲς δὲ τὸ λεῖον αὐτῆς καὶ ἐς κατάποσιν εὔκολον· ἀτὰρ καὶ τὸ γλίσχρασμα θερμασίας πρηΰνει, ὑμένας καθαίρει, πεπαίνει βῆχας, πάντα μαλθάσσει. αἵδε κριθῆς ἔασι ἀρεταί. Δευτέρην δὲ χώρην ἔχουσι οἱ χόνδροι, ὀλίγοισί τισι τῆς πτισάνης ἀγαθοῖσι καὶ αὐτοὶ ἄριστοι ἐόντες. τὸ γλίσχρασμα γὰρ, τὸ λεῖον, τὸ προςηνὲς ἐς κατάποσιν, ξυνόν· τὰ δὲ ἄλλα πάντα μείους. πεποιήσθωσαν δὲ καὶ οἵδε ἁπλοῖ, ξὺν μέλιτι μοῦνον. Ἀγαθοὶ δὲ καὶ τράγοι. κακίων δὲ ἐπ' αὐτῶν ὄρυζα, ξηρῆναι, τρηχῦναι, ἐπισχεῖν κάθαρσιν πλευρῶν μᾶλλον ἢ οὐρῆσαι. Ἄριστος δε καὶ ἄρτος ξηρὸς, κοπεὶς,

ξηρὰ, μύρῳ μαλθακῷ ταῦτα δεύσας, ὑποθυμίη: scio μύρον et ἔλαιον nostro interdum synonyma esse; sed quid ἔλαιον μαλθακὸν ξὺν ἀλείφατι θερμῷ. — Ipsum enim oleum ad ἀλείφατα conficienda adhibetur: cf. cap. 4. tum vero ἄλειφαρ παλαιὸν Aretaeo est ἔλαιον παλαιόν. — Praeterea vel grammatice tantum si rem spectem, miror ξὺν ἀλείφατι θερμῷ πηγάνου ἢ ἀνήθου ἀφεψήματος: haec enim ita coniugere vix licet. Itaque de loci corruptela certiores factos nos opinor: vellem equidem, ut de emendandi ratione certi quid haberem proferendum. — Pro ἔλαιον possis forte ἔριον reponere: sed fatendum vulgo plurali numero ἔρια apud nostrum et ceteros medicos Graecos legi: itaque conieci aliquando λάσιον, qua de re vid. Oecon. Hipp. in voce. Vellem fere ἐπὶ δὲ τῇ πλευρῇ καὶ λάσιον θέντα μαλθακὸν ξὺν ἀλείφατι θερμῷ μετὰ πηγάνου ἢ ἀνήθου ἐνεψηθέντος. — Sed nihil certi affirmare audeo; siquidem aliquid etiam intercidere potuit.

μετεξετέροισι δὲ καὶ τὸ ἄλγημα καὶ ἡ φλεγμασίη ἔξω ὤκειλε.] Libri καὶ ἡ φλεγμασίη ἐξώκειλε. Iam Petitus: « deest, inquit, adverbium ἔξω vel ἐς τὰ ἔξω, quod restituendum est. Ita enim legendum esse liquet e contextu." Possis omnino ἔξω ἐξώκειλε scribere: sed malui ἐξώκειλε in duas seiungere voces ἔξω ὤκειλε, quae lenissima, quae adhiberi possit, medela.

τὸ δέ ἐστι.] Vulgo τόδ' ἐστι, sed τόδε H. Pc.; una in O. τὸ δέ ἐστι receptum, quod exhibui. Possis etiam τόδε δ' ἐστί reponere.

τροφῆς δὲ νῦν, ὡς ἀμφὶ πάσης ἰητρείης ἔστω λόγος, ὡς μηδὲν ἐς ἁμαρτωλὴν ἴῃ.] Pro ἴῃ libri omnes εἴη. Nondum satis certo scio, num pro εἴη, quod vel modus optativus corruptum esse arguit, ἴῃ reponendum sit, an vero ἔῃ: maxime tamen arridet ἴῃ. — Nempe comparo ἰέναι εἰς φιλίαν, εἰς λόγους, similia alia.

σιτίων μὲν ὦν ἁπάντων πτισάνη προκεκρίσθω.] Procul dubio, quod alii dudum vere animadverterunt, nostro haec scribenti obversabatur locus ex Hipp. de Victu acut. § 10. mihi.

ξὺν μέλιτι πεποιημένη μοῦνον.] Vulgo πεπονημένη. H. V. ξὺν μέλιτι δὲ μοῦνον πεπονημένη. Sed H. in marg. πεποιημένη, quod in O. a Wigano est receptum. Infra πεποιήσθωσαν δὲ καὶ οἵδε ἁπλοῖ ξὺν μέλιτι μοῦνον libri omnes. — Itaque cum Wigano πεποιημένη h. l. scripsi. Quodsi tamen animum attendas ad seqq. πτισάνης δὲ τὰ ξυνήθεα ἐς ἡδόνην καὶ ποικιλίην φάρμακα ἀπέστω, loco nostro etiam πεποιαμένη scribi potuisse, est fatendum: sed minus hoc adaptatum iis, quae infra ponuntur.

δευτέρην δὲ χώρην ἔχουσι οἱ χόνδροι, ὀλίγοισί τισι τῆς πτισάνης ἀγαθοῖσι καὶ αὐτοὶ ἄριστοι ἐόντες.] Libri ὀλίγοισι τοῖσι πτισάνης ἀγαθοὶ καὶ ἄριστοι ἐόντες. — Ad τοῖσι Wiganus: « malim, inquit, τισι. Sic (117. 28.) φακοὶ, οἵγε ἔχουσι μέν τινας ἀρετὰς πέψιος." Exemplum tamen non satis ad h. l. accommodatum mihi videtur. Idem ad ἀγαθοὶ καί, adnotat: « ἀγαθοῖσι legendum existimo." Non credo καί delendum esse, sed αὐτοί pone hanc voculam interiisse: adeo ut reposuerim quod Aretaeus scripsisse videbatur.

ἀγαθοὶ δὲ καὶ τράγοι. κακίων δ' ἐπ' αὐτῶν ὄρυζα, ξηρῆναι, τρηχῦναι, ἐπισχεῖν κάθαρσιν πλευρῶν μᾶλλον ἢ οὐρῆσαι.] Pro ἐπισχεῖν vulgo ἐπίσχεσιν, H. ἐπίσχειν, quod receptum a Wigano: ego in ἐπισχεῖν mutavi propter praecedentia et seq. aor. οὐρῆσαι. Verum operae pretium est adponere, quae Wiganus ad h. l. adnotavit. « ἐπίσχειν, inquit. Ita legendum cum H. non ut in V. G. ἐπίσχεσιν. Haec facile intelligentur ex significatione οὐρῆσαι, quae vox Hippocratica non modo, *urinam reddere*, aut *urinam movere*, sed etiam *fluidum reddere*, *sero diluere*, *ad evacuationem* idoneum facere. Ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα εἰςέλθῃ, διεκίνησε καὶ διούρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος. (Hipp. de morb. I. p. 460. 43.) V. διοῤῥώσιος in Foësii Oecon., ubi διοῤῥοῦσθαι et διοροῦσθαι pro διουρέειν et διουρεῖσθαι a quibusdam legi monet." — Κάθαρσιν οὐρῆσαι h. l. omnino significare spu-

κρησέρῃ σεσησμένος, εὔκρητος, εὔπεπτος, ξὺν μελικρήτῳ διαρκὴς τροφή. Ἢν δὲ ἤδη μὲν προήκῃ ἡ νοῦσος, πρὸς δὲ τὰ σιτία ἀπηυδήκῃ ὥνθρωπος, πτισάνη μὲν ἐκ κριθῆς διδόσθω λείη, κάθεφθος. ἄνηθον δὲ ἔστω καὶ ἅλες πτισάνης τὰ ὄψα· καὶ ἔλαιον λεπτὸν, ἄποιον, ἄγλισχρον, ἀτρήχυντον. κρέσσον δὲ ξὺν τῇ πτισάνῃ, ὡς μὴ πολλὸν τοῦ ἐλαίου ἑψεῖν· καὶ γὰρ πῖον ἴσχει τὸ ῥόφημα, καὶ τὴν κακίην τὸ ἔλαιον ὄλλυσι· οὐδὲ γὰρ ἐμφανὲς ἔτι γίγνεται τῇ πολλῇ ἑψήσι ἐς τὸν χυλὸν ἀναποθέν. ἔστω δὲ καὶ πράσον ξὺν τῇ κόμῃ καὶ ἀμύγδαλα πικρὰ ξὺν τῷ χυλῷ ἑψόμενα· εὔπνοόν τε γὰρ καὶ φαρμακῶδες ὑπὸ τῶνδε γίγνεται· καὶ τὰ πράσα βρωθῆναι ὑπὸ τοῦ χυλοῦ, ὀνησίφορα καὶ ἥδιστα. Ἤδη δὲ καὶ ὠῶν καιρὸς εὐχύλων· ἢν δὲ ὑγρὴ καὶ πολλὴ ἀναγωγὴ ἔῃ, θείου τοῦ ἀπύρου ἐμπασσέσθω καὶ νίτρου· ἄριστον δὲ τῶν ἀρτιτόκων ὠῶν δοθῆναι ἐκ πυρὸς ἀπύρων· ἀπὸ γὰρ τῆς μήτρης ἡ θέρμη ὑγροτέρη μὲν πυρὸς, οἰκειοτέρη δὲ τῷ νοσέοντι, ὅκως ἐκ ζώου ζώῳ. Ἢν δὲ φλέγμα κολλῶδες ἔῃ καὶ γλίσχρον, ἐς τὰ ὠὰ ἔλαιον ἐγχέειν, καὶ ῥητίνης τῆς ξηρῆς, τῆς ἀπὸ πίτυος, ἐμπάσσειν, ὅκως τὸ θεῖον κρέσσον ἔῃ· καὶ τῆς ἀπὸ τερμίνθου δὲ, τήξαντα. Καὶ πέπερι ὀνηϊστὸν, καὶ ἐν ὠοῖς, καὶ ἐν πτισάνῃ, καὶ ἅπασι τοῖσι ἐδέσμασι· καὶ ὁκόσα πεπέρεϊ ξυνῳδά. Κρεῶν ἀκρόποδες ἐν χυλοῖσι τακεροὶ, πέλειαι, ἀλεκτορίδες ἐφθαί. συῶν ἐγκέφαλοι, ὀπτοὶ μὲν ξὺν τῷ ἐπιπλόῳ, ἄνευ δὲ τουτέου ἄκνισοι. Ἢν δὲ ἄκερχνος ἔῃ, δοτέον καὶ θαλασσίων, ἢ πετραίων, ὅ τι ἂν ἄριστον ἡ χώρη φέρῃ. Ὡς δὲ μὴ ἁμαρτάνῃ ἐπιθυμίῃ, μηδὲ σμύχηται τῇ λεπτῇ διαίτῃ ὁ νοσέων, χαρίζεσθαι ὀπώρης, μήλων ἐφθῶν ἐν ὕδατι ἢ μελικρήτῳ, ἢ στέατι ὀπτῶν· ἀφαιρέειν δὲ χρὴ τὸ λέπος καὶ τὰ ἐντὸς τρηχέα ξὺν τοῖσι σπέρμασι. ἐφ' ὥρης δὲ καὶ σύκων. ἀτὰρ καὶ τῆς ἄλλης δοτέον, ὁκόσον ἂν ῇ ἀβλαβὴς ἡ ὀπώρη, ἀλλὰ καὶ ὀνηϊστός. Ἀμφὶ μὲν ὦν τροφῆς, τάδε.

Ἐπὶ δὲ τῷ πλευρῷ κέεσθαι χρὴ ἔρια θυμιηθέντα θείῳ, λίπαϊ δεδευμένα, ἔνθα ἄνηθον ἥψηται, ἢ πήγανον. Ξυνεχὲς δὲ τουτέοισι τὸ πλευρὸν καταιονεῖν. ἠδὲ ἐπιπλάττειν πρὸ τῆς προσάρσιος· πρὸς δὲ τοῖσι ξυνήθεσι πλάσμασι, μελίλωτον ἑψηθὲν ξὺν μελικρήτῳ, ξυμμίσγοντα μήκωνος τῆς σαρκὸς ἐνηψημένης, καὶ μάννης ἄλητον ἐμπάσσειν.

torum excretionem facilem reddere ipsa sputa fluida efficiendo, indicat locus infra obvius: ἢν δὲ ὑγροτέρη ᾖ ἀναγωγὴ καὶ πολλή: — maxime vero antithesis ipso nostro loco obvia ξηρῆναι, τρηχῦναι, ἐπισχεῖν. — Ceterum olim τρηχῆναι edebatur: τρηχῦναι, quod Wig. etiam desiderat in adn., praebuit Pd.

ἐς τὸν χυλὸν ἀναποθέν.] Ἐς O. Pa. b. f. εἰς cett.

ἐκ πυρὸς ἀπύρων.] Huiusmodi facetias noster sectatur: iam supra notavi κρεῶν ἀκρέων: mox ἐκ ζώου ζώῳ.

ὅκως τὸ θεῖον κρέσσον ἔῃ.] Εἴη cett.; de meo ἔῃ exhibui.

συῶν ἐγκέφαλοι ὀπτοὶ μὲν ξὺν τῷ ἐπιπλόῳ, ἄνευ δὲ τουτέου ἄκνισοι.] Crassus: «porcorum cerebra cum omento quidem tosta, sine illo vero nidore vacantia.” Melius quam Wiganus, qui: «suis cerebrum cum omento tostum vel sine hoc nidoris expers.” Noster indicat cerebrum cum omento, fortasse ipso obvolutum, esse torrendum, sed hoc demendum esse, quando cerebrum comedendum datur. — Pa. b. f. ξύν praebent, σύν cett.

ἢν δὲ ἄκερχνος ἔῃ.] Sic O. Pa. c. ἢν δ' ἄκερχνος cett.

μηδὲ σμύχηται τῇ λεπτῇ διαίτῃ.] Vulgo μηδὲ σμήχηται ἐν τῇ λεπτῇ διαίτῃ. — Unus Pb. σμύχεται (sic). De meo ἐν omisi, quod frequenter apud nostrum otiose a librariis invectum est.

ἀφαιρέειν δὲ χρὴ τὸ λέπος καὶ τὰ ἐντὸς τρηχέα ξὺν τοῖσι σπέρμασι.] Legebatur τοῦ λέπεος καὶ τῶν ἐντὸς τρηχέων, sed requiritur accusativus, quum ista omnia sint demenda.

ἔνθα ἄνηθον ἥψηται ἢ πήγανον.] Cett. omnes ἕψηται. De meo ἥψηται repono.

πρὸς δὲ τοῖσι ξυνήθεσι πλάσμασι.] Sic V. O. Pa.: cett. omnes δέ perperam omittunt. Sed advertit πλάσμασι pro ἐπιπλάσμασι: videtur Aretaeus saepius simplicia pro compositis usurpare: iam observavimus bis aut ter τιθέναι pro ἐπιτιθέναι. — ἑψήθη et ἐζέσθη pro ἐνεψήθη et ἐνεζέσθη. — Mox bis πρὸ τῆς ἄρσιος, pro πρὸ τῆς προσάρσιος. Hoc quidem ipsum, paulo superius usurpavit, quo fit ut fere dubites, an non librariis illud ἄρσιος et nostrum πλάσμασι debeatur: verba vero illa simplicia omnino ab auctore sunt profecta. Ἐπιπλάσμασι h. l. desideravit Wiganus, qui tamen cett. non contulit.

Ἢν δὲ ὑγροτέρη ἡ ἀναγωγὴ καὶ πολλὴ, αἴρης ἄλητον, ἢ ἐρυσίμου, ξυμμίσγειν, καὶ νίτρον ἐμπάσσειν. Ἢν δὲ μῆκος ἤδη τῆς νούσου γίγνηται, καὶ τῆς ὀδύνης ἐγκεομένης καὶ ὑγρῆς καθάρσιος γιγνομένης, ἔμπυον μὲν ἐλπὶς τὸν ἄνθρωπον ἔσεσθαι· σίνηπι δὲ ξυμμίσγειν, καὶ κάχρυ, τοῖσι ἐπιπλάσμασι. ἢν δὲ καὶ ψυχρῶν τῶν τόπων ἔσωθεν τοῖσι κάμνουσι αἴσθησις γίγνηται, ὄξος παραχέειν. Χρὴ δὲ ἐνεργὸν ποιέεσθαι, ἐς πολλὸν τὴν θερμασίην τῶν ἐπιπλασμάτων διαρκέειν. κρέσσων γὰρ ἤδη καὶ ἡ θέρμη τῆς τῶν ἐπιπλασμάτων νεωχμώσιος. Ἔστωσαν ὦν θάλψιες ἐν κυρβασίῃσι διὰ ἁλῶν, κέγχρου, λίπαος θερμοῦ τοῦ ἐν κύστεσι. Κοῦφον δὲ ἔστω πᾶν μηχάνημα πυρίης, ὡς μὴ τὰ ἄχθεα πρὸς τῷ πόνῳ πόνον ἐνδιδῷ. Τοῖσδε μέντοι καὶ ἐπὶ τῇ τροφῇ χρέεσθαι, ἢν ξυνεπείγῃ τὸ ἄλγος.

Ἤδη δὲ ἐπὶ τοῖσδε καὶ σικύης καιρὸς γένοιτο. ἄριστος δὲ ὁ μετὰ ἑβδόμην· πρόσθεν δὲ μὴ ξυνεπειχθείης. οὐ γὰρ εὐήθεες αἱ νοῦσοι, ὁκόσαι πρὸ ἑβδόμης ἀπαιτέουσι σικύην. Ἔστω δὲ μεγάλη, εὐρεῖα πάντη, ἀμφισχεῖν τὸ ἀλγέον χωρίον ἱκανή. οὐ γὰρ εἴσω ἐνδιδοῖ τὸ ἄλγος, ἀλλ' εἰς εὖρος κέχυται. Ἔστω δὲ καὶ ἡ ὑπὸ τῇ σικύῃ φλὸξ πολλὴ, ὡς μὴ μοῦνον ἑλκύσαι, ἀλλὰ καὶ ἀλεῆναι πρὸ τῆς ἀποσβέσιος τοῦ πυρός. Καὶ μετὰ τὴν ἀπόσβεσιν σχάσαντα ἀφαιρέειν αἷμα, ὁκόσον ἂν ἡ δύναμις παρίῃ. Πολλὸν

σίνηπι δὲ ξυμμίσγειν καὶ κάχρυ τοῖσι ἐπιπλάσμασι.] Vulgo *κάγχρυς*: *κάγχρυ* H. V. Pa. *b. d.* *κάχρυ* Pc. *e. f.* Hoc recepi, quum Diosc. etiam *κάχρυς* et *κάχρυ* habeat III. 79. 80. — Item Theophrastus; vid. Ind. Schneideri.

χρὴ δὲ ἐνεργὸν ποιέεσθαι ἐς πολλὸν τὴν θερμασίην τῶν ἐπιπλασμάτων διαρκέειν.] Crassus: «illud autem efficere operae pretium est, ut cataplasmatum calor diu efficax permaneat." Wiganus: «oportet etiam cataplasmata valentia efficere, ut eorum calor diu remaneat." — Idem autem in adnn. ad *ἐς*: «Malim, inquit, *ὡς ἐς*. Aëtius, qui haec inter alia pleraque ex hoc capite excerpsit, ait, *Φροντιστέον δ' ὅπως θερμὰ διαμείνῃ τὰ καταπλάσματα.*" — Me iudice recte interpretatur Crassus, Wiganus contra a vero aberravit. Arctissime cohaeret *ἐνεργὸν ποιέεσθαι*, quod idem valet ac verbum *ἐνεργεῖν*. Itaque in Aëtii metaphrasi solum *Φροντιστέον* ponitur pro *χρὴ δὲ ἐνεργὸν ποιέεσθαι.*

κρέσσων γὰρ ἤδη καὶ ἡ θέρμη τῆς τῶν ἐπιπλασμάτων νεωχμώσιος.] In hisce Wiganus pro *ἤδη καί* desideravit, *καὶ ἧδε*: ipse in eandem incidi coniecturam, antequam editorem Anglum illam occupavisse videram, sed antea etiam in dubium eam vocare coeperam. Nimirum modo vim quandam agnoscamus in *ἡ*, ita ut articulum *δεικτικῶς* sumamus, quod nonnumquam apud Hipp. et Aretaeum etiam faciendum, omnia salva sunt: nam ipsa particula *ἤδη* minime inepte ponitur. — Libri omnes in scriptura nominis *νεωχμώσιος* consentiunt: infra noster *νεόχμωσιν* ponit libro seq. — Cf. Koen. ad Greg. Cor. p. 544.

ἔστωσαν ὦν θάλψιες ἐν κυρβασίῃσι διὰ ἁλῶν, κέγχρου, λίπαος θερμοῦ τοῦ ἐν κύστεσι.] Puto nostrum imitari pseudo-Hipp. lib. II. de m. mul. (p. 853. Ed. Kühn.): *ὁκόταν γυναικὶ ὁ μαζὸς τρηχὺς γένηται, στυβῆς (στοιβῆς?) καρπὸν, ἢ βάτου ἑψῆν (ἑψεῖν?) σὺν ὕδατι καὶ ἐλαίῳ, καὶ τοὺς μαζοὺς καταπλάσσειν καὶ τεύτλου φύλλα ἐπιῤῥίπτειν ἔπειτα ῥάψαι ἐς ῥάκος ὡς κυρβασίην, τεκμηρόμενος ὅσσον τὸν μαζὸν ἐκχωρήσῃ (χωρήσῃ) καὶ οὕτως ἐντιθέναι τὸν τιτθόν.* — Sed videndum de isto *διὰ ἁλῶν*, pro quo libri *διὰ εἰδῶν*: nempe Wiganus: «Quid hae voces, inquit, significent, haud intelligo. Certe legendum *διὰ ἁλῶν*. Ita sale cum milio utitur Hipp. pro fomento in Pleuriticis (de V. Acut.) *πυρίῃ δὲ ξηρῇ, ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν.* Aretaeus in Ileo utitur (105. 51.) *πυρίῃ ἁλῶν καὶ κέγχρων φωχθέντων.* In tetano (85. 44.) sale sed non milio: *ἅλες λεπτοὶ ἐν τῷ μαρσιπίῳ, κέγχρος γάρ κ. τ. λ.*" — In Latinis Wiganus illud *διὰ εἰδῶν* non expressit. Crassus mira quaedam posuit: «Proinde calefactiones in sacculis ex huiusmodi, ut pote ex milio fiant, aut ex calente oleo in vesica incluso." — Wiganus me iudice verum vidit. *Εἴδη* sunt, quas hodie etiam medici in formulis suis *species* appellant: monuit hac de re summus Hemsterh. ad Aristoph. Plutum p. 320: «*εἶδος*, inquit, interpretor *speciem odoratam*...... sic enim proprie *τὰ εἴδη* recentioribus sunt usitata, licet veteres latius extendant, omnemque mercium speciem sub eo vocabulo complectantur." cett. Sed hoc loco eiusmodi quid non est congruum.

ὡς μὴ τὰ ἄχθεα πρὸς τῷ πόνῳ πόνον ἐνδιδῷ.] Libri *ἐνδιδοῖ*: subiunctivum requirebam, quapropter *ἐνδιδῷ* scripsi. Illud *πρὸς τῷ πόνῳ πόνον ἐνδιδῷ* rursum poëticam formulam fere refert, qualis Sophoclea illa ex Niobe (vid. Poet. Scen. Gr. ed. Dindorf. p. 49. fragmentorum):

— καὶ πόνῳ πόνον
ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

καὶ μετὰ τὴν ἀπόσβεσιν σχάσαντα ἀφαιρέειν αἷμα, ὁκόσον ἂν ἡ δύναμις παρίῃ.] Libri *ἀποσχάσαντα* ferunt et *παρείῃ*. — Vix differunt inter se *ἀποσχάζειν* et *σχάζειν*: — compositum legis apud Hipp. in Progn. *οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἕς τ' ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι*; apud Gal. de Sanit. tuend. V. 12. *ἢ φλέβα τέμνοντα ἢ ἀποσχάζοντα τὰ σφυρά.* — Idem ad Glauconem II. 4. (p. 93. Kühn.) *οὕτω δὲ καὶ ἄλλο τι καὶ ἄλλο μέρος πεπονθὸς ἀποσχάζομεν.* — Sed h. l. non credo, Aretaeum *ἀποσχάσαντα* scripsisse, quum noster euphoniae consulere

δὲ ἔστω πλέον ἢ εἰ ἐπ' ἄλλης προφάσιος ἀπὸ τῶν ὑποχονδρίων ἀφαιρέοις αἷμα· ἐπιδηλοτάτη γὰρ ἐπὶ τῶν πλευριτικῶν ἡ ἀπὸ σικύης ὠφελείη. Ἅλες δὲ ἢ νίτρον ἐπὶ τῇσι σχάσεσι δηκτικὸν μὲν καὶ ἀλγεινὸν, ὑγιηρὸν δέ. Ἀλλὰ ξυντεκμαίρεσθαι τὰς δυνάμιας καὶ τοῦ ἀνθρώπου τὸν τρόπον. ἢν γὰρ ἀλκήεις τὴν ψυχὴν καὶ καρτερὸς ἔῃ, ἐμπάσσειν τῶν ἁλῶν, μὴ αὐτοῖσι τοῖσι ἕλκεσι, ὡς αὐτέων ψαύειν· τῇ δὲ ὀθόνῃ ἐπιπάσσειν, δεδευμένῃ τῷ λίπαϊ, ἠδὲ ἐπιπετάζειν τῷ χωρίῳ· οἱ γὰρ ἐκ τῆς ξυντήξιος ἰχῶρες τῶν ἁλῶν εἰσὶ ἀδηκτότεροι. πολλὸν δὲ τοῦ λίπαος καταιονεῖν χρὴ, ὅκως τῷ προςηνέϊ τοῦδε ἀμβλύνηται τὸ ἄλγος τῆς δήξιος. Δευτέρῃ δὲ ἡμέρῃ ἄριστον τὴν σικύην προςβάλλειν, ὡς ἐκ τῶν τρωμάτων ἕλκηταί τις λεπτὸς ἰχώρ. τόδε πολλὸν μὲν τῆς ἐπίπροσθεν σικύης ἀνυσιμώτερον, πολλὸν δὲ τῆς δυνάμιος φυλακτικώτερον· οὐ γὰρ αἷμα, ἡ τροφὴ, ἀλλὰ ἰχὼρ ἐκρέει. καὶ τόδε μέντοι, προευκρίνησας ἀμφὶ τῆς δυνάμιος, πρήσσειν. τῇ τρίτῃ δὲ κηρωτὴν ξὺν τῷ κυπρίνῳ καὶ πηγανίνῳ τιθέναι. Ἢν δὲ ἔτι καθάρσιος τὰ πτύαλα δέηται, τοῖσι κηρώμασι ῥητίνης ξυντήκειν, ἢ τοῦ θείου τοῦ ἀπύρου ξυμμίσγειν· καὶ αὖθις πυριῆν τὸ χωρίον. Τρόπος δὲ σικύης· ἔχειν ὧν χρὴ κεραμεοῦν κοῦφον, ἁρμόζον τῇ πλευρῇ, εὐρὺ, ἤ τι χάλκεον πρηνὲς ἐπὶ τὰ χείλεα ἀμφιθεῖναι τοῖσι ἀλγέουσι. Ὑποτιθέναι δὲ φλόγα μεγάλην ξὺν λίπαϊ, ὅκως ζῶσα ἐς πολλὸν διαρκέῃ χρόνον. μὴ περισφίγγειν δὲ τὰ χείλεα πρὸς τῇ σαρκὶ, ἀλλ' ἐς διαπνοὴν διαδοχή τις ἔστω, ὡς μὴ ἀποσβεσθέῃ τῇ πνιγί. ἐς πολλὸν δὲ ἐξάπτεσθαι ἔνι. ἡ γὰρ ἔνδον ἐκείνου θέρμη, ἄριστον μὲν πυρίημα, ἀγαθὴ δὲ πρόκλησις ἱδρώτων.

Χρὴ δὲ μήτε τὴν κάτω ἰητρείην ὑπερορῆν. ἀνδράσι μὲν ἐς τὸ ἔντερον πηγάνινον ἔλαιον ἐγχέοντα· γυναιξὶ δὲ, καὶ ἐς ὑστέρην. Διηνεκέα δὲ τὰ πινόμενα καὶ καταποτὰ ἔστω· μελίκρητον ξὺν τῷ πηγάνῳ, καὶ χυλῷ πτισάνης, ἢν ξυνεχὲς βήσσῃ, ὡς ἐν τρο-

soleat: librarios puto praepositionem superioris nominis ad verbum transtulisse. — Minime ferendum παρείη: omnino e παρίῃ ortum hoc.

πολλὸν δὲ ἔστω πλέον.] Πολλῷ Pb. δέ O. Pc. δ' cett. — Mox pro ἀφαιρέοις H. ἀφαιρέουσιν. Cett. ἀπ' ἄλλης προφάσιος; de coniectura repono ἐπ' ἄ. π.

ἅλες δὲ ἢ νίτρον ἐπὶ τῇσι σχάσεσι, δηκτικὸν μὲν καὶ ἀλγεινὸν, ὑγιηρὸν δέ.] Vulgo τοῖσι edebatur, sed O. ex V. τῇσι. — In Pa. b. c. e. itidem articulum fem. gen. inveni: adeo ut forte τοῖσι error typogr. sit. — Vulgo ὑγιεινόν, sed Pc. d. e. f. ὑγιηρόν, quod propter euphoniam omnino praestat.

τῇ δὲ ὀθόνῃ ἐπιπάσσειν δεδευμένῃ τῷ λίπαϊ, ἠδὲ ἐπιπετάζειν τῷ χωρίῳ.] Libri ἐπιπετάσειν. Pc. ἐπιπετάσεις. Restitui praesentis debitam formam. χώρῳ V. A. Pa. e.

ξυντήξιος.] Sic O. Pc. e. f. συντήξιος cett.

ὅκως τῷ προςηνέϊ τοῦδε ἀμβλύνηται τὸ ἄλγος τῆς δήξιος.] Libri omnes ἀμβλύνῃ: sed non memini me ἀμβλύνω intransitive sumtum videre. Aretaeus ἀμβλύνηται scripsit, vel totam periodum ita contexuit: ὅκως τὸ προςηνὲς τοῦδε ἀμβλύνῃ τὸ ἄλγος τῆς δήξιος.

οὐ γὰρ αἷμα ἡ τροφή; ἀλλὰ ἰχὼρ ἐκρέει.] Libri ἢ τροφή; quod et Crassus Latine expressit. — H. αἱ τροφαί. Verissime in O. ἡ τροφή reposuit Wiganus. — ἐκρέουσι H. itemque Pe.

καὶ τόδε μέντοι προευκρίνησας ἀμφὶ τῆς δυνάμιος πρήσσειν.] Imitari videtur Hipp. Aphorismum 24. I. ἐν τοῖσι ὀξέσι πάθεσι ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

ἢν δὲ ἔτι καθάρσιος τὰ πτύαλα δέηται.] Πτύελα V. G. v. l. Pa. b. — Wiganus e V. πτύελα scripsit: mihi forma Hippocrati etiam nonnumquam usurpata servanda videtur. In vetustissimis medicorum Coorum reliquiis πτύαλον et πτυαλισμός legis: in cod. vetustissimo Hipp. de V. A. πύαλος.

κηρωτὴν ξὺν τῷ κυπρίνῳ καὶ πηγανίνῳ τιθέναι.] Libri πηγάνῳ: repono πηγανίνῳ de coniectura Wigani et mea. Adposuit editor Anglus locum ex Aëtio (176. 1.) τῇ δὲ τρίτῃ μετὰ τὴν ἀφαίμαξιν, κηρωτὴν κυπρίνην ἢ πηγανίνην ἐπιτιθέναι ταῖς ἀμύχαις. Hinc coniicias, Aretaeum ἢ κυπρίνῳ scripsisse: interdum tamen talia coniungebantur.

καὶ αὖθις πυριῆν τὸ χωρίον. Τρόπος δὲ σικύης· ἔχειν ὧν χρὴ κ. τ. λ.] Libri dant καὶ αὖθις πυρίην τὸ χωρίον ἔχειν. ὡς τρόπος δὲ σικύης, ἔχειν ὧν χρὴ κ. τ. λ. — Mihi certo certius illud ἔχειν ὡς ortum videtur e vitiosa repetitione sequentis ἔχειν ὧν, quapropter delevi, πυρίην simul in usitatissimam Hippocrati et nostro Doricam infinitivi formam πυριῆν transformans. Sed fortasse malis: Ὁ τρόπος δὲ σικύης scribere; quod si praeferas, haud ego adversor.

ἤ τι χάλκεον.] Libri ἢ τὸ χάλκεον: sed parum apte articulus quadrat cum periodi initio ἔχειν ὧν χρὴ κ. τ. λ. —; quapropter τι de meo reposui.

ὡς μὴ ἀποσβεσθέῃ τῇ πνιγί.] Vulgo διασβεσθείη, sed ἀποσβεσθείῃ V. O. Pd. e. — Omnino in altera lect. διά e

φῇ φάρμακον. Ἢν δὲ μὴ τροφῆς καιρὸς ἔῃ, ἔστω δή τι καὶ τῶν ποικίλων· πικέριον ξὺν μέλιτι ἑψηθὲν ἐς σύστασιν· τὰς δὲ σφαίρας χρὴ, μέγεθος ὅσον κυάμου, στρογγύλας οὔσας διδόναι ὑπὸ τὴν γλῶτταν ἔχειν, διαφέροντα τῇδε κἀκεῖσε, ὡς μὴ καταποτὸν, ἀλλὰ τηκτὸν ἔῃ. Προςηνὲς δὲ καὶ τὸ διὰ τῆς μήκωνος ξὺν μέλιτι καὶ μελιλώτῳ φάρμακον, λεῖον καὶ ὑπνικόν. Τάδε μέντοι, καὶ πρὸ τῆς ἄρσιος, καὶ ἐπ' αὐτέῃ, καὶ ἐπὶ τῷ ὕπνῳ, διδόναι. Ἀσίτῳ δὲ τὰ φαρμακώδεα· κνίδης καὶ λίνου τοῦ σπέρματος, καὶ ἀμύλου, καὶ κώνου τοῦ κοκκάλου λείου, ἑκάστου κύαθον· καὶ ἀμυγδάλων τῶν πικρῶν πέντε καὶ εἴκοσι τὸν ἀριθμὸν, τοσούςδε καὶ πεπέριος κόκκους· φωχθέντα δὲ χρὴ λεῖα, μέλιτι ἐς ἂν ἔκλειγμα φυρῆν. τῶν δόσις μυστίλη μίη. Ἢν δὲ ὑγρὰ καὶ ἄπεπτα ἀνάγῃ, σμύρνης ὁλκῆς < δύο, κρόκου μίην, πεπέριος κόκκους δεκάπεντε, μέλιτος φυρῆναι λίτρᾳ μίῃ. τόδε μέντοι ἤδη τὸ φάρμακον καὶ πρὸ τῆς ἄρσιος δοτέον, μυστίλης ἥμισυ. ἀγαθὸν τόδε ἐπὶ τοῖσι χρονίζουσι, εὖτε καὶ ὀξύμελι διδόναι χρὴ, ἢν δύςπνοια ξυνεπείγῃ.

Ψυχρὸν δὲ ὕδωρ ὁκόσοι τῶν ἰητρῶν τοῖσι πλευριτικοῖσι ἔδοσαν, οὔτε ὁκοίῳ λόγῳ τῷ ξυμβαλέειν ἔχω, οὔτε τῇ πείρῃ πιστώσασθαι. Εἰ γάρ τινες ἀπὸ ψυχροῦ διηλλάξαντο τὸν κίνδυνον, οἵδε μοι οὐκ ἐδόκεον εἶναι πλευριτικοί. Ἀλλὰ καὶ τοῖσι παλαιοτέροισι ἰητροῖσι ἰδέη τις ξυνδρομῆς πλευρῖτις ἐκικλήσκετο, χολῆς ἔκκρισις ἐοῦσα ξὺν πόνῳ πλευροῦ ἐπὶ σμικρῷ πυρετῷ, ἢ καὶ ἄνευ πυρετοῦ. Τόδε μέντοι τὸ πάθος οὔνομα μὲν ἔσχε πλευρίτιδος, τὸ δὲ πρῆγμα οὐκ ἴσχει. Ἀλλὰ καὶ πνεῦμά κοτε, ξυνιστὰν ἐν πλευρῷ, δίψαν ἐνδιδοῖ καὶ ὀδύνην πονηρὴν, μαλθακήν τε θέρμην. καὶ τόδε ἐκάλεσαν ἄνδρες ἀΐδριες πλευρῖτιν. Ἐπὶ τῶνδε ὦν ὕδωρ ψυχρὸν ἄκος ἂν γίγνοιτο, εὐτυχίῃ τοῦ

διαρκέῃ, διαδοχή vicinis huic verbo adhaesit: sed modus optat. utriusque lectionis ferri nequit h. l., itaque ex ἀποσβεσθείη Ionicum ἀποσβεσθέῃ effeci.

τὰς δὲ σφαίρας χρὴ μέγεθος ὅσον κυάμου στρογγύλας οὔσας διδόναι.] Edi solet h. l. τὰς δὲ χρὴ σφαίρας μέγεθος κ. τ. λ., qui verborum ordo non ferendus: aptius collocantur voces in *Pa. b.*, quorum scripturam exhibui. — In proxime antecedentibus olim πινέριον edebatur: πικέριον H. V. G. v. l. *Pa. b. e. f.*; in *c. e.* glossa adscribitur μελίττωμα: errasse hunc interpretem vix est quod moneam.

λεῖον καὶ ὑπνικόν.] Ὑπνοτικόν *Pb.*

κνίδης καὶ λίνου τοῦ σπέρματος καὶ ἀμύλου καὶ κώνου τοῦ κοκκάλου λείου, ἑκάστου κύαθον.] Libri omnes καὶ κώνου τοῦ κοκκάλου λείου: apud Hipp. de V. acut. addit. spuriorum §. 30. κόκκαλος καὶ σμύρνα ἔκλεικτον. Ad quae verba Gal. in comm.: ὁ μὲν γὰρ κόκκαλος ὑπ' αὐτοῦ λελεγμένος οὐχ οὕτως, ἀλλὰ κῶνος. μᾶλλον ὑπὸ τῶν παλαιῶν ἑλλήνων ὠνομάζετο, καθάπερ ὑπὸ τῶν νεωτέρων ἰατρῶν σχεδὸν ἁπάντων στρόβιλος. — Diosc. στροβίλους appellat I. 88. — Ne e Galeni verbis efficias κώνου glossam esse in τοῦ κοκκάλου, adpono Dieuchis apud Oribasium verba a Schneidero in Lex. laudata: τοῦ κώνου τὸ κάρυον, ὃ καλοῦσι στρόβιλον. Noster κώνου τοῦ κοκκάλου simili modo dixit, ac λίνου τοῦ σπέρματος.

τοσούςδε καὶ πεπέριος κόκκους.] In τοσούςδε de meo mutavi, quod olim edebatur τόσοι δέ. Cett. κόκκοι.

ἐς ἂν ἔκλειγμα φυρῆν.] Ἔς τ' ἂν. ἐκλ. φ. H. — Scripseritne Aretaeus ἐς ἀνέκλειγμα φυρῆν, — decompositum ex ἀνά et ἐκ, et λείχω? — Exempla nunc non succurrunt. Wiganus pro ἂν coniecit ἕν. Fortasse vulgata bene habet.

ὁλκῆς < δύο.] < < β' H. < β' V. < < δύο *Pc. d. e. f.* Κρόκου μίη cett. nominativo.

κόκκους δεκάπεντε.] Κοκκία ιε' *Pa. b.* κόκκοι vulgo et mox μέλιτι: sed κόκκους praebent P. *c. d.* A. F. μέλιτος de meo dedi.

οὔτε ὁκοίῳ λόγῳ τῳ ξυμβαλέειν ἔχω.] Τῳ adscivi e *Pc. d. e. f.* — Cett. omittunt.

εἰ γάρ τινες ἀπὸ ψυχροῦ διηλλάξαντο τὸν κίνδυνον.] Τινες H. V. F. O. *Pc. d. e.* τινος cett.

ἀλλὰ καὶ τοῖσι παλαιοτέροισι ἰητροῖσι ἰδέη τις ξυνδρομῆς πλευρῖτις ἐκικλήσκετο, χολῆς ἔκκρισις ἐοῦσα ξὺν πόνῳ πλευροῦ ἐπὶ σμικρῷ πυρετῷ, ἢ καὶ ἄνευ πυρετοῦ.] Pro ἐοῦσα libri plurimi ἐών asterisco notatum: *Pb.* in margine ἐὸν, ἢ ἐούσης. — in *Pd.* nullum vitii signum adponitur. O. ex F. ἐοῦσα. — O. ἄνευ πυρετοῦ. Cett. ἄνευ πυρετῶν. Henysch. etiam πυρετοῦ. — Nomen ξυνδρομή empiricis familiare erat, teste Gal. ad Hipp. de victu acut. (p. 581. Ed. Kühn.) ποικιλλομένων οὖν τῶν κατὰ μέρος ἀῤῥώστων ἐν ταῖς εἰρημέναις διαφοραῖς οὐχ οἷόν τε κατὰ τὰς τῶν ἐμπειρικῶν ὀνομαζομένας συνδρομὰς ποιήσασθαι τὴν διδασκαλίαν. — Ceterum licet ea, quae Aëtius, Paulus, Coel. Aurel. Alex. Trall. de pleuritidis verae dignotione et de pleuritide notha habent, contulerim, nondum scio quos παλαιοτέρους noster spectet: neque enim respicit species tres pleuritidis, quas di-

χρεομένου· ἐσβέσθη μὲν γὰρ ἂν τὸ δίψος, ἡ δὲ χολὴ καὶ τὸ πνεῦμα ὑπηλάθη, καὶ διέπνευσε τὸ ἄλγος καὶ ἡ θέρμη. Ἐπὶ δὲ Φλεγμασίῃ πλευροῦ, καὶ τοῦ ὑπεζωκότος πρήσι, οὐ μόνον ὕδωρ ψυχρὸν, ἀλλὰ καὶ ἀναπνοὴ ψυχρὴ, κακόν.

Ἣν ὦν ἐκ τῆς πρόσθεν ἰητρείης περιγίγνωνται οἱ πλευριτικοὶ, ἔτι δὲ βραχέα βήσσωσι, καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἴσχῃ, σπεύδειν χρὴ διαλύειν τάδε. ἢ γὰρ ὑποστροφὰς ποιέει τὰ ἐγκαταλιμπανόμενα, ἢ ἐς ἐμπύησιν τρέπεται.

stinguit pseudo-Hipp. de Morbis II. (p. 251. seqq. Ed. Kühn.)

οὔνομα μὲν ἔσχε πλευρίτιδος, τὸ δὲ πρῆγμα οὐκ ἴσχει.] Ἔσχε e V. in O. receptum: omittunt cett.

ἐσβέσθη μὲν γὰρ ἂν τὸ δίψος.] Γάρ in libris non legitur. De meo particulam interposui.

ἢ γὰρ ὑποστροφὰς ποιέει τὰ ἐγκαταλιμπανόμενα ἢ ἐς ἐμπύησιν τρέπεται.] Haec rursus Hippocratis imitatorem nobis ostendunt: cf. Foës. Oecon. Hipp. in ἐγκαταλείπεσθαι, ubi ipsa verba nostri citantur.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

ΠΕΡΙ

ΟΞΕΩΝ ΝΟΥΣΩΝ ΘΕΡΑΠΕΥΤΙΚΟΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

ΘΕΡΑΠΕΙΑ ΠΕΡΙΠΝΕΥΜΟΝΙΗΣ.

Κεφ. α′.

Κάτοξυ καὶ ἐπίκαιρον κακὸν φλεγμασίη καὶ πρῆσις τοῦ πνεύμονος, ἐφ' οἷσι πνὶξ ὀλιγοχρονίη. Χρὴ ὦν ἀντίξοα, ἠδὲ ὠκέα ἔμμεναι τὰ ἀλεξήματα. Τάμνειν αὐτίκα τὰς ἐπ' ἀγκῶνι φλέβας, ἠδ' ἄμφω ἅμα ἐπὶ δεξιὰ καὶ ἀριστερὰ μᾶλλον, ἢ ἐκ μιῆς μέζονος, ὡς ἀφ' ἑκατέρης τῆς χώρης τοῦ πνεύμονος ἡ ἀντίσπασις τῶν ὑγρῶν ἔῃ. Μὴ μέσφι λειποθυμίης· προστιμωρέει γὰρ τῇ πνιγὶ ἡ λειποψυχίη. ἀλλὰ κὴν σμικρὸν ἀναπνεύσωσι, ἐπισχόντα χρὴ τὴν ῥοὴν αὖθις ἀφαιρέειν. Ἢν γὰρ ἐξ αἵματος αἱ προφάσιες ἔωσι, αὐτὴν τὴν αἰτίην ἡ φλεβοτομίη ἄγει· ἤν τε φλέγμα, ἢ ἀφρὸς, ἤ τι ἄλλο τῶν ὑγρῶν πρήσσῃ, αἱ τῶν φλεβῶν κενώσιες εὐρυτέρην τὴν τοῦ πνεύμονος ποιέουσι χώρην ἐς δίοδον τῆς ἀναπνοῆς.

Χρὴ δὲ καὶ κάτω ἄγειν ὑγρὰ καὶ φύσας, ἐπὶ μὲν φλεβοτομίης διαχρίοντα τὴν ἕδρην, νίτρῳ, μέλιτι, πηγάνῳ, ῥητίνῃ τῇ ἀπὸ τῆς τερμίνθου, τῇ ὑγρῇ. Ἀντὶ δὲ τῆς φλεβοτομίης, εἰ μέζων ἡ κώλυσις ἔοι, ὑποκλύζειν χυλῷ δριμέϊ, ἁλσὶ μὲν πρὸς τῷ νίτρῳ, ἡ ῥητίνη δὲ τῆς τερμίνθου ξὺν τῷ μέλιτι· πήγανον δὲ ἐν τῷ ἐλαίῳ καὶ ὕσσωπος ἐν τῷ ὕδατι ἑψηθέντα, καὶ κολοκύντης δὲ τῆς ἀγρίης αἱ σάρκες, αἱ εἴσω, ἑψηθεῖσαι ξὺν ὕδατι, ἄρισται.

Σίκυαι κοῦφαι ἐς τὰ μετάφρενα καὶ τὸν νῶτον, καὶ τὰ ὑποχόνδρια, πάντη ξύμφοροι. ἢν δέ πως ὁ θώρηξ εὔσαρκος ἔῃ, ὅκως μὴ ἀμφὶ τοῖσι ὀστέοισι τὸ δέρμα ἡ σικύη ἀμφιθλάσῃ ἐρείδουσα, καὶ τῷδε προςβάλλειν. Ἢν γὰρ πάντη τοῦ σώματος τά τε ὑγρὰ

Lib. II. Cap. 1. ἐφ' οἷσι πνὶξ ὀλιγοχρονίη.] Libri omnes ἐφ' οἷσι. Nolo mutare, licet referatur ad feminina φλεγμασίη καὶ πρῆσις.

ἠδὲ ὠκέα.] Sic Pa. b.; ἠδ' ὠκέα cett.

τάμνειν αὐτίκα τὰς ἐπ' ἀγκῶνι φλέβας, ἠδ' ἄμφω ἅμα ἐπὶ δεξιὰ καὶ ἀριστερὰ μᾶλλον ἢ ἐκ μιῆς μέζονος, ὡς ἀφ' ἑκατέρης τῆς χώρης τοῦ πνεύμονος ἡ ἀντίσπασις τῶν ὑγρῶν ἔῃ.] Pro ἠδ' ἄμφω in libris εἴτ' ἄμφω legitur, quod sensu cassum: reposui ἠδ' de coniectura mea et Wigani, qui in adnotatis «an ἠδέ?" quaerit. Crassus etiam vulgatam vidit. Pro πνεύμονος Pb. πνεύματος. — Ceterum notandum ἢ ἐκ μιῆς μέζονος, pro quo proprie ἢ μίην μέζονα ponendum fuisset: sed auctor, iam sequens ὡς ἀφ' ἑκατέρης τῆς χώρης τοῦ πνεύμονος ἡ ἀντίσπασις τῶν ὑγρῶν ἔῃ in mente habens, de prima structura quodammodo deflexit, quod eo facilius fecit, quod cum τῷ τάμνειν φλέβας arctissime cohaeret τὸ ἀφαιρέειν αἷμα.

αἱ τῶν φλεβῶν κενώσιες εὐρυτέρην τὴν τοῦ πνεύμονος ποιέουσι χώρην ἐς δίοδον τῆς ἀναπνοῆς.] Unum vocabulum, quod apud medicos antiquos frequenter obvium, haec eximie illustrat: hi nempe στενοχωρίην adesse in peripneumonia dicere solebant.

διαχρίοντα τὴν ἕδρην νίτρῳ.] Νίτρῳ h. l. Pb. Mox in verbis ἁλσὶ μὲν πρὸς τῷ νίτρῳ, Pe. f. νίτρῳ. Infra in νίτρον ξὺν ὑσσώπου ἑψήματι Pb. νίτρον. — Idem liber ἠδὲ πεπέριος καὶ νίτρου πλεῖον. — Cett. omnes λίτρῳ. λίτρον, λίτρου, quod in Edd. receptum omnes. — De hac fluctuatione, et quare forma per ν praeferenda mihi videatur, dixi ad Hipp. de Vict. ac. p. 116.

ἁλσὶ μὲν πρὸς τῷ νίτρῳ, ἡ ῥητίνη δὲ τῆς τερμίνθου ξὺν τῷ μέλιτι· πήγανον δὲ ἐν τῷ ἐλαίῳ.] In O. Wiganus recepit cod. H. lect. ἢ ῥητίνῃ δὲ τῆς τ., quod Petitus in comm. desiderare se significat. Me iudice ita non scripsit Aretaeus: vulgatum firmant seqq. πήγανον δὲ ἐν τῷ ἐλαίῳ, et καὶ κολοκύντης δὲ τῆς ἀγρίης αἱ σάρκες. — Tum vero dubito num ferri possit ἢ — δέ; nam καὶ — δέ frequentissimum, ἢ — δέ vix quid sibi velit intelligo.

ἢν δέ πως ὁ θώρηξ εὔσαρκος ἔῃ, ὅκως μὴ ἀμφὶ τοῖσι

ἐφέλκηται καὶ τὸ πνεῦμα ἔξω τιταίνηται, οἷσί περ ὁ πνεύμων πνίγεται, ἀνάπνευσις ἂν γίγνοιτο τοῦ κακοῦ. πάντη γὰρ πολιορκέειν χρὴ τὴν περιπνευμονίην.

Ἀτὰρ μηδὲ τῶν διὰ στόματος ὠφελούντων φαρμάκων ὑπερορῆν μηδέν. ἕλκει γὰρ ὁ πνεύμων καὶ ἐν ὑγείῃ ὑγρὸν, καὶ ἢν νοσῇ. φαρμάκων διδόναι ὧν, ὁκόσα λεπτύνει τὰ ὑγρὰ ἐς διαπνοὴν, ἠδὲ ὀλισθηρὰ καὶ εὔροα ἐς ἀναγωγὴν τεύξει. Πίνειν μὲν ἐς τάχος τῆς ὠφελείης νίτρον ξὺν ὑσσώπου ἑψήματι, ἢ ἅλμην ξὺν ὄξεϊ καὶ μέλιτι, ἢ σίνηπι ὑγρὸν ξὺν μελικρήτῳ. ἐμπάσσειν δὲ ἑκάστῳ καὶ τῆς ἴριδος τῆς ῥίζης, καὶ πεπέριος, εὔτολμον. ἀτὰρ καὶ τάδε ξηρὰ σήσαντα ξὺν μέλιτι διδόναι. Ἢν δὲ ἄϋπνοι ἔωσι δι' ἡμέρης, ἠδὲ ἐγρηγορῶσι πάννυχοι, δέος μὴ ὁ ἄνθρωπος μανῇ, καὶ ποικίλων φαρμάκων ὑπνωτικῶν χρέος, ἢν μή τι ἐνδιδῷ ἡ νοῦσος, ὅκως καὶ τὴν ταλαιπωρίην ὁ τῶν φαρμάκων καιρὸς εὐνάσῃ· τὰ πολλὰ γὰρ γίγνεται καρώδεα. ἢν δὲ ἐν ἀκμῇ τῆς πνιγὸς καὶ ὑπὸ τῷ ὀλέθρῳ φάρμακον διδῷς, θανάτου ἂν εἴης παρὰ τοῖσι δημότῃσι αἴτιος.

Χρὴ δὲ καὶ τὰ σιτία ἴκελα ἔμμεναι, δριμέα, λεπτὰ, διαλυτικὰ παχέος, σμηγματώδεα. λαχάνων, πράσον, ἢ κορωνόπους, ἢ κνίδη, ἢ κράμβη ἐν ὄξεϊ ἑψηθεῖσα. σιτηρῶν δὲ, πτισάνης ὁ χυλὸς, τῆς ὀριγάνου ἢ ὑσσώπου προςλαβὼν, ἠδὲ πεπέριος καὶ νίτρου πλεῖον ἀντὶ τῶν ἁλῶν· χόνδροι ξὺν μελικρήτῳ κάτεφθοι· ἄφυσα δὲ πάντα τῇ ἑψήσι ἔστω· κακὸν γὰρ περιπνευμονικοῖσι φῦσαι. Οἶνος ποτὸν, ἢν ἄπυροι ἔωσι, μὴ πολλόν τι τῆς στύψιος ἔχων· πυκνωτικὸν γὰρ σωμάτων ἡ στῦψις. χρὴ δὲ τουτέοισι ἀραιοῦν μὲν τὰ μέρεα μᾶλλον. Πολλὸν δὲ ἄγειν τὰ πτύελα. Τὸ ξύμπαν δὲ, ὀλίγον ἔστω ποτόν· πνεύμονος γὰρ τέγξις κακὸν, οὕνεκεν πνεύμων ἀπὸ στομάχου ἕλκει καὶ κοιλίης.

Θώρηξ δὲ ἐσκεπάσθω εἰρίοισι ξὺν λίπαϊ, καὶ νίτρῳ, ἢ ἁλσί. ἄριστον δὲ χρίσμα τὸ διὰ τῆς λιμνήστιδος, σίνηπι ξηρὸν ξὺν κηρωτῇ ὑγρῇ. Καὶ τὸ ξύμπαν ἔξω ἄγειν καὶ ὑγρὰ, καὶ θερμασίην, καὶ πνεῦμα. Ἀρήγει καὶ ὄσφρησις δριμέων· χρίσιες· ἄκρων δεσμοί. Τάδε μέντοι ποιέοντι ἢν μὴ εἴκῃ ἡ νοῦσος, ἀνέλπιστος ὁ ἄνθρωπος.

ὀστέοισι τὸ δέρμα ἡ σικύη ἀμφιθλάσῃ ἐρείδουσα, καὶ τῷδε προςβάλλειν.] Libri omnes ἀμφιθλάσοι: de meo mutavi. — Ceterum miror nonnihil illud ὅκως μὴ — ἀμφιθλάσῃ ἐρείδουσα, quod proprie significat, ὥςτε δέος μὴ εἶναι τὴν σικύην ἀμφὶ τοῖσι ὀστέοισι τὸ δέρμα ἀμφιθλάσειν ἐρείδουσαν. — Nescio an vulgata, quam tamen omnino ab auctore profectam esse arbitror, satis apposite ad linguae rationem respondeat.

ἀνάπνευσις ἂν γίγνοιτο τοῦ κακοῦ.] Ἀνάπαυσις Pb.

ἢν δὲ ἄϋπνοι ἔωσι δι' ἡμέρης, ἠδὲ ἐγρηγορῶσι πάννυχοι, δέος μὴ ὁ ἄνθρωπος μανῇ. καὶ ποικίλων φαρμάκων ὑπνωτικῶν χρέος, ἢν μή τι ἐνδιδῷ ἡ νοῦσος.] Illud ἐγρηγορῶσι πάννυχοι ad Homeri imitationem est expressum. Cf. Od. XX. 53. πάννυχον ἐγρήσσοντα. Ceterum fere exspectaveram: εὖτε καὶ ποικίλων φαρμάκων χρέος. Sed ferri potest vulgata; itaque nihil muto.

ὅκως καὶ τὴν ταλαιπωρίην ὁ τῶν φαρμάκων καιρὸς εὐνάσῃ.] Cum isto ταλαιπωρίην εὐνάζειν comparo Homericum τῆς δ' εὔνησε γόον ex Od. IV. 758. — Spectat ceterum noster verbis δέος μὴ ὁ ἄνθρωπος μανῇ transitum peripneumoniae in phrenitidem, de quo Hipp. Aph. 12. VII. ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

διαλυτικὰ παχέος.] Sic libri omnes: animus olim erat πάχεος scribere, sed puto παχέος a recto παχύ ferri posse.

ἢ κνίδη.] Miraris forsitan τὴν κνίδην ad τὰ λάχανα referri. Gal. de febrium diff. I. 4. ἐδέσματα μὲν οὖν, inquit, λέγω μοχθηρὰ τά τε φύσει τοιαῦτα; καθάπερ κρόμμυά τε καὶ σκόροδα καὶ κάρδαμα καὶ πράσα καὶ κράμβας, ὤκιμά τε καὶ ἀκαλήφας, ὅσα τ' ἄλλα καλοῦσιν ἄγρια, καθάπερ καὶ τὰς λαψάνας παρ' ἡμῖν. — De virtutibus, quas antiqui τῇ κνίδῃ tribuebant, vide Dioscor. IV. 62.

σιτηρῶν δὲ πτισάνης ὁ χυλός.] Libri αὐστηρῶν: in O. ex F. σιτηρῶν, quod itidem Crassus legit: «inter frumentacea vero ptisanae cremor."

κάτεφθοι.] Κάτεφθοι Pa. b. c. e. f. — Sitne hoc magis Ionicum? — Cett. κάθεφθοι.

ἄφυσα δὲ πάντα τῇ ἑψήσι ἔστω.] Libri ἐν τῇ ἑψήσι, quod me offendit: non in ipsa coctione ἄφυσα sint oportet, sed τῇ ἑψήσι evadant, vel ἐκ τῆς ἑψήσιος. Itaque otiosum ἐν, ut aliis locis plurimis apud nostrum, delevi. Cap. seq. ὠὰ ἑψήσι παχέα.

τὸ ξύμπαν δὲ ὀλίγον ἔστω ποτόν· πνεύμονος γὰρ τέγ-

ΘΕΡΑΠΕΙΑ ΑΙΜΑΤΟΣ ΑΝΑΓΩΓΗΣ.

Κεφ. β′.

Πᾶσαι ἰδέαι ἀναγωγῆς αἵματος οὐκ εὐήθεες, οὐ τοῦ τρόπου μοῦνον, ἢν ἐκ ῥήξιος, ἢ διαβρώσιος, ἀλλὰ κἢν ἀραίωσις φέρῃ. οὐδ᾽ ἢν ἀπὸ θώρηκος, ἢ πνεύμονος, ἢ στομάχου, ἢ ἥπατος, τῶν κινδυνωδέων· ἀλλὰ κἢν ἀπὸ κεφαλῆς, ἡ ἀσινεστέρη. Αἵματος γὰρ ἡ φορή. αἷμα δὲ πάντων τροφὴ, πάντων δὲ θέρμη, πάντων δὲ χροιή. Καὶ φοβερὸν μὲν ἰδεῖν διὰ στόματος ὀκωςοῦν ῥέον.. κακὸν δὲ, ἤν γε ἀπὸ σπλάγχνου καιρίου· κάκιον δὲ, ἢν ἐκ ῥήξιος καὶ διαβρώσιος.

Χρὴ ὦν τὸν ἰητρὸν τοῦ πάθεος ξυνεπείγειν μᾶλλον ἀρήγοντα. καὶ πρῶτον μὲν ψυχρότερον αἱρέεσθαι ἠέρα ἐς ἀναπνοήν. σηκὸν ἐπίπεδον, κλίνην ἑδραίην, ὅκως μηδὲν σείηται· ἐρεθιστικὸν γὰρ αἱ σείσιες. κοίτη δὲ στερεὴ, μὴ κάρτα εἴκουσα μηδὲ βαθείη, ἄθερμος. Ὄρθιον δὲ τὸ σχῆμα· ἡσυχίη λαλιῆς, ἠδὲ ἀκουσμάτων· ψυχῆς ἀταραξίη, εὐθυμίη· πάγχυ δὲ τοῖσι τοιουτέοισι ξυνομαρτέει δυςελπιστίη· τίς γὰρ ἐμέων αἷμα θάνατον οὐκ ὀῤῥωδέει;

Ἢν ὦν πολύαιμοι καὶ ἐπίφλεβοι ἔωσι, ἐπὶ πάσῃ ἰδέῃ ἀναγωγῆς τάμνειν φλέβα· ἤν τε γὰρ ἐκ ῥήξιος, ἢ διαβρώσιος, εὐάρμοστος φλεβοτομίη· ἤν τε ἐπ᾽ ἀραιώσι, δέος μὴ ἀποῤῥήξῃ τὸ πλῆθος. Τάμνειν δὲ τὴν ἐπ᾽ ἀγκῶνι κοίλην. εὔροόν τε γὰρ τὸ αἷμα τῆςδε, καὶ κατασχάζεσθαι ῥηϊδίη, καὶ ἐς πλεῦνας ἡμέρας ῥέειν ἀσινέως εὔστομος. ἐπὶ πᾶσι δὲ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν καιρίων σπλάγχνων ὁδὸς ἥδε αἵματος. ἡ δὲ ἀνωτέρη τῆςδε, καὶ ἥδε, ἀποσχίδες ἔασι μιῆς, τῆς ἀπὸ τοῦ βραχίονος, ἄμφω· ὥστε οὐδὲν μέζον ἡ ἀνωτέρω τῆς μέσης ἐς ὄνησιν ἴσχει· αἴδριες γὰρ τῶν ἀποσχισίων, ὁκόσοι στομάχῳ καὶ ἥπατι ξυνῆψαν τὴν ἄνω. Ἢν δὲ ἀπὸ σπληνὸς ῥέῃ, τάμνειν τῆς ἀριστερῆς

ξις κακὸν, οὕνεκεν πνεύμων ἀπὸ στομάχου ἕλκει καὶ κοιλίης.] Videmus hoc praeceptum rursus spectare ad metum, ne στενοχωρία maior fiat.

καὶ νίτρῳ ἢ ἀλσί.] Νίτρῳ Pb. — λίτρῳ cett.

τὸ διὰ τῆς λιμνήστιδος.] Sic Pf. λημνίστιδος cett.

Cap. 2. Πᾶσαι ἰδέαι ἀναγωγῆς αἵματος οὐκ εὐήθεες, οὐ τοῦ τρόπου μοῦνον, ἢν ἐκ ῥήξιος, ἢ διαβρώσιος, ἀλλὰ κἢν ἀραίωσις φέρῃ· οὐδ᾽ ἢν ἀπὸ θώρηκος, ἢ πνεύμονος, ἢ στομάχου, ἢ ἥπατος, τῶν κινδυνωδέων, ἀλλὰ κἢν ἀπὸ κεφαλῆς, ἡ ἀσινεστέρη.] Libri πᾶσαι δὲ ἐξ ἀναγωγῆς αἵματος, οὐκ εὐήθεες. — Crassus: «omnes sanguinis effusiones haud mite vitium sunt.” — Petitus: «deëst, inquit, vox φοραί.” Mihi neque φοραί adposuisse videtur auctor, neque exempla, quibus coniecturam probare studet Petitus, quidquam huic rei conferre. — Wiganus: «Videtur, inquit, hic deficere αἱ νοῦσοι. Aretaeus (92. 18.) inquit, οὐ γὰρ εὐήθεες αἱ νοῦσοι.” — Neque αἱ νοῦσοι, neque φοραί posuit Aretaeus: αἱ νοῦσοι scribere non potuit, quia non agit de morbis ἐξ ἀναγωγῆς αἵματος, sed de ipsa ἀναγωγῇ: neque vero πᾶσαι ἐξ ἀναγωγῆς αἵματος φοραί scripsit, quia ipsa ἀναγωγή est φορὴ αἵματος, ita ut ineptum sit ἐξ ἀναγωγῆς αἵματος φοραί. — Itaque dedi πᾶσαι ἰδέαι ἀναγωγῆς αἵματος. Mox enim: ἐπὶ πάσῃ ἰδέῃ ἀναγωγῆς τάμνειν φλέβα. — Et vero potuit, puto, πᾶσαι ἰδέαι ἀναγωγῆς in πᾶσαι δὲ ἐξ ἀναγωγῆς librariorum inscitia et incuria abire. — Porro pro ῥήξιος H. Pc. d. e. f. τήξιος, in Pc. tamen ῥ a correctore: pro ἡ ἀσινεστέρη Pb. c. ἣ ἀσινεστέρη.

κακὸν δὲ ἤν γε ἀπὸ σπλάγχνου καιρίου, κάκιον δὲ ἢν ἐκ ῥήξιος καὶ διαβρώσιος.] Libri κακὸν δὲ ἤν τε ἀπὸ σπλάγχνου καιρίου. Equidem quid illud τε sibi velit eo loco non intelligo: me iudice ἤν γε scripsit Aretaeus, quod reponendum censui. Pro ῥήξιος H. Pc. συντήξιος Pa. b. et c. in marg. τήξιος.

τοῖσι τοιουτέοισι ξυνομαρτέει δυςελπιστίη.] Sic Pa. b.; τοῖσι τουτέοισι vulgo.

ἡ δὲ ἀνωτέρη τῆςδε καὶ ἥδε ἀποσχίδες ἔασι μιῆς τῆς ἀπὸ τοῦ βραχίονος ἄμφω· ὥστε οὐδὲν μέζον ἡ ἀνωτέρω τῆς μέσης ἐς ὄνησιν ἴσχει· αἴδριες γὰρ τῶν ἀποσχισίων, ὁκόσοι στομάχῳ καὶ ἥπατι ξυνῆψαν τὴν ἄνω.] Vulgo ὥςτε οὐδένα μέζον ἢ ἀνωτέρω τῆς μέζης. Vitia sublata sunt in O.: nempe Wigano οὐδέν F. praebuit: μέζων H. — Mox vulgo ὅσοι στομάχῳ, at ὁκόσοι H. V. Po. — στομάχου Pa. b. — καὶ ἥπατος Pb.

ἢν δὲ ἀπὸ σπληνὸς ῥέῃ, τάμνειν τῆς ἀριστερῆς χει-

χειρὸς τὴν μέσην δακτύλων μικροῦ τε καὶ παραμέσου. τήνδε γὰρ τῶν ἰητρῶν μετεξέτεροι δοκέουσι ἐπὶ σπλῆνα κραίνειν· ἀτὰρ καὶ ἥδε τῶν ἐπ' ἀγκῶνι τῆς κάτω ἐστὶ ἡ ἀπόσχισις. τί ὦν πλέον εἰ πρὸς τοῖσι δακτύλοισι, καὶ μὴ ἐπ' ἀγκῶνι, τάμνοι τις αὐτέην; μέζων γὰρ τῆδε, καὶ εὔροος. Τὸ ξύμπαν μὲν ὦν πρόσω λειποθυμίης ἐπίσχειν. ἀτὰρ μηδὲ πολλὸν ἀφαιρέειν· ἱκανὴ γὰρ καὶ ἡ αἱμοῤῥαγίη γυιῶσαι τὸν ἄνθρωπον. ξυνεχὲς δὲ καὶ ἀπὸ σμικρῆς ἀφαιρέσιος ἐπαφαιρέειν, καὶ αὐτῆμαρ, καὶ τῆς ὑστεραίης, καὶ ἐπὶ τῆς ἄλλης ὑστέρης. Ἢν δὲ ὁ ἀσθενέων ἰσχνὸς καὶ λείφαιμος ἔῃ, μὴ τάμνειν φλέβα. Τάδε μὲν ὦν ἀμφὶ ἀφαιρέσιος αἵματος.

Ἀρήγειν δὲ καὶ δεσμοῖσι ἄκροις, ποδῶν μὲν, ὑπὲρ σφυρὰ καὶ γούνατα· χειρῶν δὲ, ὑπὲρ καρπὸν καὶ βραχίονα· ταινίῃ πλατείῃ, ὅκως ἡ διάσφιγξις κραταιὴ μὲν ᾖ, ἄλγος δὲ μὴ φέρῃ. Τοῖσι δὲ αἱμοῤῥαγέουσι χωρίοισι ἐπιβάλλειν χρὴ ἔρια μὲν πινόεντα οἰσύπῳ ἀπὸ τῆς οἶος. τέγγειν δὲ χυμῷ, οἴνῳ αὐστηρῷ, καὶ ῥοδίνῳ ἢ μυρσίνῳ λίπαϊ. Ἢν δὲ

ρὸς τὴν μέσην δακτύλων μικροῦ τε καὶ παραμέσου. τήνδε γὰρ τῶν ἰητρῶν μετεξέτεροι δοκέουσι ἐπὶ σπλῆνα κραίνειν· ἀτὰρ καὶ ἥδε τῶν ἐπ' ἀγκῶνι τῆς κάτω ἐστὶ ἡ ἀπόσχισις. τί ὦν πλέον εἰ πρὸς τοῖσι δακτύλοισι, καὶ μὴ ἐπ' ἀγκῶνι, τάμνοι τις αὐτέην; μέζων γὰρ τῆδε καὶ εὔροος.] De initio huius periodi mox sum dicturus; sed antea de iis, quae sub finem obviam veniunt, monebo. Libri ferunt: ... ἡ ἀπόσχισις τῇ ὦν πλέονι πρὸς τρισὶ (τοῖσι M. O.) δακτύλοις (δακτύλοισι Pe. f.) καὶ μὴ ἐπ' ἀγκῶνι (ἀγκῶνος H.) τάμνοι (τάμνει V.) τις αὐτέην, μείζων κ. τ. λ. — Wiganus ad τῇ ὦν πλέονι: «Haud recte, inquit, haec se habere manifestum est; sed quomodo apte restitui possint, licet sensum mihi assecutus videar, non coniicio." Petitus: «Mendosa, inquit, lectio haec, quam sic emendo: τί ὦν πλέον εἰ πρὸς τοῖσι δακτύλοις, cet." Egregie igitur hic locum restituit, adeo ut quivis facile videat eius emendationem recipiendam esse. — Iam vero redeo ad initium huius sententiae. — Pro ἢν δὲ ἀπὸ πνεύμονος ῥέῃ, quae librorum Graecorum est lectio, Crassus Latine: «sin a liene sanguis fertur." Unde σπληνός pro vulgato πνεύμονος reposui. — Petitus: «Et male hic, inquit, πνεύμονος pro σπληνός legitur: de incisione enim eius venulae, quae inter minimum digitum et medium, qui Graecis παράμεσος dicitur, sinistrae manus sita est, loquitur: quam spleni vacuando, non autem pulmoni dicatam esse ex Paulo Aegin., Avicenna et aliis discimus, sed maxime ex Aëtio, qui Tetrab. I. 3. c. 15. ita scribit: «quod si splen patiatur, venam inter annularem et parvum digitum manus seca, aut in cubito internam." Antequam meam de hoc loco sententiam aperiam, adponam Wigani adnotationem ad verba ἢν δὲ ἀπὸ πνεύμονος: «Multa, inquit, hic periisse suspicor: siquidem nihil hic de curatione eorum praecipiat Aretaeus, quibus sanguis ex pectore, stomacho, aut liene, aut alio viscere fertur; cum multa de his dignoscendis in signorum descriptione tradidit. Porro haec, quae contra sinistrae manus venam inter digitos secandam disputat, eam incidi solere in profusione sanguinis e liene declarant. Huius in affectu hoc sectionem praecipit Oribasius (med. collect. VII. 5.) Aetiusque (Tet. 2. serm. 4. c. 62.)" — Haec illi! — Equidem a Wigano dissentio, ubi hic plura periisse arbitratur, quibus Aretaeus docuerit, quomodo curandi sint, quibus ex variis visceribus, aut pectore sanguis eiiciatur. Nempe totus locus, a verbis inde ἢν ὦν πολύαιμοι usque ad τάδε μὲν ὦν ἀμφὶ ἀφαιρέσιος αἵματος, de venae sectione agit: itaque in iis, quae periisse credit Wiganus, itidem hac de re sermo fuisse deberet. Verum Aretaeus docet, ex una vena in cubiti cavo in omni sanguinis reiectione hunc humorem esse detrahendum, quum haec vena sit ἐπὶ πᾶσι πάντων τῶν καιρίων σπλάγχνων ὁδὸς αἵματος. Itaque profecto peculiaria monita de curatione sanguinis e singulis visceribus reiecti venae sectionis ope non tradidit. — Crasso igitur duce, et Petito etiam suadente, σπληνός pro πνεύμονος reposui; necdum tamen omnis loci difficultas sublata videtur. Noster verbis ἀΐδριες γὰρ τῶν ἀποσχισίων, ὁκόσοι στομάχῳ καὶ ἥπατι ξυνῆψαν τὴν ἄνω, itemque infra obviis τί ὦν πλέον εἰ πρὸς τοῖσι δακτύλοισι καὶ μὴ ἐπ' ἀγκῶνι τάμνοι τις αὐτέην; adversus Archigenem, ni fallor, disputat. Nam apud Aëtium fol. 170. verso in fine legis: Ἀρχιγένους. Ὅσαι δὲ ἀπὸ στομάχου ἢ τῆς γαστρὸς ἀναγωγαὶ τοῦ αἵματος, ἐμετώδεις εἰσὶ, τέμνειν οὖν χρὴ τὴν ἐν ἀγκῶνι τὴν ἄνω φλέβα ὠμιαίαν καλουμένην, κἂν ἐξ ἥπατος ᾖ τὸ εἰς αὐτὴν συῤῥέον. εἰ δὲ ἀπὸ σπληνὸς εἴη τὸ αἷμα, ὅπερ διαγνώσεις ἐκ τοῦ συνεδρεύοντος περὶ τὸν σπλῆνα ὄγκου, τὴν μεταξὺ μικροῦ καὶ παραμέσου δακτύλου τῆς ἀριστερᾶς χειρὸς φλέβα τέμνων καλῶς καὶ οἰκείως βοηθήσεις. Palam est Aretaeum adversus Archigenem, aliosve qui eodem modo statuant, disserere. Sed iam miror eius monitum ἢν δὲ ἀπὸ σπληνὸς ῥέῃ, τάμνειν τῆς ἀριστερῆς χειρὸς τὴν μέσην δακτύλων μικροῦ τε καὶ παραμέσου, quippe quod mox ineptum esse docet verbis τί ὦν πλέον κ. τ. λ. — Quid igitur? Aut ex vulgari medicorum sui aevi opinione illud praeceptum tradit, cui fidem non adhibendam esse mox docet; aut locus vitio laborat. Et vero potius exspectaveram: ἀΐδριες γὰρ τῶν ἀποσχισίων, ὁκόσοι στομάχῳ καὶ ἥπατι ξυνῆψαν τὴν ἄνω· ἢν δὲ ἀπὸ σπληνὸς ῥέῃ, ἐκέλευσαν τάμνειν κ. τ. λ. — Nimirum ita magis aperte significasset auctor, se non quid sibi, sed quid aliis videatur, exponere. Procul tamen absum ut affirmare audeam id scripsisse Aretaeum.

τὸ ξύμπαν μὲν ὦν πρόσω λειποθυμίης ἐπίσχειν. ἀτὰρ μηδὲ πολλὸν ἀφαιρέειν.] Μέν in Pb. omittitur. Libri dant ἐπισχεῖν, quod in ἐπίσχειν transformavi propter seq. ἀφαιρέειν.

δεσμοῖσι ἄκροις.] Vulgo δεσμοῖς: Ionismum praebent O. Pc. d.

ὑπὲρ σφυρά.] Ἐπὶ σφυρά. Pa. b.

τέγγειν δὲ χυμῷ, οἴνῳ αὐστηρῷ κ. τ. λ.] Χυλῷ Pd.: sed λ a correctore, uti videtur.

ξυνεπείγῃ ἡ αἱμοῤῥαγίη, ἀντὶ μὲν τῶν ἐρίων σπόγγοισι χρέεσθαι, ὄξεϊ δὲ, ἀντὶ τοῦ οἴνου. ὑπαλειφέσθω δὲ μυρσίνῳ τὸ χωρίον· ἐπιπάσσειν δὲ τοῖσι σπόγγοισι τῆς ἀκακίης, ἢ ὑποκυστίδος, ξηρῶν τῶν χυλῶν, ἢ καὶ ἀλόης· ἄριστον δὲ καὶ τὸ ὀμφάκιον ὄξεϊ λυθέν. Ἢν δὲ ἡ τέγξις ἄσηρον ᾖ καὶ δύςφορον, ἐμπλάστροισι χρέεσθαι. καὶ γὰρ τὸ δέρμα περιτείνουσι, καὶ οἷον τῇ χειρὶ κρατέουσι. ἀτὰρ καὶ αἱ δυνάμιες αὐτέων στῦψαι καὶ ξηρῆναι δυνατώταται. Μυρίαι δὲ καὶ ἄλλοισι ἄλλαι πείρῃ ἔασι πισταί· ἄρισται δὲ, ὁκόσαι ὄξος ἴσχουσι, καὶ ἰτέης φύλλων χυλὸν, ἠδὲ καὶ ἄσφαλτον, καὶ ἰὸν, καὶ στυπτηρίην, καὶ λιβανωτὸν, καὶ σμύρνην, καὶ χαλκὸν, καὶ κεκαυμένον καὶ λεπίδα, καὶ ὁκόσα τοιάδε ἐπὶ τοῖσι ἐμπλάστροισι· ἢ εἴρια τὰ πινόεντα, ἢ οἱ σπόγγοι ἐς βραχὺ δευθέντες ὄξεος. Ἢν δὲ τὴν τάνυσιν τῶν ἐμπλάστρων μὴ φέρωσι, ἐπίθεμα ποιέειν. φοίνικες οἱ πίονες ἐν οἴνῳ μέλανι αὐστηρῷ δευθέντες ἐς μᾶζαν τρίβονται, ἔπειτα ἀκακίη ἐμπάσσεται λείη καὶ σίδια· ἐγχρισθέντα δὲ ἐς τρύχιον κατὰ τοῦ θώρηκος τίθεται. Ἄλφιτα οἴνῳ, ἢ ὄξεϊ δευθέντα, ἠδὲ φακῆς ἄλητον λεπτὸν, κρησέρῃ σεσησμένον, κηρωτῇ ξὺν ῥοδίνῳ μύρῳ ἀναλαμβάνοντα τιθέναι· μίσγειν δὲ καὶ συμφύτου τῆς ῥίζης σεσησμένης. Ἄλλο. ϐραβύλων ἀγρίων ῥίζας ἑψεῖν ἐν ὄξεϊ καὶ τρίψαντα ἐς μᾶζαν, παραμίσγειν ῥοὸς, καὶ κόμμιος, καὶ μυρσίνης βραχύ. Τῶνδε μέντοι γε ἄλλα ἄλλοισι ξυμμίσγειν, ὅκως ἂν ἰσχύος τῆς τῶν φαρμάκων καὶ προςηνείης καὶ ὀσμῆς δέηται· χρὴ γὰρ καὶ τοῖσι κάμνουσι χαρίσασθαι. Τάδε μὲν ἐκτὸς θετὰ ἄκη.

Ἡ δὲ τῶνδε καιριωτέρη ἴησις ἐν τοῖσι ποτοῖσι καὶ καταπότοισι κέεται, ὡς ἄγχιστα τῶν τετρωμένων ἔῃ τὰ φάρμακα. Τρισσὴ δὲ τουτέων ἡ ἰδέη· ἢ τοὺς ὀχετοὺς τοῦ ῥόου δῆσαι, ξυναγωγῇ καὶ πιέσι τῶν ἀγγείων· ἢ τὸ ῥέον παχῦναί τε καὶ πῆξαι, ὡς μὴ διαῤῥέῃ, κἢν παραπέμπωσι οἱ ὀχετοί· ἢ ξηρῆναι τὰς ἐφόδους πρὸς ἕδρην τὴν ἀρχαίην τὸ αἷμα στήσαντα, ὅκως μὴ τῇ ἐπιῤῥοῇ κενεόμενοι οἱ χῶροι προςμένωσι, πλημμυρέωσι δὲ ἔνθα ἡ ξύνδοσις. Ἐπὶ μὲν τῆς ἀραιώσιος τῶν φλεβῶν ἡ στύψις ἀρκέει· διαῤῥέει γὰρ,

ἐπιπάσσειν δὲ τοῖσι σπόγγοισι.] Ita verissime Wiganus emendavit in adnn. librorum lect.: *ἐπὶ πᾶσι δὲ τοῖσι σπόγγοισι.*

ἐμπλάστροισι χρέεσθαι.] Ἐμπλάστοισι Pe. *f.*

στῦψαι καὶ ξηρῆναι.] Vulgo *ψῦξαι καὶ ξηρῆναι.* At *στῦψαι* O. H. V. G. v. l. Pa. *b. c. e. f.*

μυρίαι δὲ καὶ ἄλλοισι ἄλλαι πείρῃ ἔασι πισταί.] *Καί* abest e P*d.*

καὶ χαλκὸν, καὶ κεκαυμένον καὶ λεπίδα, καὶ ὁκόσα τοιάδε ἐπὶ τοῖσι ἐμπλάστροισι.] Vulgo *καί* ante *κεκαυμένον* abest; cum Wigano ex H. recepi. Nempe *καὶ κεκαυμένον καὶ λεπίδα* per appositionem utrumque ad *χαλκόν* pertinet. — Porro *ὁκόσαι τοιαίδε* vulgo legitur: equidem praefero *ὁκόσα τοιάδε* e H., Pc. a corr., *f.*: nam iungo: *ἄρισται δὲ ὁκόσαι ὄξος ἴσχουσι .... καὶ ὁκόσα τοιάδε*, nempe *ἴσχουσι.* — Non nego tamen alterum etiam ferri et defendi posse.

ἢ εἴρια τὰ πινόεντα ἢ οἱ σπόγγοι ἐς ϐραχὺ δευθέντες ὄξεος.] Vulgo *ἔρια*, sed *εἴρια* Ionice (Herodotus enim hanc formam habet) Pc. *e.* — Articulus *τά* in Pa. non legitur. Vulgo *ἐν ϐραχέϊ δευθέντες ὄξεϊ*: sed H. Pc. *d. e. f.* *ἐς ϐραχύ*, quod recipiendum censui, ita ut pro *ὄξεϊ* genitivum exhiberem.

φακῆς ἄλητον λεπτόν.] Ἄλητον O. P*b.* *ἄλιτον* cett.

κηρωτῇ ξὺν ῥοδίνῳ μύρῳ ἀναλαμβάνοντα τιθέναι.] Vulgo: *κηρωτῇ ῥοδίνῳ μύρῳ ἀ. τ.* — V. *ἢ μύρῳ* habet. Crassus et Wiganus: «cerato ex unguento rosaceo" Latine. — Equidem supplevi *ξύν*, quod excidisse arbitror.

ϐραβύλων.] *Βραβίλων* H. V. Pa. *b. c. d.* *ῥαβίλων* Pe. *f.* *ῥαβύλων* A. Videndus erit de his Salmas. in Homonymis Hyles Iatr. Proleg. p. 21.

καὶ ὀσμῆς.] *Ὀσμήσιος* libri omnes: forma suspecta Schneidero in Lex. mihi non ferenda visa est. — Cap. de sign. Hystericae suffocationis *ὀσμήσεσι* libri, ubi vide, quae adnotavi.

καταπότοισι.] Sic Po.: *καταποτοῖσι* edi solet. Puto accentum ponendum, quemadmodum ferunt codd. scripti; docet analogia cum compositis similibus.

ὡς ἄγχιστα τῶν τετρωμένων ἔῃ τὰ φάρμακα.] Εἴη dant libri. De meo subiunctivum reposui.

ἢ τοὺς ὀχετοὺς τοῦ ῥόου δῆσαι.] Ῥόος V. A. P*b.* *στῆσαι* H.

ἢ ξηρῆναι τὰς ἐφόδους πρὸς ἕδρην τὴν ἀρχαίην τὸ αἷμα στήσαντα, ὅκως μὴ τῇ ἐπιῤῥοῇ κενεόμενοι οἱ χῶροι προςμένωσι, πλημμυρέωσι δὲ ἔνθα ἡ ξύνδοσις.] Libri omnes *προςμενέωσι*, Pe. *f.* adeo *πρὸς μὲν ἔωσι.* Tum vero *πλημμυρῶσι.* — Itaque Ionismum ad locum, quorsum re ipsa pertinet, retuli. — Ceterum ut nostri verba recte accipiantur tenendum eum tres locos sibi fingere:

ὡς ὑδρεῖον νέον δευθὲν, τῇσι ἀραιώσεσι. Ἀτὰρ ἠδὲ ἐπὶ τῇσι διαιρέσεσι στύψις μὲν ἡ ἰητρείη ἐς τὴν ξυναγωγὴν τῶν χειλέων· μέζοσι δὲ, καὶ δυνατωτέροισι, τοῖσι Φαρμάκοισι χρέεσθαι. Ἢν δὲ ὁ τῆς διαβρώσιος ἔῃ τρόπος, καὶ μὴ ξυνάγηται ὑπὸ τῆς στύψιος τοῦ ἕλκεος τὰ χείλεα, σεσήρῃ δὲ τὸ τρῶμα, ἀξύμβατον ἐκ τῆς διαθλίψιος ἐὸν, πάγον χρὴ τοῦ αἵματος, ἀτὰρ ἠδὲ τῆς θέρμης, ποιέειν· ἀκινησίῃ γὰρ τῶνδε καὶ πήξι ἵσταται ὁ ῥόος. Ὀξύκρητον μὲν ὦν τοῖσι ἀραιοῖσι ἱκανὸν ἐς στύψιν· οὐδὲ γὰρ οὐδὲ αἷμα ἄκρητόν ἐστι τὸ ῥέον, ἀλλὰ τοῦδε ἰχὼρ διὰ σμικρῶν τῶν στομίων. καὶ τοῦδε οὐ πολλοῦ, οὐδὲ πολλάκις, χρέος. μετεξετέροισι δὲ καὶ ἡ ἔξωθεν ἰητρείη, ἀτὰρ καὶ Φοινίκων ἢ κερατίων ἐδωδίμων ἕψημα ποθὲν, μοῦνον ἤρκεσε. ἔστω δὲ τὸ ὄξος οἴνων μὲν τῶν στυφόντων τῷ γένεϊ, εἰ μὴ Φαρμακείῃ γε, ἀλλὰ τῷ χρόνῳ δριμύ τε καὶ στῦφον. Ἐπὶ δὲ τῇσι διαστάσεσι τῶν τρωμάτων πρὸς τῷ ὀξυκρήτῳ ἔστω Φάρμακα, ἁπλᾶ τὴν πρώτην, ἀρνογλώσσου χυλὸς, ἢ πολυγόνου, ἢ σέριδος, ἑκάστου μοίρῃ, πρὸς τῷ ὀξυκρήτῳ. Ἢν δὲ ἐπὶ μᾶλλον ῥέῃ, ὑποκυστίδος, ἢ ἀκακίης ξηρῶν ἐμπάσσειν, ἐς γ' κυάθους τοῦ ὀξυκρήτου, ὁλκῆς τῶνδε δραχμὴν μίην. ἄριστος δὲ καὶ χυλὸς ὄμφακος. Ἢν δὲ κρέσσων ἡ ξυμφορὴ τῶνδε γίγνηται, κηκίδα λείην καὶ βάτου ῥίζην ξηρὴν, καὶ λίθον τὴν ἐξ ἁλὸς λείην ξηρὴν ἐμπάσσειν: δυνατώτερον δὲ τῶνδε τὸ ῥῆον ἐμψῦξαι, ξηρῆναι, στῦψαι, τὰ πάντα ποιῆσαι· ἀτὰρ καὶ τόδε ξὺν τῷ ὀξυκρήτῳ μούνῳ. Ἢν δὲ μεζόνων ἀρήγειν

unum unde sanguis effluat, alterum illi vicinum quorsum feratur, antequam exeat per primum illum; denique tertium longius remotum, unde ad priorem utrumque adfluat. — Locus ille vicinus vulneri v. c. *κενοῦται* ipsa haemorrhagia: in hunc *κενεόμενον* e tertio novus adfluit. Sin non adfluat, minus per primum effluet; hoc ipsum autem faciendum praecipit, ut in tertio illo sanguis contineatur.

ἐπὶ μὲν τῆς ἀραιώσιος τῶν Φλεβῶν ἡ στύψις ἀρκέει· διαῤῥέει γὰρ ὡς ὑδρεῖον νέον δευθὲν τῇσι ἀραιώσεσι.] Ante omnia moneo, me initio huius periodi pro solo *μέν* potius *μὲν ὦν* exspectavisse. — Sed praeterea *δευθέν* coniectura est Petiti ad vulgatum in libris omnibus *οὐθέν* haec adnotantis: « Apparet vocem *οὐθέν* corruptam esse, cum sententiae minus congruat. Pro ea igitur legerem, *δευθέν*, quod valet *irrigatum*, *madefactum*. Venam enim ita rarefactam, ut per tunicam sanguinem transfluere sinat, comparat situlae novae, quae aqua impletur, ut mos est, ut humore imbuatur: nam initio diffluit, postea, ubi aquam imbibit, eam continet. Sumta autem ea similitudo est ab Hipp., qui in libro de internis affectionibus eadem utitur: *ὥςπερ ὑδρεῖον νέον διαπηδᾷ, παλαιότερον στέγει· οὕτω καὶ ἡ γαστὴρ δέχει τὴν τροφὴν καὶ ὑποσταθμὴν ἴσχει, ὥςπερ ἀγγεῖον.*" Haec Petitus. — Crassus: « ceu situla nova imbecilla." Wiganus *οὐδέν* Latine non expressit, sed neque in adnn. hac de re monet. — Locus, quem Petitus ex pseudo-Hipp. adponit, legitur in lib. *περὶ χυμῶν* p. 129., et a Foësio in Oecon. voce *ὑδρεῖον* est traductus.

στύψις μὲν ἡ ἰητρείη.] Sic O. ex H. idem praebent Pc. *d. f.* Vulgo ἡ abest.

δυνατωτέροισι τοῖσι Φαρμάκοισι.] Sic O. Pc. *d. e. f.* *Φαρμάκοις* cett.

σεσήρῃ δὲ τὸ τρῶμα.] Illud *σεσηρέναι* Hippocraticum est vocabulum ductum e lib. spurio *περὶ ἀγμῶν* p. 119. Kühnio: *τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρὸς καὶ ἐκπεπλιγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν.* — Cf. Foës. Oecon. in *σεσηρός*. Littré, vol. III. p. 523.

κερατίων ἐδωδίμων.] *Κεράτων* vulgo: sed *κερατίων* O. ex F.

εἰ μὴ Φαρμακείῃ γε, ἀλλὰ τῷ χρόνῳ δριμύ τε καὶ στῦφον.] Vulgo *εἰ μὴ Φαρμακίῃ δὲ, ἀλλὰ κ. τ. λ.* — *Φαρμακείῃ* ferunt Po.; sed de meo pro *δέ*, quod huic loco parum adaptatum iudicabam, reposui *γέ*.

ἢν δὲ ἐπὶ μᾶλλον ῥέῃ.] *Δέ* O. Pc. *δ'* cett.

ὁλκῆς τῶνδε δραχμὴν μίην.] *Τῶνδε* de meo scripsi, ut ad *ὑποκυστίδος, ἢ ἀκακίης ξηρῶν* referrem. Libri *τῆδε*. — Wiganus *τῆςδε* desideravit.

ἢν δὲ κρέσσων ἡ ξυμφορὴ τῶνδε γίγνηται.] Libri *ἢν δὲ κρέσσον ἡ ξυμφορὴ τῷδε γίγνηται.* Iam Petitus *κρέσσων* desideravit; sed etiam *τῶνδε* requiritur; nam significat *ἢν ἡ ξυμφορὴ κρέσσων γίγνηται τῶνδε τῶν Φαρμάκων*, — quos nempe mox enumeraverat.

ῥίζην ξηρήν.] Sic Pc. *e. f.* *ῥίζαν* cett. — Iam ad Hipp. de V. A. olim p. 160. adposui *δίαιτα, διαίτη*, — *γλῶσσα, γλώσση*, — *δίψα, δίψη*, — His accedant *ῥίζα, ῥίζη*, — *ἕδρα, ἕδρη*, — *μοῖρα, μοίρη*. — *πεῖρα, πείρη*.

καὶ λίθον τὴν ἐξ ἁλὸς λείην ξηρὴν ἐμπάσσειν. δυνατώτερον δὲ τῶνδε τὸ ῥῆον ἐμψῦξαι, ξηρῆναι, στῦψαι, τὰ πάντα ποιῆσαι· ἀτὰρ καὶ τόδε ξὺν τῷ ὀξυκρήτῳ μούνῳ.] Libri: *καὶ λίθον τὴν* (*τὸν* H.) *ἐξ ἁλὸς κουράλλιον λείην, ξηρὴν ἐμπάσσειν. δυνατωτέρη δὲ τῶνδε τὸ ῥίον* (*ῥῆον* H. O. et Pb. a corr.) *ἡ ῥίζα ἐμψῦξαι, ξηρῆναι, στῦψαι, τὰ πάντα ποιῆσαι· ἀτὰρ καὶ ἥδε ξὺν τῷ ὀξυκρήτῳ μούνῳ.* Equidem et *κουράλλιον*, et *ἡ ῥίζα*, tanquam glossemata eieci et in postremo membro igitur omnia neutro genere ad *τὸ ῥῆον* retuli. — Quisque veterum *ῥᾶ*, s. *ῥῆον*, radicem esse novit: itaque sciolus *ἡ ῥίζα* interposuit, nomen scilicet illustrans! — *Κουράλλιον* vero inepte interponitur, Aretaeus periphrasi illud denotat, sed nomen ipse non adposuit. — Paulus Aeg.: fol. 111. ed. Ald.: *κοράλλιον; ὥςπερ δενδρῶδές ἐστι Φυτὸν ἀπο-*

χρέος, τοῖσι χυλοῖσι τῆς σέριδος, ξὺν ἀρνογλώσσῳ, τῆς ῥίζης ἐμπάσσειν ὁλκῆς τριώβολον, ἐς κυάθους τοῦ ὑγροῦ τρεῖς ἢ τέσσαρας. Ἐπὶ δὲ τῇσι διαβρώσεσι, τότε ὅλως ἐν ἐκείνῃ στύψιν ἐμποιέειν, ἐς πάγον τοῦ διαῤῥέοντος αἵματος· καὶ τοῖσι δεχομένοισι, ὅκως ἀπὸ πολλοῦ τοῦ τρώματος μύωσι αἱ φλέβες. Ἀλλὰ καὶ τὰ πινόμενα ἔστω κραταιὰ, δυνατὰ ποιῆσαι πάγον. χυλὸν ὦν κοριάνου ξὺν ὄξεϊ, ἠδὲ λαγοῦ τάμισος, ἢ νεβροῦ, ἢ ἐρίφου· μὴ πολλὸν δὲ διδόναι· ἔκτεινε γάρ κοτε τουτέων τι τῷ πλήθεϊ· ἀλλὰ τοῦ μὲν χυλοῦ τοῦ κοριάνου μὴ μεῖον μὲν ἡμικυάθου ἐς τρεῖς τοῦ ὀξυκρήτου, τῆς δὲ ταμίσου ὀβολοὶ μὲν τρεῖς, τὸ δὲ πλεῖστον ὀβολοὶ δ'. Ἐς δὲ τὰ τοιάδε εἴδεα τῆς φορῆς καὶ γῆ ἀρίστη Σαμία, καὶ Ἐρετριὰς, καὶ ἀστὴρ κάρτα λευκὸς, καὶ Σινῶπις, καὶ ἡ σφραγὶς ἡ Λημνίη. Τουτέων δὲ ὁλκὴ σταθμοῦ τὸ μεῖον > α'· τρεῖς δὲ τὸ πλεῖστον· ξύν τινι τῶν ἑψημάτων, φοινίκων, ἢ κερατίων ἐδωδίμων ἢ ῥιζῶν βάτου. Ἢν δὲ τρηχύνηται ἡ ἀρτηρίη, καὶ ἐπὶ τῷδε βήσσῃ, σιραίῳ τῷ Κρητικῷ ἐμπάσσειν τάδε. ἄριστον ἐς λείωσιν ἀρτηρίης καὶ ἄμυλος ξὺν τοῖσι δευθείς· ξὺν γὰρ τῷ λείῳ καὶ τὸ παγερὸν ἴσχει. Ἢν μὲν ὦν ξυνεπείγῃ ἡ φορὴ, ἅπαξ τῆς ἡμέρης, πρὸ τῆς προςάρσιος, δοτέον. ἢν δὲ μὴ, καὶ δὶς καὶ τρίτον ἐς τὴν ἑσπέρην. Ἐκ δὲ τῶν φαρμάκων καὶ κατάποτα ποιέειν ξηρῶν, ἐν μέλιτι ἑφθῷ ἐς ξύστασιν· κηκὶς λείη· ἄριστον δὲ καὶ ῥόος ἐς τὰ ὄψα, γίγαρτα, καὶ ὁ ὀξυλαπάθου καρπὸς, καὶ ἰδίῃ ἑκάστου, καὶ ξυνῇ. τάδε μέντοι καὶ ὑπὸ τῇ γλώσσῃ ἔχειν, ἐς τὸ διηνεκὲς τῆς ξυντήξιος· ἀτὰρ καὶ κόμμι ξὺν τῷ ξυμφύτῳ, καὶ τράγου τῆς ἀκάνθης τὸ δάκρυον. Ποικίλων δὲ φαρμάκων μυρίη μὲν ἡ

λιθούμενον, οὐκ ἐν χέρσῳ φυόμενον, ἀλλ' ἐν τῷ πέλματι τῆς θαλάσσης. — Diosc. V. 138.: τὸ δὲ κοράλλιον, ὅπερ ἔνιοι λιθόδενδρον ἐκάλεσαν, δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον, στεῤῥοποιεῖσθαι δὲ, ὅταν ἐκ τοῦ βυθοῦ ἑλκυσθῇ ἔξαλον γινόμενον, καὶ βαπτόμενον ἤτοι πηγνύμενον ὥςπερ ὑπὲρ τοῦ περικεχυμένου ἡμῖν ἀέρος. — Nolo tamen haec Diosc. verba ita citare, ut non simul de iis moneam. Puto Sprengelium egregie βάπτεσθαι illustrare adposito ἡ βαφὴ τοῦ σιδήρου: sed quamquam ἤτοι πηγνύμενον in omnibus Edd. adesse, et a solo Saraceno omitti dicat, procul absum, ut hoc non tanquam glossema eiiciendum censeam. Docet me nempe vel ordo verborum turbatus; nam Dioscoridem dedisse opinor: στεῤῥοποιεῖσθαι δὲ, ὅταν ἐκ τοῦ βυθοῦ ἑλκυσθῇ, ἔξαλον γενόμενον καὶ ὥςπερ βαπτόμενον ὑπὸ τοῦ περικεχυμένου ἡμῖν ἀέρος.

ἐπὶ δὲ τῇσι διαβρώσεσι, τότε ὅλως ἐν ἐκείνῃ στύψιν ἐμποιέειν κ. τ. λ.] Ἐν κείνῃ Pe. f. — Sed advertit loci structura quodammodo ἀνακόλουθος, et in qua pleonasmus simul inest. Potuisset ἐπὶ δὲ τῇσι διαβρώσεσι στύψιν ἐμποιέειν scribere: sed de hac structura deflectens et τότε, et ἐν ἐκείνῃ, intulit, ita ut in hocce a plur. num. ad singularem transiret.

λαγοῦ τάμισος.] Θαμισὸς in plurimis Edd. — ταμισὸς O. H. V. Pc. τάμισος Pd. e. f. In nonnullis codd. Parr. glossa ἤγουν πυτία. — Nomen in libris Hipp. spuriis etiam legitur, cf. Foës. Oecon. in voce.

μὴ μεῖον μὲν ἡμικυάθου.] Olim ἡμικύαθον edebatur: recte genitivum Wiganus exhibuit e cod. H.: eundem praebent Pc. d. e. f.

ἡ σφραγὶς ἡ Λημνίη.] Sic H. O., item Pd. e. f.; cett. articulum ante σφραγίς omittunt.

κερατίων ἐδωδίμων.] Κεράτων H. V. A. Pa. c. d. e. f.

ἢ ῥιζῶν βάτου.] Cett. βάτων: de meo sing. num. revocavi, librarii praecedente ῥιζῶν, plur. num. etiam ad seq. vocabulum transtulere.

σιραίῳ τῷ Κρητικῷ.] Sic O. ex H.; cett. τῷ κρήτι.

ἄριστον ἐς λείωσιν ἀρτηρίης καὶ ἄμυλος.] Ἄριστος vulgo: ἄριστον H. V. A. O. Pa. e.

κατάποτα ποιέειν.] Sic Pc.; καταποτά cett.

ἐς ξύστασιν.] Sic Pe. f.; ἐς σύστασιν cett.

ἄριστον δὲ καὶ ῥόος ἐς τὰ ὄψα, γίγαρτα κ. τ. λ.] Tum h. l., tum infra in verbis θύμβρη ἁλσὶ ἡδυνθεῖσα, ῥόος, ἐπίπασμα. Libri omnes ferunt ῥοός. Nimirum, quum genitivus ῥοός apud nostrum saepius sit obvium, librarii ῥοός his locis etiam scripserunt, quasi nominativi forma esset Ionica; qua in re accentu peccarunt, nam ῥοῦς Ionice ῥόος. Cf. Lobeck ad Phryn. p. 454.

καὶ ὁ ὀξυλαπάθου καρπός.] Sic vulgo legitur: verum in O. ad cod. H. fidem ὁ omissum est: abest etiam articulus in Pc. — Ego autem non aegre fero adponi.

τάδε μέντοι καὶ ὑπὸ τῇ γλώσσῃ ἔχειν, ἐς τὸ διηνεκὲς τῆς ξυντήξιος.] Eiusmodi remedia ὑπογλωσσίδες dicuntur: exempla invenies apud Gal. de comp. med. sec. locos. VII. 2. (vol. XIII. p. 51. Kühnio.)

ἀτὰρ καὶ κόμμι ξὺν τῷ ξυμφύτῳ καὶ τράγου τῆς ἀκάνθης τὸ δάκρυον.] Vulgo: ἀτὰρ καὶ κόμμι ξὺν τῷ φυτῷ καὶ πράδον (τράγου F. O.) τῆς ἀκάνθης τὸ δάκρυον. — Crassus etiam: «gummi cum planta.” Verum hoc ξὺν τῷ φυτῷ corruptum esse quivis videt et dudum viderunt Petitus et Wig., qui ambo in eandem inciderunt emendationem, quam recepi. Hic: «certe, inquit, legendum κόμμι ξὺν τῷ ξυμφύτῳ. Librarii, quid Symphytum esset ignorantes, ξύν vel ξυμ inanem repetitionem esse crediderunt. Extra dubium hoc ponit Aëtius haec habens, ἄμυλον διδόσθω, κόμμι, τραγάκανθα. — καὶ

πείρη, ποικίλαι δὲ αἱ χρήσιες, τροχίσκων, τοῦ διὰ τῆς Αἰγυπτίας ἀκάνθης, καὶ ἑτέρου τοῦ διὰ ἠλέκτρου, καὶ ἄλλου τοῦ κροκώδεος, ὧν ἡ σκευασίη ἰδίῃ λέλεκται.

Ἄνευ μὲν ὧν πυρετῶν ἅπαντα τολμέειν ἐπὶ τοῖσι Φαρμάκοισι, καὶ πολλὰ καὶ πολλάκις διδόντα. Ἢν δὲ ἐπιπυρεταίνωσι, — τὰ πολλὰ δὲ ἐπὶ τῇσι Φλεγμασίῃσι τῶν τρωμάτων γίγνονται πυρετοὶ, — μήτε ἀθρόον ἴσχειν τὴν Φορὴν, μήτε ἐν τοῖσι παροξυσμοῖσι Φάρμακα πιπίσκειν· πολλοὶ γὰρ ὑπὸ πυρετῶν θᾶσσον ὄλλυνται, ἢ ὑπὸ τῆς τοῦ αἵματος Φορῆς.

ΤροΦαὶ ποικίλαι καὶ τὴν ἰδέην ὁκοῖα τὰ Φάρμακα. ἀτὰρ καὶ τὰ Φάρμακα ἐν τροΦῇ· οὔτε γὰρ ἐπὶ μιῇ μούνῃ ἅπαντα εὑρεῖν τὰ τροΦῆς ἀγαθὰ εὔπορον, οὔτε, ἢν μὲν οὖν μούνη ἐς ἰητρείην ἀρκέῃ, μιῇ μούνῃ χρέεσθαι, διὰ τὸν κόρον, ῥηΐδιον· καὶ γὰρ καὶ τὰ ποικίλα εἴκειν, εἰ δὴ ἀπὸ χρόνιον γίγνεται. Ἔστω ὦν στύΦουσα καὶ ἐς δύναμιν ψύχουσα, ἀτὰρ ἠδὲ ἐς θίξιν· θέρμη γὰρ αἵματος πρόκλησις. Χόνδροι πλυτοί· ὄρυζα ἐς ὀξύκρητον· ἢν δὲ τὸ ὄξος βῆχας ἐμποιέῃ, Φοινίκων ἕψημα· ἄρτος ὀπτὸς, κατάξηρος, κοπεὶς, ἠδὲ καὶ ἐς ἄλητον σεσησμένος. Ἐκ πάντων ὦν ῥόΦημα ξὺν λίπαϊ, θύμ-

τὸ σύμΦυτον μασσόμενον (immo μασώμενον E.) καὶ καταπινόμενον [173. 3.]." — Pro communi τραγακάνθης, noster Ionice τράγου τῆς ἀκάνθης.

μυρίη μὲν ἡ πείρη, ποικίλαι δὲ αἱ χρήσιες.] Pro αἱ quod Pc. d. f. mihi praebuerunt, vulgo καί edi solet. — Propter concinnitatem membrorum αἱ praetuli.

καὶ ἑτέρου τοῦ δι' ἠλέκτρου, καὶ ἄλλου τοῦ κροκώδεος, ὧν ἡ σκευασίη ἰδίῃ λέλεκται.] Pro ἑτέρου τοῦ, quod O. Pc. d. e. f. ferunt, vulgo ἑτέρου solum. Tum vero pro ὧν, quod de mea et Wigani coniectura exhibeo, libri omnes ὡς. — Videmus illum respicere libros quosdam a se, uti videtur, conscriptos de materia medica, forte de medicamentorum compositione.

ἢν δὲ ἐπιπυρεταίνωσι, — τὰ πολλὰ δὲ ἐπὶ τῇσι Φλεγμασίῃσι τῶν τρωμάτων γίγνονται πυρετοὶ, — μήτε ἀθρόον ἴσχειν τὴν Φορὴν κ. τ. λ.] Libri ferunt: τὰ πολλὰ καὶ (O. δέ; item Pe.) τῇσι Φλεγμασίῃσι τῶν χρωτῶν (χρωμάτων V. G. v. l. Po. τρωμάτων H. O.) γίγνονται πυρετοὶ, — μήτε κ. τ. λ. — Sponte patet δέ unice verum esse: sed praeterea ἐπί desiderabam, quod interposui; idque feci non quod nesciam defendi posse τῇσι Φλεγμασίῃσι γίγνονται πυρετοί, sed quod usitatissimum est Graecis ἐπὶ τῇσι Φλεγμασίῃσι γίγνονται πυρετοί. — Modo cogitemus Hippocratica πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ. et ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος θανάσιμον.

ἀτὰρ καὶ τὰ Φάρμακα ἐν τροΦῇ· οὔτε γὰρ ἐπὶ μιῇ μούνῃ ἅπαντα εὑρεῖν τὰ τροΦῆς ἀγαθὰ εὔπορον, οὔτε, ἢν μὲν οὖν μούνη ἐς ἰητρείην ἀρκέῃ, μιῇ μούνῃ χρέεσθαι διὰ τὸν κόρον, ῥηΐδιον· καὶ γὰρ καὶ τὰ ποικίλα εἴκειν, εἰ δὴ ἀπὸ χρόνιον γίγνεται. Ἔστω ὦν στύΦουσα κ. τ. λ.] Libri haec ita scripta obferunt: ἀτὰρ καὶ τὰ Φάρμακα ἐν τροΦῇ, οὔτε γὰρ ἐπὶ μιῇ μούνῃ ἅπαντα εὑρεῖν τὰ τροΦῆς ἀγαθὰ εὔπορον, οὔτε, ἢν μὲν οὐ μούνη ἐς (ἢν μὴ οὐ μούνη ἐς H. Pc. d. f. ἢν μὴ ἐς V. ἢν μὲν ἐς marg. V.) ἰητρείην ἀρκέῃ μὴ μούνῃ χρέεσθαι διὰ τὸν κόρον ῥηΐδιον· καὶ γὰρ κατὰ (Pb. in marg.: ἴσως καὶ τά) ποικίλα εἴκειν (ἥκειν G. v. l. O.) ἤδη δὲ (ἢν δέ Pb.) ἀπὸ χρονίων γίγνεται· ἔστω ὦν στύΦουσα κ. τ. λ. — In O. pone ἥκειν punctum adeo maius invenitur. — Videamus autem de singulis. — Vitium subesse in ἢν μὲν οὐ μούνη κ. τ. λ. rerum nexus docet. Itaque Petitus proponit: οὔτε ἢν μίη μούνη ἐς ἰητρείην ἀρκέῃ, μιῇ μούνῃ χρέεσθαι κ. τ. λ. — Wiganus voluit: οὔτε ἢν μὲν μούνη ἐς ἰητρείην ἀρκέῃ, μιῃ μούνῃ χρέεσθαι... — Quam proxime potui ad vulgatam lect. scripsi: ἢν μὲν οὖν μούνη ἐς ἰητρείην ἀρκέῃ, μιῇ μούνῃ χρέεσθαι κ. τ. λ. — Lectiones cod. V. sunt truncatae. Ad εἴκειν Goup. in varr. lectt. ἥκειν adnotat, quod in nullo codd. parisiensium vidi. — Sed Petitus: «Crassus, inquit, pro εἴκειν legit ἥκειν, a verbo ἥκω, quod est *eo, vado:* ita enim vertit, *sed per varia eundum.* Ego deesse quaedam arbitror, quae supplenda ex MSS. melioribus." — Wiganus de hoc loco non monet, sed ἥκειν in textum recepit. Equidem unice verum censeo quod in marg. cod. Pb. legitur καὶ γὰρ καὶ τὰ ποικίλα εἴκειν: nempe notissimum est εἴκειν transitive sumtum; cf. Steph. Thesaurum in voce. Adponam unum exemplum ibi laudatum: Soph. Philoct. 463.

ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμῖν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.

Quo loco Schol. εἴκῃ exponit διδῷ, συγχωρήσῃ. — Sed maxime etiam me advertit lectio cod. Pb. ἢν δέ pro ἤδη δέ et Petiti animadversio, lacunam pone ἥκειν esse arbitrantis. Mihi locus plenus videtur, nec quidquam deficere, sed in ἤδη δέ puto εἰ δή latere; quo recepto idoneum ex hisce sensum elicere mihi videor. Miror vero interpretum neminem de ἀπὸ χρονίων γίγνεται monuisse: — Crassus: «iam enim diuturna valetudo facta est." Wiganus: «iam vero morbus diuturnus esse incipit." — Recte quidem, si sensum loci spectes, qui eiusmodi quid sibi requirere videtur. Sed haud ita interpretari licet ἀπὸ χρονίων γίγνεται. — Ergo credo in ἀπὸ χρονίων γίγνεται latere ἀπὸ χρόνιον γίγνεται, i. e. χρόνιον ἀπογίγνεται, tmesi nostro familiarissima.

ἔστω ὦν στύΦουσα καὶ ἐς δύναμιν ψύχουσα· ἀτὰρ ἠδὲ ἐς θίξιν· θέρμη γὰρ αἵματος πρόκλησις.] Ad θίξιν in Pb. in marg. adnotatur: ἴσως λείπει τι. — Minime: nihil deest! Fortasse librarius aut legerit, aut acceperit: ἀτὰρ ἠδὲ ἐς θίξιν· θερμὴ γὰρ ἀ. π. — Noster distinguit saepius inter θερμὰ ἐς δύναμιν et θερμὰ ἐς θίξιν, et ψυχρὰ ἐς δύναμιν et ψυχρὰ ἐς θίξιν: discrimen apposite ad rerum naturam factum, ut quivis facile videt.

βρη ἁλσὶ ἡδυνθεῖσα, ῥοὸς, ἐπίπασμα. Ἢν δὲ καὶ χαρίσασθαί τι τῷ κάμνοντι ἐθέλῃς, κορίαννον ἔστω ἐς ἡδονὴν ὅτῳ φίλον, ἤ τι τῶν οὐρητικῶν ἠδὲ εὐπνόων σπερμάτων. Φακὸς, ἢν μὲν ἡ αἱμοῤῥαγίη ἐπείγῃ, ξὺν ἀρνογλώσσου χυλῷ· ἢν δὲ μὴ, τοῦ χυλοῦ ἔστω φειδώ· οὐ γὰρ εὔπεπτον, οὐδὲ προςηνὲς ἐς γεῦσιν· χρὴ δὲ τουτέοισι ἥκιστα πάντων δύςπεπτα διδόναι. Ἢν δὲ ἐξ αἱμοῤῥαγίης θάνατον ὀῤῥωδέῃς, καὶ ἀτερπέα καὶ δύςπεπτα, ἠδὲ ἀπηνέα ἔστω τὰ σώζοντα. κηκὶς ὢν ξηρὴ, λείη προςεπιπασσέσθω φακῷ τῷ ξηρῷ καὶ ψυχρῷ· ὠὰ ἑψῆσι παχέα ξὺν ῥοιῆς σιδίοισι, ἢ κηκίδι. Ἥδε ἐστὶ ὑπ' ἀνάγκης ἐν φαρμάκῳ τροφή. Ποτὸν δὲ τὸ ξύμπαν ὀλίγον ἔστω· ξηρῇ γὰρ διαίτῃ ὑγρὸν ἀξύμφορον. Τοιάδε μὲν, στῦψαι καὶ ψῦξαι εἰ ἐθέλεις· ἢν δὲ παχῦναι καὶ αἷμα καὶ πνεῦμα, γάλα καὶ ἄμυλος, καὶ χόνδροι· ἄλλοτε μὲν ξὺν ἀμύλῳ, ἄλλοτε δὲ ξὺν χόνδρῳ γάλα· ἐς πῆξιν δὲ ἡ σύστασις, ὡς μὴ ῥόφημα ὑγρὸν ᾖ. Ἢν δὲ ἐπὶ μᾶλλον παχῦναι καὶ στῦψαι ἐθέλῃς, οἱ χόνδροι μὲν ξὺν φοίνιξι ἑψείσθωσαν· ἐς δὲ τὴν ξύστασιν ἄμυλος ἔστω, καὶ γάλα ἄριστον, καὶ φὰρ τὸ Τυῤῥηνικὸν, παχὺ ἐὸν, καὶ γλίσχρον, καὶ κολλῶδες ξὺν τῷ γάλακτι· ταμίσου δὲ τοῦ ἐρίφου ὑγροῖσι τοῖσι ἑψήμασι προςεγχέειν ἐς πῆξιν, ὅκως ἐπὶ γάλακτι ἐς νέου τυροῦ ξύστασιν ἴσχει. παχύτερον δὲ τουτέων κέγχρος ἑφθὸς ξὺν γάλακτι ὡς τὸ φὰρ, καὶ τὸ ἐπίπαστον ἡ κηκὶς καὶ τὰ σίδια. Τεκμαίρεσθαι δὲ τὰς ξυμμετρίας τῶν ξηραινόντων, ἢ παχυνόντων· καὶ γὰρ βηχώδεα ταῦτα, ὑπερβολῇ τε ξηρότητος μετεξετέροισι προςέῤῥηξε τὰς φλέβας. Ἢν δὲ πρήσῃ μὲν, ἴσχηται δὲ τὸ αἷμα, ἐς τἀναντία ἐκ προςαγωγῆς ἡ μεταβολὴ, καὶ μηδὲν ἄγαν·

. ἐκ πάντων ὧν ῥόφημα ξὺν λίπαϊ, θύμβρη ἁλσὶ ἡδυνθεῖσα, ῥοὸς, ἐπίπασμα.] Libri: ἐς πάντων (V. O. ἐς omittunt; et vero O. ἁπάντων habet) ὧν (ἢ H. A.) ῥόφημα κ. τ. λ. — Equidem pro ἐς reposui ἐκ, quod interpretes Latine expresserunt. — Ἐκ πάντων est h. l. ἐκ χόνδρων πλυτῶν, ἐξ ὀρύζης, ἐξ ἄρτου ὀπτοῦ, non ex omnibus simul, sed ex singulis. Cf. cap. de cur. Epil. ἄρτοι ξηρότεροι, χόνδροι πλυτοὶ καὶ τὰ ἐκ τῶνδε ῥοφήματα.

οὐ γὰρ εὔπεπτον, οὐδὲ προςηνὲς ἐς γεῦσιν. χρὴ δὲ τουτέοισι ἥκιστα πάντων δύςπεπτα διδόναι. Ἢν δὲ ἐξ αἱμοῤῥαγίης θάνατον ὀῤῥωδέῃς καὶ ἀτερπέα καὶ δύςπεπτα, ἠδὲ ἀπηνέα ἔστω τὰ σώζοντα.] Vulgo: ... ἥκιστα πάντων δύςπεπτον (δύςπεπτα Pc.) διδόναι. ἢν δὲ ἐξ αἱμοῤῥαγίης θάνατον ὀῤῥωδέῃς καὶ ἀτερπὲς καὶ δύςπεπτον· ἠδὲ ἀπηνέα (ἀπηνὲς V. A. Pb.) ἔστω τὰ σώζοντα. — Librarii, puto, numerum singularem a superioribus perperam ad cetera transtulere: itaque omnia ita exhibui, uti Aretaeus mihi scripsisse videbatur.

ξὺν ῥοιῆς σιδίοισι, ἢ κηκίδι.] Ἢ κηκίδος libri. Recte iam Wiganus κηκίδι desideravit, nempe κηκίς non habet σίδια!

τοιάδε μὲν, στῦψαι καὶ ψῦξαι εἰ ἐθέλεις.] In Pb. εἰ ante στῦψαι infertur. *Pf.* εἰ ἐθελήσεις, non male.

ἑψείσθωσαν.] Ἑψήσθωσαν H. Pc. Possis forte ἡψήσθωσαν exhibere.

ἐς δὲ τὴν ξύστασιν.] Sic Pd. σύστασιν cett.

καὶ φὰρ τὸ τυῤῥηνικόν.] Ἢ ζεῖα H. in marg. et V. in marg.; ἄριστον ἡ ζειά Pa. *b.*: Pd. in m. ζειὰ δηλόν.

ταμίσου.] Sic Pc. *d. e. f.* Theocritus VII. 16. ταμίσοιο: Vulgo apud nostrum ταμισοῦ cett. scribunt.

ὅκως ἐπὶ γάλακτι ἐς νέου τυροῦ ξύστασιν ἴσχει.] Notandum h. l. ἴσχειν intransitive sumtum, idemque fere quod γίγνεται indicans.

ἢν δὲ πρήσῃ μὲν, ἴσχηται δὲ τὸ αἷμα.] Vulgo ἢν δὲ πρήσηται μέν. — Sed O. H. V. Pc. d. πρήσσηται, quod in comm. desiderare se significat Petitus. — Crassus: «si bene redit curatio," similique modo illud ἢν δὲ πρήσσηται μέν accipit Wiganus. — Equidem non credo huic interpretationi fidem esse habendam: accipiunt πρήσσηται, quasi impersonale esset, et putant πρήσσειν simili quodam modo explicari posse, quo ποιεῖν apud medicos occurrit; veluti in formulis ποιεῖ πρὸς παλαιὰν βῆχα, ποιεῖ πρὸς ὠταλγίαν, cett. — Mihi exempla non sunt cognita, quibus πρήσσειν eiusmodi sensu sumitur. Igitur vitium subesse credo: nec dubitavi, quin locus sic constituendus esset: καὶ γὰρ βηχώδεα ταῦτα, ὑπερβολῇ τε ξηρότητος μετεξετέροισι προσέῤῥηξε τὰς φλέβας. ἢν δὲ πρήσῃ μὲν, ἴσχηται δὲ τὸ αἷμα; ἐς τἀναντία ἐκ προςαγωγῆς ἡ μεταβολή κ. τ. λ. — Nempe ad πρήσῃ ex antecedentibus obiectum τὰς φλέβας, subiectum τὸ αἷμα e continuo sequentibus est repetendum. Librarii terminationem passivam verbi ἴσχεται ad πρήσῃ transtulerunt; vel πρήσηται e πρήσῃ γε, ut fit, ortum duxit. — Hanc emendationem certam esse iudico.

ἐς τἀναντία ἐκ προςαγωγῆς.] «Sententia, inquit Petitus, est Hippocratis (Ep. VI. Sect. 1.) ἐκ προςαγωγῆς τἀναντία προςάγειν."

καὶ μηδὲν ἄγαν.] «Dictum est, inquit Petitus, unius e septem sapientibus, puto Chilonis Lacedaemonii; ita enim Aristoteles lib. II. Rhet. cap. 12. licet Ausonius Cleobulo adscribat. Alii tamen huius sententiae auctorem citant Sodamum quemdam, ut patet ex Epigrammate, quod olim in Tegea scriptum legebatur:

ταῦτ' ἔλεγεν Σώδαμος ἐπηράτου ὅ μ' ἀνέθηκε,
μηδὲν ἄγαν, καιρῷ πάντα πρόςεστι καλά.

Vide Schol. Eurip. in Hippolyto mastigophoro. Respe-

φιλυπόστροφα γὰρ τάδε καὶ κακοήθεα. Χρὴ δὲ σαρκοῦν ἤδη τὸν ἄνθρωπον καὶ τὰς ὠτειλὰς ἐς τὸ στερεὸν ἄγειν αἰώρῃσι, ἢ τρίψεσι μαλθακῇσι, περιόδοισι, θυμηδίῃσι, τροφῇ ποικίλῃ καὶ ξυνήθεϊ.

Τάδε μὲν ὦν ἢν ἐκ τῆς φορῆς τοῦ αἵματος τὸ τρῶμα ξυμπέσῃ, καὶ ὁ χῶρος ὑγια σθῇ εὐακέως. Ἢν δὲ ἐγκαταλείπηται ἕλκος, καὶ διάπυον γίγνηται, ἑτέρης μελέτης χρέος· καὶ γὰρ καὶ ἑτέρων διαδέχεται ἡ φορή. Περὶ τῆςδε μέντοι ἐν τοῖσι χρονίοισι λελέξεται.

ΘΕΡΑΠΕΙΑ ΚΑΡΔΙΑΚΩΝ.

Κεφ. γ′.

Ἐν συγκοπῇ μάλα χρὴ τὸν ἰητρὸν πρόνοιαν ἐπιτηδεύειν· μέλλουσαν μὲν γὰρ ἢν προγιγνώσκῃς, τά τε παρεόντα ἐπεσσυμένως συνεργὰ ἂν εἴη σοι· ἀτὰρ ἠδὲ ἐξελάοις ἂν αὐτέην πρὶν ἥκειν. Παρεοῦσαν δὲ οὐ ῥηϊδίως διαδιδρήσκουσι οἱ νοσεῦντες. λύσιν γὰρ τῆς φύσιος τὴν συγκοπὴν ἔλεξα· οὐ παλίσσυτος δὲ φύσις λυθεῖσα. Τήνδε ὦν μάλιστα μὲν μέλλουσαν κωλύειν· ἢν δὲ μή, ἄρτι ἀρχομένην. Προγιγνώσκειν δε χρὴ τοῖσι ἐν τοῖσι ἀμφὶ τῶν ὀξεῶν νούσων λελεγμένοισι· εὖτε τὴν αἰτίην, ἀτὰρ ἠδὲ καὶ τὰ σημήϊα ἐφράζομεν. Καῦσος μὲν γὰρ ἀρχή. ἐπὶ δὲ τῷ καύσῳ κάκιστα σημήϊα, ξηρότης, ἀγρυ-

xit etiam Aretaeus ad haec verba citati Aphorismi *καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον.*" Voluit Petitus Hippolytum *στεφανήφορον.* Cf. Valck. ad vs. 264.

φιλυπόστροφα γὰρ τάδε καὶ κακοήθεα.] Hipp. *φιλυπόστροφα* Prorrh. I. 105. Coaca. 358. — Libri h. l. *φιλόστροφα.* Non dubito, quin noster ad divini senis exemplum *φιλυπόστροφα* scripserit. — Apud Pollucem VI. 160. legis: *ἔλεγον δὲ οἱ ποιηταὶ καὶ φιλόστροφον τὸν εὐμετάβολον.* — Vides diversitatem esse inter *φιλόστροφα* et *φιλυπόστροφα*: hoc autem huic loco congruum, non illud. Etiam Hesychius *φιλόστροφος, εὐμετάβολος* exponit.

χρὴ δὲ σαρκοῦν ἤδη τὸν ἄνθρωπον καὶ τὰς ὠτειλὰς ἐς τὸ στερεὸν ἄγειν αἰώρῃσι, ἢ τρίψεσι μαλθακῇσι κ. τ. λ.] Vulgo editur *τὰς ὠτειλὰς ἐς τὸ π ι η ρ ὸ ν ἄγειν.* Librorum lectionis varietas haec est: *τὸ πειρόν* V. Pa. c. d. e. f. *τὸ π...* Pb. *το πευροῦν* H. *τὸν πόρον* F. *τὸν πῶρον* O. Crassus: «novas citatrices solidare necesse est." Petitus: «MS., inquit, codex habet *ἐς τὸ πωροῦν ἄγειν*, *ad callum ducere*, quae lectio probata est. Diosc. I. 112. *κάταγμα πωροῖ.*" — Wiganus: «*τὸν πῶρον*, inquit, ita scribo cum F. *τὸν πόρον* legat; ceteri diversa. Crassus autem *τὸ στερεόν* legisse videtur, nam *solidari* vertit; et sane (62. 45. 46.) occurrit *ὠτειλαὶ στερέμνιοι.* Et Coel. Aurel. (m. chron. II. 13.) in Haemorrhagiae curatione, inquit, poterit *cicatricis* formari *soliditas.*" — Vehementer a Petito et Wigano dissentio: non credo Aretaeum scripsisse *ἐς τὸν πῶρον ἄγειν τὰς ὠτειλάς*: nam *πῶρος* in ossium fracturis gignitur, non in vulnusculis vasorum cicatricem ducentibus; hinc fit, ut cum nostris Dioscoridis verba *κάταγμα πωροῖ ταχίον* comparari nequeant. Equidem Crasso duce *ἐς τὸ στερεὸν ἄγειν* scripsi: iusto maior cicatricis durities *σκληρότης* audit: *οὐλαὶ σκληραί* habet Gal. de causis morb. cap. 7., et *σκληρότης οὐλῶν* lib. de motu muscul. I. 6.

Cap. 3. *ἐν συγκοπῇ μάλα χρὴ τὸν ἰητρὸν πρόνοιαν ἐπιτηδεύειν.*] Imitatur Aretaeus initium Prognostici Hippocratis: *τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν.* — Divini senis locum dudum laudavit Petitus.

μέλλουσαν μὲν γὰρ ἢν προγιγνώσκῃς τά τε παρεόντα ἐπεσσυμένως συνεργὰ ἂν εἴη σοι. ἀτὰρ ἠδὲ ἐξελάοις ἂν αὐτέην πρὶν ἥκειν.] Libri editi *συνεργὰ ἔνσεο.* — H. *ἔνθεο* A. *ἐνέσω*: in Pb. spatium vacuum est relictum. Petitus: «in Editione, inquit, Henyschii *ἔνεσω* et ad oram paginae *ἔνστεο.* An legendum *ἐνστήσῃ* in futuro medio *insistes?*" — Wiganus: «*ἔνσεο.* Hic vel verba quaedam deficere, vel mendosa existimo." — Mihi in voce corrupta latere videtur *εἴη σοι*, vel *ἂν εἴη σοι*: hoc quidem recepi propter sequens *ἐξελάοις ἄν.* Pro *ἐξελάοις* V. A. Pa. c. in marg. e. f. *ἐξέλαες.*

παρεοῦσαν δὲ οὐ ῥηϊδίως διαδιδρήσκουσι οἱ νοσεῦντες.] Vulgo *διδρήσκουσι*: sed compositum ex H. V. in O. receptum est.

οὐ παλίσσυτος.] Παλίνσυτος H. V. Pa. — *παλίσσυτον* legis apud Nic. Theriac. 571. Schol. *ὀπισθόρμητον* et *ἀναποδίζουσαν* exponit.

προγιγνώσκειν.] Sic O. Pc. *προγινώσκειν* vulgo.

εὖτε τὴν αἰτίην ἀτὰρ ἠδὲ τὰ σημήια ἐφράζομεν.] Ἐφράζομεν praebuere H. Pc. f. *ἐφραζόμεθα* cett. omnes. — Credo Aretaeum activum, non medium, usurpasse. — Cf. Hipp. de V. A. § 3. mihi. *σάφα φράζειν.*

καῦσος μὲν γὰρ ἀρχή· ἐπὶ δὲ τῷ καύσῳ κάκιστα σημήϊα κ. τ. λ.] Libri omnes *καῦσος μὲν γὰρ ὁ πυρετὸς ἀρχή.* — Credemusne Aretaeum lectoribus suis indicare voluisse *καῦσον* esse *πυρετόν*? Foedum glossema expellendum mihi visum est.

πνίη, θερμασίη τῶν σπλάγχνων, ὅκως ἀπὸ πυρὸς, ψυχρὰ δὲ τὰ ἔξω· χεῖρες καὶ πόδες ἄκροι ψυχρότατοι. ἀναπνοὴ ἐς ὁλκὴν μακρὴ, ποθέουσι γὰρ ψυχρὸν ἠέρα, οὕνεκεν ἐκπνέουσι πῦρ. σφυγμοὶ σμικροὶ, πυκνότατοι, τρομώδεες. Ἐκ τῶνδε ὦν τεκμαιρόμενος, ἠδ' ὁκόσα μοι ἐν τοῖσι σημηΐοισι λέλεκται, αὐτίκ' ἐξ ἀρχῆς ἀρήγειν.

Ἢν ὦν μὴ πάντα κωλύῃ, ἕξις, ἡλικίη, ὥρη, ἀψυχίη τοῦ ἀνθρώπου, τάμνειν φλέβα. κὴν πολλὰ κωλύῃ, εἷς δέ τις ἀριθμὸς ἐπίκαιρος ᾖ, ὁκοῖον γλῶσσα τρηχείη τε καὶ ξηρὴ, καὶ μέλαινα· — ἤδε τοι γὰρ τὰ εἴσω πάντα σημαίνει. Ξυντεκμαίρεσθαι δὲ ἐπὶ πᾶσι τὴν δύναμιν, εἰ μὴ προαπηύδηκε ἐκ τῆς νούσου πόνων τε καὶ διαίτης. οὐδὲ γὰρ οὐδὲ ἐνδείῃ μοῦνον, ἀλλὰ καὶ πνιγί· ἢν δ' ὑπὸ πλήθεος γίγνηται συγκοπὴ, καὶ φλεγμασίη τις ὑποχονδρίου, ἢ ἥπατος, μέγα διασημαίνῃ, οὐδὲ ἀμβολῆς χρέος. Τάμνειν δὲ τὴν ἐπ' ἀγκῶνι τὴν κοίλην· ἀτὰρ ἠδὲ διὰ σμικρῆς τῆς σχάσιος ἀφαιρέειν, ὡς μὴ σφόδρα τῇ δυνάμι ἐπίδηλον ᾖ· ἐλέγχει γὰρ τὴν φύσιν τὸ ἀθρόον. καὶ πολλόν τι μεῖον, ἢ δι' ἄλλας προφάσιας ἀφαιρέειν. εἰ γὰρ ἐπὶ συγκοπῇ καὶ σμικρὸν ἁμαρτῴη, ῥηϊδίως ἐς ᾅδου τρέπει. Αὐτίκα ὦν διδόναι τροφὴν ἐς νεόχμωσιν τῆς δυνάμιος·

σφυγμοὶ σμικροί.] Sic O. *μικροί* cett.

σημηΐοισι.] *Σημείοισι* Pc.

ἢν ὦν μὴ πάντα κωλύῃ, ἕξις, ἡλικίη, ὥρη, ἀψυχίη τοῦ ἀνθρώπου, τάμνειν φλέβα. κὴν πολλὰ κωλύῃ, εἷς δέ τις ἀριθμὸς ἐπίκαιρος ᾖ, ὁκοῖον γλῶσσα τρηχείη τε καὶ ξηρὴ καὶ μέλαινα· — ἤδε τοι γὰρ τὰ εἴσω πάντα σημαίνει. Ξυντεκμαίρεσθαι δὲ ἐπὶ πᾶσι τὴν δύναμιν, εἰ μὴ προαπηύδηκε ἐκ τῆς νούσου πόνων τε καὶ διαίτης. οὐδὲ γὰρ οὐδὲ ἐνδείῃ μοῦνον, ἀλλὰ καὶ πνιγί· ἢν δ' ὑπὸ πλήθεος γίγνηται συγκοπὴ, καὶ φλεγμασίη τις ὑποχονδρίου, ἢ ἥπατος, μέγα διασημαίνῃ, οὐδὲ ἀμβολῆς χρέος.] Locum integrum describo, quia tum de singulis quibusdam verbis in eo obviis, tum de membrorum inter se nexu est monendum. — Wiganus illud *ἀριθμὸς ἐπίκαιρος* se non intelligere fatetur: ego antea iam sum interpretatus ex Hipp. verbis *τοὺς δὲ ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες, οὐκ ὀρθῶς ἔγραψαν.* (lib. de victu ac. § 3. mihi.). Nempe Aretaeus haec verba accepit *τὰ δὲ συμπτώματα ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες*: credidit *ἀριθμός* apud Hipp. pro *σημεῖον*, *σύμπτωμα*, poni: hinc h. l. *εἷς δέ τις ἀριθμός* pro *ἕν δέ τι σημεῖον*. Sed vide quae de loco Hippocratis monui p. 109. Ed. libri de victu acut. — Porro libri dant: *εἴδεται γὰρ τὰ εἴσω πάντα σημήϊα.* Haec quum legerem, statim corrigebam *εἴδεται γὰρ τὰ εἴσω πάντα σημηΐοις*: at postea incidi in Petiti adnotationem, qui: «si locus, inquit, coniecturae est, ita possit legi: *ἤδε γὰρ τὰ εἴσω πάντα σημαίνει.....* et alludit ad hanc sententiam Hipp., quae est in 5 Sect. lib. 6. Epid. *γλῶσσα οὖρον σημαίνει· γλῶσσαι χλωραὶ χολώδεες* etc." — Praestantissima viri egregii est emendatio! Locum e pseudo-Hipp. ipsum inspice (p. 608. Ed. Kühn.) et mentem adverte ad seqq. ibid.; *γλῶσσα ὁμόχροος τῇσι προστάσεσι, διὸ ταύτῃ γινώσκομεν τοὺς χυμούς.* — Iam vero paulo propius ad librorum scripturam accedere mihi visus sum legendo *ἤδε τοι γὰρ τὰ εἴσω πάντα σημαίνει.* — Particula *τοι* in primis ad *ἤδε* referenda; « frequens, inquit Stallb. ad Protag. Platonis p. 316. B., est hic usus voculae *τοι* pronomini cum vi quadam adiunctae." Verum iam de structura monendum: in verbis *κὴν πολλὰ κωλύῃ — σημαίνει* desideras apodosin, quae e superioribus ad hunc modum est repetenda; *κὴν πολλὰ κωλύῃ, εἷς δέ τις ἀριθμὸς ἐπίκαιρος ᾖ...... τάμνειν φλέβα.* — Porro interpretes non satis animadverterunt, proxime cohaerere *ἐκ τῆς νούσου πόνων*, et accipiendum esse *ἐκ τῶν πόνων τῶν ἐκ τῆς νούσου*: mox noster eodem hoc capite *ἐς ἀνάπαυλαν καμάτου τοῦ ἔκ τε τῆς νούσου*... Dein ad verba, *οὐδὲ γὰρ οὐδὲ ἐνδείῃ μοῦνον, ἀλλὰ καὶ πνιγί*, e proxime seqq. repetendum est *συγκοπὴ γίγνεται*; similem ellipsin infra etiam animadvertemus. — Tandem libri: *καὶ φλεγμασίης τι ὑποχόνδριον, ἢ ἥπατος μέγα διασημαίνῃ.* Pb. in marg. coniecturam, uti videtur, adscriptam habet: *καὶ φλεγμασίη τινὸς ὑποχονδρίου.* Malui *καὶ φλεγμασίη τις ὑποχονδρίου* lenissima medela scribere: in eandem emendationem Petitus incidit; verum hic *ἢ φλεγμασίη* vult, mihi vero non certo constat *καί* in *ἤ* mutandum esse. Pro *δ' ὑπό* Pb. *δὲ ὑπό*. Pro *χρέος* Pa. *χρέως*.

ἀτὰρ ἠδὲ διὰ σμικρῆς τῆς σχάσιος ἀφαιρέειν.] Libri plurimi *διὰ σμικρῆς τομῆς τῆς σχάσιος*: illud *τομῆς* glossam esse recte Wiganus vidit: equidem confidenter eieci. In Pc. legis haec: *διὰ τομῆς τῆς σχάσιος* (sic); est autem *σμικρῆς* a correctoris manu. Pe. *τῆς σχάσιος* tantum habet et in marg. *ἤγουν τομῆς*. Neque in Pf., neque in e. *τομῆς* adponitur.

εἰ γὰρ ἐπὶ συγκοπῇ καὶ σμικρὸν ἁμαρτῴη.] In libris legis *ἢν γὰρ — ἁμαρτῴη* (O. *ἁμαρτῴη*. Pb. *ἥμαρτον.*). — Non licet, me iudice, silentio haec transire. Illud *ἁμαρτῴη* (sic) in O. vitiosum est: vulgatum *ἁμαρτῴη* non vitiosum videtur, sed insolitum et animadversione dignum: est enim contractum *ἁμαρταοίη*, optativus cuius verbi indicativus *ἁμαρτάω*. Cognita sunt *ἁμαρτάνω*, *ἥμαρτον*, adeo ut facile *ἁμαρτοίη* corrigas: ego vero facere non ausim. Nimirum etiamsi exempla non cognoverim formae *ἁμαρτάω*, Aoristum tamen *ἁμαρτῆσαι* occurrere subinde constat (Buttm. II. p. 110.), ad quem Schol. Aristidis: *τοῦτο*, inquit, *ἅπαξ παρὰ τούτῳ τε καὶ ἄλλοις, καὶ οὐ παντελῶς ἐστιν ἄχρηστον* (cf. Lob. ad Phryn. p. 732.). — Illud *ἁμαρτῆσαι* ab eodem *ἁμαρτάω* ducitur; adeoque in nostro poëticis et Ionicis formis saepe utente *ἁμαρτῴη* servo; — quum vero *ἤν* cum opt. non coniungatur, *εἰ* de meo reposui.

ἐς νεόχμωσιν.] V. *νεώχμωσιν*. De utraque vocabuli scriptura supra iam monui.

γάνυται γὰρ ἡ φύσις καὶ τῇ τῶν παλαιῶν ἀπαλλαγῇ, καὶ τῇ τῶν ποταινίων προςθήκῃ.

Ἢν δὲ φλεβοτομίην μὲν ἡ δύναμις ἀποτρέπῃ, φλεγμασίαι δὲ ἔωσι, σικύην τῇδε προςβάλλειν πολὺ πρόσθεν τῆς κρίσιος τοῦ νοσήματος. ἐν κρισίμοισι γὰρ ἡ συγκοπή· ἐπεὶ τῇσι αὐτέῃσι περιόδοισι αἵ τε φύσιες κρίνουσι, αἵ τε νοῦσοι κτείνουσι. Κῆν γὰρ ἐς ἀνάγκην οἰνοποσίης ἥκῃ ὁ ἄνθρωπος, οὐ κάρτα ἀσφαλὲς ἐπὶ φλεγμονῇσι οἰνοποτέειν. οἶνος γὰρ φλεγμαίνουσι μὲν πόνων ἐπίδοσις, ἀφλεγμάντοισι δὲ φύσιος αὔξησις. Ἐπίπροσθεν δὲ τῆς σικύης, πρὸ μιῆς ἢ δευτέρης, ἐπιπλάσιος χρέος, ἔς τε ἄνεσιν τῶν μερέων, ἀτὰρ ἠδὲ ἐς εὐροὴν τοῦ αἵματος· μετεξετέροισι. δὲ καὶ ἐπὶ τῇ σικύῃ ἐς τὴν δευτέρην ἐπιπλάσσειν. Ἔστω δὲ καὶ τῇδε φειδώ· κίνδυνος γὰρ ὁ ὡυτὸς τοῦ αἵματος τῆς ἀμετρίης καὶ ἐπὶ τῇ σικύῃ. Κλυσμῶν δὲ, ἐπὶ σκυβάλοισι παλαιοῖσι μοῦνον, χρέος· τῆς δυνάμιος δὲ φείδεο.

Τέγξιες κεφαλῆς ψυχραὶ, ὁκόσαι μοι ἐπὶ φρενιτικοῖσι λελέχαται· ὅκως εὐμετρίης ὀλίγῳ μέζω. Καθαρὸς ἠὴρ, ψυχρότερος, ἐς ἀνάπνευσιν. Ὄψιος τερπωλὴ, φυτῶν, γραφῆς, ὑδάτων, ὡς ὁρῆσθαι τὰ πάντα ἡδέως. Λαλιὴ τῶν παρεόντων φιλομειδής· ἡσυχίη, θυμηδίη τοῦ νοσέοντος. Ὀσμαὶ εὐώδεες, ἀβαρέες ἐς κεφαλῆς αἴσθησιν. ἀτὰρ καὶ τῶν τρεφόντων ἔστωσαν ὀσμαί· ἀλφίτων ξὺν ὕδατι δευθέντων, ἢ ὄξεϊ· ἄρτων θερμῶν νεοπέπτων. Οἴνῳ δὲ μὴ κάρτα κλύζειν στόμα, μηδὲ ἅμα εἴργειν.

Ποτὸν θᾶσσον καὶ συνεχέστερον ἢ τοῖσι ἄλλοισι. Τροφὴ ἀνὰ πᾶσαν ἡμέρην κούφη, εὔπεπτος, τὰ πολλὰ σιτώδης· ἔστω δὲ καὶ ἡδεῖα, κῆν σμικρὸν χείρων ἔῃ· τοισίδε γὰρ

γάνυται.] Edi solet *γάννυται.* In Kühniana *γάνυται*, quod *Pa. b.* ferunt.

ἐπεὶ τῇσι αὐτέῃσι περιόδοισι αἵ τε φύσιες κρίνουσι, αἵ τε νοῦσοι κτείνουσι.] Imitatur Hipp. verba e Progn.: *οἱ καὶ πυρετοὶ κρίνονται ἐν τῇσι αὐτέῃσι ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται.*

οἶνος γὰρ φλεγμαίνουσι μὲν πόνων ἐπίδοσις, ἀφλεγμάντοισι δὲ φύσιος αὔξησις.] Vulgo *ἀφλεγμάτοισι*: Wiganus dubitanter *ἀφλεγμάντοισι* proponit. Mihi *ἀφλεγμάτοισι* ne vocabulum Graecum quidem habetur, adeo ut, cod. *Pf.* praebente, lubens *ἀφλεγμάντοισι* receperim.

ἐπίπροσθεν δὲ τῆς σικύης πρὸ μιῆς ἢ δευτέρης ἐπιπλάσιος χρέος, ἔς τε ἄνεσιν τῶν μερέων, ἀτὰρ ἠδὲ ἐς εὐροὴν τοῦ αἵματος· μετεξετέροισι δὲ καὶ ἐπὶ τῇ σικύῃ ἐς τὴν δευτέρην ἐπιπλάσσειν. ἔστω δὲ καὶ τῇδε φειδώ· κίνδυνος γὰρ ὁ ὡυτὸς τοῦ αἵματος τῆς ἀμετρίης καὶ ἐπὶ τῇ σικύῃ.] Ante omnia lectionis varietatem adponam. — Vulgo *ἐπιπλάσιος*, quae coniectura esse videtur Goupyli; nam Po. *ἔπιπλα* (sic) itemque V.; *ἐπιπλασμάτων* H. — Libri omnes *εὐροίην*: magis usitatum est *εὔροια* quam *εὐροή*, sed de huius generis pluribus vid. Lobeck ad Phryn. p. 496. Pro *ἐπιπλάσσειν*, quod de coniectura exhibeo, cett. *ἐπίπλασιν.* — Tandem *Pb.* *ὁ ὡυτός* praebuit, ceteris *ὁ* non habentibus. — Operae pretium iam monere de interpretum haec accipiendi ratione: «Sed antequam semel, inquit Crassus, aut iterum cucurbitulam affixisti, et ad membra relaxanda et ad sanguinis facilem exitum utilis est (vini potio), nonnullis et post cucurbitulae secundam affictionem benefecit.” — Eodem fere modo Wiganus Latine; sed hic postea in adnn. errorem suum correxit. Petitus Crassum quidem reprehendit, sed minime verum vidit, adeo ut huius adnotationem sibi relinquamus. — Verissime Wiganus in notulis: «*ἐπιπλάσιος.* Haec sane de emplastris, contra quam Crassum secutus verti, intelligi debere credo. Nam *σικύην ἐπιπλάττειν* nusquam reperio, at (85. 54.) *ἐπὶ δὲ τοῖσι ἐπιπλάσμασι ἡ σικύη.*” Haec ille recte: nam *σικύην προςβάλλειν*, *σικύην προςτιθέναι* dici solet. Error inde ortus, quod coniungerent *πρὸ μιῆς ἢ δευτέρης ἐπιπλάσιος*, quum iungendum sit *ἐπιπλάσιος χρέος*, et ad *μιῆς ἢ δευτέρης* subintelligere oporteat *ἡμέρης*, et mox *ἐς τὴν δευτέρην ἡμέρην.* Minus recte mihi visus est *ἐπίπλασιν* in *ἐπίπλασις* mutatum cupivisse; malui *ἐπίπλασιν* in infinitivum *ἐπιπλάσσειν* mutare. Ceterum memoratu dignum in *Pa. b. d. e.* *δέ* ante *καὶ ἐπὶ τῇ σικύῃ* non haberi. Nempe paene dubitaveris, num forte scripserit Aretaeus: *ἐπίπροσθεν δὲ τῆς σικύης πρὸ μιῆς, ἢ δευτέρης ἐπιπλάσιος χρέος ἔς τε ἄνεσιν τῶν μερέων, ἀτὰρ ἠδὲ ἐς εὐροὴν τοῦ αἵματος μετεξετέροισι καὶ ἐπὶ τῇ σικύῃ ἐς τὴν δευτέρην. ἔστω δὲ κ. τ λ.*

κλυσμῶν δὲ ἐπὶ σκυβάλοισι παλαιοῖσι μοῦνον χρέος.] Libri omnes *κλυσμοῖσι*: de meo repono genitivum: praecedente dativo *τῇ σικύῃ* et sequente altero *σκυβάλοισι*, librarii etiam dativo perperam scripserunt *κλυσμοῖσι.*

λαλιὴ τῶν παρεόντων φιλομειδής.] *Φιλομειδής* epitheton Veneris apud Poëtam. Il. III. 424. IV. 10. Od. VIII. 362. cett. *φιλομμειδὴς Ἀφροδίτη.*

ὀσμαὶ εὐώδεες, ἀβαρέες ἐς κεφαλῆς αἴσθησιν.] Vulgo *ἀβαρὲς ἐς κεφ. α.* — H. *ἀβαρέες κεφ.* — Wiganus *ἀβαρέες ἐς* scripsit de suo; idem autem praebuit *Pb.*

μηδὲ ἅμα εἴργειν.] Sic O. *μηδ' ἅμα ε.* cett.

ποτὸν θᾶσσον καὶ συνεχέστερον ἢ τοῖσι ἄλλοισι.] Libri omnes *ποτὸν θᾶσσον καὶ συνεχὲς, ἢ τ. ἀ.* — Unus

τῶν ἄλλων μᾶλλον χαριστέον· οὐχ ἥκιστα γὰρ τῷ στομάχῳ ἐς ἔκλυσιν ἡ νοῦσος ἐμφύνει. Ἀσιτίη, δὲ ἢ λιμὸς, οὐδαμᾶ· ἱκανὴ γὰρ ἡ νοῦσος τὰ πάντα λαφύξαι. Ἢν δὲ ἥκῃ μὲν ἤδη ἡ περίοδος ἐς κρίσιν, νοτὶς δὲ πρὸς κληῖδα καὶ μέτωπον ἱζάνῃ, καὶ ἄκρεα ψυχρὰ, σφυγμὸς δὲ σμικρότατος ἠδὲ πυκνότατος, ὁκοῖον ἕρπων, ἀμυδρὸς τὸν τόνον, μικρὸν τι ἄρα λαβεῖν χρὴ σίτων, καὶ οἴνου ἐνεργῶς ἅπτεσθαι. Χρὴ δὲ κεφαλὴν προησφαλίσθαι τέγξεσι, ἠδὲ τὴν κύστιν. λέλεκται δέ μοι τάδε τὰ ἄκεα ἐπὶ τοῖσι φρενιτικοῖσι. Διδόναι δὲ οἴνου μὴ χανδὸν, μηδὲ ἄδην. μετεξέτεροι γὰρ πλησμονῆς ἀκαιρίῃ, ἀνορεξίῃ τε, καὶ ἀδρανίῃ τοῦ φαγεῖν τε καὶ πιεῖν, ἀπώλοντο· πολλοῖσι δὲ, καὶ εὐσίτοισι ἐοῦσι, λελυμένης ἤδη τῆς φύσιος, οὐδὲν τὸ πλῆθος ἐς τὸ μὴ θανεῖν ἤρκεσε, ἐς μὲν τὴν γαστέρα κατιόντων τῶν σιτίων, οὐκ ἀνιόντων δὲ ἐς τὴν δύναμιν ἀπὸ τῆς κοιλίης. Ἔστω ὦν σιτία μὲν ποικίλα, τὰ πολλὰ σιτώδεα, ὡς ῥυμφάνειν μᾶλλον, ἢ μασᾶσθαι. κἢν στερεὰ ἔῃ, ὀλισθηρὰ γιγνέσθω· ὠὰ μὴ κάρτα ξυνεστῶτα, μηδ' ὀπτὰ ὅλα, τοῦ στερεοῦ γυμνά· ψωμοὶ διάβροχοι οἴνῳ, τὰ πρῶτα θερμῷ, δύο ἢ τρεις. Ἐπὶ δὲ τοῖσι τὰ πάντα ψυχρὰ, ἢν μὴ ὑποικουρέωσι φλεγμοναί. Οἶνος εὐώδης, μὴ κάρτα στύφων, παχὺς δὲ ὡς ἥκιστα. Ἑλληνικοὶ μὲν Χῖος, ἢ Λέσβιος, ὁκόσοι τε ἄλλοι νησιῶται λεπτοί· Ἰταλῶν δὲ, Σουρεντῖνος, ἢ Φουνδανὸς, ἢ Φαλερῖνος, ἢ Σιγνῖνος, ἢν μὴ σφόδρα στύφῃ. παραιτέεσθαι δὲ τῶνδε τὸν κάρτα παλαιὸν, ἢ νεώτερον. Διδόναι ὦν, τὰ πρῶτα, θερμὸν, μὴ μεῖον κυάθων τεσσάρων, πρὸ τῆς κρίσιος, μηδὲ κοτύλης

Pa. συνεχῶς. — Equidem positivum συνεχές non fero: nec dubito, quin truncatus sit comparativus συνεχέστερον, quem igitur in textum introduxi.

τροφὴ ἀνὰ πᾶσαν ἡμέρην κούφη, εὔπεπτος, τὰ πολλὰ σιτώδης· ἔστω δὲ καὶ ἡδεῖα, κἢν σμικρὸν χείρων ἔῃ.] Vulgo editur τὰ πολλὰ σιτώδης, ἠδὲ καὶ ἡδεῖα κ. τ. λ. Verum H. V. ἔστω δὲ καὶ ἡδεῖα (V. ἡδέα) eodemque modo in Pc. corrigitur. Haec lectio longe praestare mihi videtur. Respicit his verbis Hipp. Aph. 38. II. Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

τοισίδε γάρ.] Cett. τοῖσι δὲ γάρ.

οὐχ ἥκιστα γὰρ τῷ στομάχῳ ἐς ἔκλυσιν ἡ νοῦσος ἐμφύνει.] Pro ἐμφύνει, quod de coniectura exhibeo, libri obferunt ἀμφύει, quae vulgata in Edd. lectio, Pa. ἀμφύειν, H. V. Pc. d. e. f. ἀμφύνει.

ἢν δὲ ἥκῃ μὲν ἤδη ἡ περίοδος ἐς κρίσιν, νοτὶς δὲ πρὸς κληῖδα καὶ μέτωπον ἱζάνῃ, καὶ ἄκρεα ψυχρά.] Libri νοτὶς δὲ κληῖδα καὶ μέτωπον ἱζάνῃ. — Equidem hoc non fero: requiro πρὸς κληῖδα… ἱζάνῃ, quod exhibui. Wiganus: «praepositionem, inquit, ut ἐπί deficere puto."

σφυγμὸς δὲ σμικρότατος ἠδὲ πυκνότατος.] Ἠδὲ καὶ πυκνότατος Pa.

μικρὸν τι ἄρα λαβεῖν χρὴ σίτων καὶ οἴνου ἐνεργῶς ἅπτεσθαι.] Ἐνεργῶς O. ex V. — Vulgo ἐναργῶς. Pa. b. ἐναργής.

χρὴ δὲ κεφαλὴν προησφαλίσθαι.] Προησφαλίσασθαι H. Pe. et ita corrigitur in Pc. — Vulgata tamen unice vera scriptura.

λέλεκται δέ μοι τάδε τὰ ἄκεα ἐπὶ τοῖσι φρενιτικοῖσι.] Libri omnes τάδε ἄκεα: de meo τά interposui.

μετεξέτεροι γὰρ πλησμονῆς ἀκαιρίῃ κ. τ. λ.] Libri omnes μετεξέτεροι δὲ π. ἀ. — Equidem de meo γάρ scripsi: Wiganus etiam Latine «quidam enim alieno tempore saturati."

ἐς μὲν τὴν γαστέρα κατιόντων τῶν σιτίων, οὐκ ἀνιόντων δὲ ἐς τὴν δύναμιν ἀπὸ τῆς κοιλίης.] Ἐς μὲν γὰρ τὴν γ. κ. τ. σ. Pe. et ita corrigitur in Pc. — Ad hunc locum illustrandum facit initium capitis de signis lienteriae, ubi vide.

ὡς ῥυμφάνειν μᾶλλον, ἢ μασᾶσθαι.] Ῥυμφαίνειν Pb. μασσᾶσθαι vulgo; cum Kühnio μασᾶσθαι scripsi.

κἢν στερεὰ ἔῃ, ὀλισθηρὰ γιγνέσθω.] Libri omnes κἢν στερεὰ ἔῃ, ὀλισθηρὰ ἔσεσθαι γιγνέσθω. Mihi quidem infinitivus ille ἔσεσθαι librariis deberi videtur, sive quis ἔσεσθαι pro γιγνέσθω scribens, hoc etiam adposuerit neque
γιγνέσθω
alterum deleverit: sive forte dittographia ἔστω corruptelae ansam praebuerit. Nescio certe, quomodo ἔσεσθαι grammatice spectatum constare possit, quae causa est, cur deleverim. Wiganus ἔσεσθαι in ἑψήσει mutatum cupiit: haud apposite sane ad seq. ὠὰ μὴ κάρτα ξυνεστῶτα, quae scilicet neque στερεά ante coctionem, nec coctione ipsa ὀλισθηρά redduntur.

ψωμοὶ διάβροχοι οἴνῳ, τὰ πρῶτα θερμῷ, δύο ἢ τρεῖς.] Libri: τὰ πρῶτα θερμώδεες δύο, ἢ τρεῖς. Schneiderus ex hoc loco solo θερμώδης in Lex. suum recepit; nec memini me apud alios id legere. Nolim affirmare nihil dubitationis in hac re remanere: nempe fieri potuisse credo, ut sequens δύο syllabis δεες originem praeberet, Aretaeus vero scriberet: ψωμοὶ διάβροχοι οἴνῳ τὰ πρῶτα θερμῷ δύο ἢ τρεῖς. ἐπὶ δὲ τοῖσι τὰ πάντα ψυχρὰ, ἢν μὴ κ. τ. λ. In recentiore Thesauri Edd. etiam ex h. l. θερμώδης receptum esse video. Equidem emendandum censeo.

ἢν μὴ ὑποικουρέωσι φλεγμοναί.] Ad ὑποικουρέωσι Pe. in marg. ἤγουν ἐνδομυχῶσι. Cf. Hesych. in ὑποικουροῦσα. Jacobs. ad Aelian. IV. 43.

οἶνος εὐώδης, μὴ κάρτα στύφων, παχὺς δὲ ὡς ἥκιστα.] Pro παχύς libri πλατύς, inepte; reposui illud de

πλεῖον, κῆν εὔποτος ἔῃ. Ἐπὶ δὲ τῶνδε σιτίον διδόντα, εἰ τὰ τῆς φλεγμασίης παρήκοι, αὖθις ψυχρὸν ὀρέγειν, ὅκως ἐς ἄκος δίψεος· πρὸς ἀνάγκην δὲ, μὴ μόνον μὲν, ξὺν σιτίῳ δέ. Προυπερηρεῖσθαι δὲ χρὴ, ὡς μὴ ἄψιν φρενῶν ὁ οἶνος ποιέηται· καὶ ἐπὶ τοισίδε συνανέχειν. Κῆν ἐκ διαστάσιος εὕδειν θέλῃ, ἡσυχίῃ προςακτέῃ. Ἢν δὲ πουλὺς μὲν ἱδρὼς ἐκρέῃ, σφυγμοὶ δὲ πρὸς ἀκινησίην, ὀξεῖα δὲ φωνὴ, ἄθερμοι δὲ καὶ τὰ στήθεα, διδόναι τοῦ οἴνου ὁκόσον ἂν δύνηται πιεῖν· μοῦνος γὰρ οἶνος ἐλπὶς ἐς ζωὴν ψυχροῖς. καὶ οἶνος ὢν ξυνήθης εἰ εἴη, ἄλλοτε μὲν πιεῖν, ἄλλοτε δὲ αὖ σιτίον ξὺν οἴνῳ φαγεῖν· ἐκ διαστάσιος μὲν, ἐς ἀνάπαυλαν τοῦ καμάτου, τοῦ ἔκ τε τῆς νούσου καὶ τῆς τροφῆς. ἐν γὰρ σμικρῇ τῇ ἰσχύϊ, μογέουσι κάρτα καὶ ἐπὶ τῇ ἐδωδῇ. Χρὴ ὦν αὐτόν τε ἀλκηέντα καὶ εὔθυμον ἔμμεναι, καὶ τὸν ἰητρὸν ἔπεσι μὲν παραφάσθαι ἐς εὐελπιστίην, ἀρήγειν δὲ ποικίλῃ τροφῇ τε καὶ οἴνῳ.

Χρὴ δὲ καὶ τῇ ἄλλῃ ἰητρείῃ ἐνέργῳ χρέεσθαι, ἔς τε τὴν τῶν ἱδρώτων κάθεξιν, καὶ τῆς δυνάμιος ἀνάστασιν ἐς τὸ ζώπυρον. Ἔστω ὦν ἐπίθημα τῷ θώρηκι ἐς τὸν ἀριστερὸν μαστόν· φοίνικες ἐν οἴνῳ λεῖοι, ξὺν ἀλόῃ καὶ μαστίχῃ· κηρωτῇ δὲ ξὺν νάρδῳ πεποιημένῃ ἀνειλήφθω τάδε. Καὶ ἢν τόδε ἀσηρὸν γίγνηται, ἄλλο ἐπιτιθέναι ἐπίθημα· μήλων ἐξελόντα τὸ σπέρμα καὶ ὅ τί περ ἂν σκληρὸν ᾖ, θλάσαντα, ξυμμίσγειν ἀλφίτοισι εὐώδεσι· ἔπειτα ἀψινθίου κόμης, καὶ μυρσίνης, ἠδ' ἀκακίης, καὶ μάννης σεση

coniectura Wigani et mea et Petiti, qui: «παχύς, inquit, legendum esse nemo non videt. Celsus III. 19., ubi huius affectus curationem tradit; «si verendum est ne deficiat tum et intrita ex hoc (vino) et hoc ipsum austerum quidem, sed tamen tenue, meracum," cett. — Sed et noster mox ὁκόσοι τε ἄλλοι νησιῶται λεπτοί."

ἐπὶ δὲ τῶνδε σιτίον διδόντα, εἰ τὰ τῆς φλεγμασίης παρήκοι, αὖθις ψυχρὸν ὀρέγειν, ὅκως ἐς ἄκος δίψεος.] Vulgo σιτίων, sed σιτίον H. V. O. — Pro ὅκως ἐς ἄκος δίψεος Wiganus malle se dicit ὁκόσον ἐς ἄκος δίψεος, adlato exemplo infra obvio; διδόναι τοῦ οἴνου ὁκόσον ἂν δύνηται πιεῖν; at nihil tentandum; paulo ante noster ὅκως εὐμετρίης ὀλίγῳ μέζω, et cap. de cur. Cephalaeae: στύψιος ἔχων, ὡς μὴ ἴσχειν τὴν γαστέρα.

Προυπερηρεῖσθαι δὲ χρὴ, ὡς μὴ ἄψιν φρενῶν ὁ οἶνος ποιέηται· καὶ ἐπὶ τοισίδε συνανέχειν.] Pro προυπερηρεῖσθαι A. V. in marg. προνοεῖσθαι, quod in O. receptum est et ipse in marg. libri Pe. adscriptum vidi, in ipso textu hoc cod. προυπερῆσθαι ferente. — Mihi quidem Wiganus falsam lectionem in textum inferre visus est: nam vulgatum προυπερηρεῖσθαι egregie tuetur quod supra in hoc ipso capite legimus, χρὴ δὲ κεφαλὴν προησφαλίσθαι τέγξεσι. — Frustra Petitus προυπερερείδεσθαι desiderat, conf. Buttm. p. 328. vol. I. — Hippocraticum esse φρενῶν ἄψιν iam supra monui, cf. lib. de Victu ac. § 52. mihi. — In postremis libri variant H. ἐπὶ τοῖσιν ἀνέχειν A. ἐπὶ τὴν δέσιν ἀνέχειν. Pa. ἐπὶ τῆς δέσιν ἀνέχειν Pc. a prima manu ἐπὶ τοῖςδε, pro συνανέχειν Pb. c. e. f. ἀνέχειν.

ἄθερμοι δὲ καὶ τὰ στήθεα.] Sic Pa. b. ἄθερμα cett. — Duorum codd. Parisinorum lectio vera mihi visa est: neminem h. l. offendet transitus ad sing. num. δύνηται. — Τὰ στήθεα plur. num. perfamiliare in libris spuriis Hipp.

μοῦνος γὰρ οἶνος ἐλπὶς ἐς ζωὴν ψυχροῖς.] Minus recte interpretes Crassus et Wiganus «vitae spes," iungentes ἐλπὶς ἐς ζωήν. Nimirum iungere oportet ἐς ζωὴν ψυχροῖς. — Ipsa enim syncope nostro est καρδίης καὶ ζωῆς νοῦσος.

καὶ οἶνος ὢν ξυνήθης εἰ εἴη, ἄλλοτε μὲν πιεῖν, ἄλλοτε δὲ αὖ σιτίον ξὺν οἴνῳ φαγεῖν.] Vulgo καὶ οἶνος ἐὼν ξυνήθης (συνήθως Pa.) ἔῃ. — Ad ἔῃ Pb. in marg. ἴσως ἔστω. — Petitus καὶ οἶνος ὢν emendat, idemque coniicit Wiganus. Necdum tamen sententia congrua. Crassus ἔστω legisse videtur, ut fert Pb. Equidem ex ἔῃ effeci εἰ εἴη, quo facto locus intelligi posse videbatur.

χρὴ ὦν αὐτόν τε ἀλκηέντα καὶ εὔθυμον ἔμμεναι, καὶ τὸν ἰητρὸν ἔπεσι μὲν παραφάσθαι ἐς εὐελπιστίην, ἀρήγειν δὲ ποικίλῃ τροφῇ τε καὶ οἴνῳ.] Libri: χρὴ ὦν αὐτόν τε ἀλκηέντα καὶ εὔθυμον ἔμμεναι καὶ τὸν ἰητρὸν ἔπεσι μὲν παραφάσθαι (παραγράψασθαι Pa. παραγράφεσθαι Pb.) ἐς εὐελπιστίην ἔμμεναι, ὡς δὲ ἀρήγειν ποικίλῃ τροφῇ τε καὶ οἴνῳ. — Ad παραφάσθαι Po. in marg. glossam habet παραμυθεῖσθαι. Iam vero illud ὡς δέ Wiganum offendit, adeo ut ἠδὲ ἀρήγειν in notulis malle se significet. — Crassus: «igitur et ipsum decet forti esse bonoque animo et medicum suavi oratione eum ad bonam spem cohortari, varioque alimento et vino opitulari." Fortasse tamen hic eadem, quae nos hodie in codd. videmus, ipse legit. — Sed hoc utut est, miror Wiganum non animadvertisse infinitivum illum ἔμμεναι post εὐελπιστίην abundare: neque enim scribere noster potuit χρὴ τὸν ἰητρὸν ἔπεσι παραφάσθαι ἐς εὐελπιστίην ἔμμεναι. Illud ἔμμεναι e superiore εὔθυμον ἔμμεναι huc demanavit: ὡς δέ omnino ineptum est, sed si ad ἔπεσι μὲν παραφάσθαι animum attendamus, facile patet alterum membrum, priori isti responsurum, esse debere ἀρήγειν δὲ ποικίλῃ τροφῇ τε καὶ οἴνῳ. — Itaque hoc reposui.

μήλων ἐξελόντα τὸ σπέρμα καὶ ὅτι περ ἂν σκληρὸν ᾖ.] Simillima huic formula in additamentis spuriis ad Hipp.

σμένων, ξυμμίσγειν· ὁμοῦ δὲ τὰ πάντα φυράσαντα, κηρωτῇ ἀναλαμβάνειν οἰνανθίνῃ. Ἢν δὲ ὑπὸ τῶνδε μὴ ἴσχηται ὁ ἱδρὼς, ὀμφάκιον ἀκμαῖον, καὶ ἀκακίη, καὶ κόμμι, ἠδὲ ῥοὸς τὸ ἐδώδιμον, καὶ στυπτηρίη, καὶ φοίνικες, καὶ ῥόδων χυλὸς εὔπνοος· ἅμα πάντα νάρδῳ τε καὶ οἰνάνθης τῷ λίπαϊ, ἐς τὸν θώρηκα τιθέναι. καὶ γὰρ τόδε ἐμψύχει τε καὶ στύφει. Κατακεέσθω δὲ ἐν ἠέρι ψυχρῷ· εἴτε καὶ πρὸς ἄρκτον ὁ οἶκος· εἰ δὲ εἴη αὔρη Βορέου ψυχρὴ ἐπιπνείουσα, ζωγρήσει

κακῶς κεκαφηότα θυμόν.

Ἔστω δὲ καὶ ἐς λειμῶνας καὶ πηγὰς καὶ κελαρύζοντας ὀχετούς· καὶ γὰρ καὶ τὸ εὔπνοον τῶνδε καὶ ἡ θυμηδίη, καὶ τὴν ψυχὴν θάλπει, καὶ τὴν φύσιν ζωγρεῖ. ἀτὰρ καὶ πρόκλησις τοῦ φαγεῖν τε καὶ πιεῖν. Ἢν δὲ ὑπ' ἀπορίης μὴ τάδε τις εὐτυχῇ, μιμέεσθαι χρὴ καὶ αὔρην ψυχρὴν, πτόρθων εὐωδέων ἠδονῆς ῥιπίσι· καὶ ὤρην εἰαρὸς φύλλοισι ἠδ' ἄνθεσι τοῖσι παρεοῦσι στορέσαντα τὴν γῆν. Ἀτὰρ καὶ ἐπίβλημα ἔστω κοῦφον, παλαιὸν, ὡς δέχηται μὲν τὸν ἠέρα, διαπνέῃ δὲ τοῦ θώρηκος τὴν θέρμην. ἄριστον δὲ ὀθόνη παλαιή. Πάσσειν δὲ αὐχένα καὶ κληῖδας ἀλφίτοισι, καὶ θώρηκα· τρέφειν μὲν τῷ

de victu acut. § 53. *κυάμων αἰγυπτίων ἐξελὼν τὰ πικρά.*

ἢν δὲ ὑπὸ τῶνδε μὴ ἴσχηται ὁ ἱδρὼς, ὀμφάκιον ἀκμαῖον, καὶ ἀκακίη, καὶ κόμμι, ἠδὲ ῥοὸς τὸ ἐδώδιμον καὶ στυπτηρίη, καὶ φοίνικες καὶ ῥόδων χυλὸς εὔπνοος· ἅμα πάντα νάρδῳ τε καὶ οἰνάνθης τῷ λίπαϊ ἐς τὸν θώρηκα τιθέναι.] Libri: *ἢν δὲ ὑπὸ τῶνδε μὴ ἴσχηται ὁ ἱδρὼς, ὄμφακος χυλὸν εἰς φύρησιν ξυντεθὲν, ὀμφάκιον ἀκμαῖον καὶ ἀκακίη, καὶ κόμμι δὲ ῥοὸς τὸ ἐδωδιμὸν κ. τ. λ.* — In hisce vero pro *κόμμι δέ* Wiganus *κόμμι ἠδέ* legit, quam emendationem recipere oportebat. — Vere idem monuit *χυλὸν... ξυντεθέν* ferri non posse, quum certe *χυλὸς... ξυντεθείς* requiratur. Sed hic subsistere non debuerat me iudice: ante omnia advertit, copulam, quae inter seqq. omnia interponitur, desiderari inter *χυλὸν.... ξυντεθέν* et *ὀμφάκιον ἀκμαῖον*. Sed praeterea audiendi sunt alii de omphacio: Diosc. V. 6: *ὀμφάκιόν ἐστι μὲν χυλὸς ὄμφακος θασίας σταφυλῆς μήπω περκαζούσης, ἢ ἀμιναίας κ. τ. λ.* — Paulus Aegin. VII. 3. *ὀμφάκιον ὁ χυλός ἐστι τῆς ὄμφακος σταφυλῆς.* Quid igitur? totum illud *ὄμφακος χυλὸν εἰς φύρησιν ξυντεθέν* glossema esse videtur ad *ὀμφάκιον ἀκμαῖον*. Nam re vera *συνετίθετο* iste *χυλός*, quod quomodo fieret Diosc. l. l. descripsit: minus tamen intelligo quid sit *ἐς φύρησιν ξυντεθέν* s. *ξυντεθείς*, nisi id accipiendum sit de mistione cum aqua, aliis, quia succus dilutus tantum adhibebatur; Diosc.: *ὑδαρεῖ δέ*, inquit, *δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ· ἐπικαίει γὰρ ἱκανῶς.* — Auctoris *ὀμφάκιον ἀκμαῖον* interpretor omphacium tempestive paratum, adeo ut quam maxime possit adstringat. — Tandem Wiganus pro dativo *νάρδῳ* fere maluit *νάρδου*, ut coniungeret *νάρδου... λίπαϊ.* — Mihi innovatione eiusmodi opus non esse videtur, quum *νάρδος* etiam ipsum oleum illud dicatur, *οἰνάνθης* O. ex H. V. *οἰνάνθη* cett.

κατακεέσθω δὲ ἐν ἠέρι ψυχρῷ, εἴτε καὶ πρὸς ἄρκτον ὁ οἶκος· εἰ δὲ εἴη αὔρη Βορέου ψυχρὴ ἐπιπνείουσα, ζωγρήσει
κακῶς κεκαφηότα θυμόν.]

Videndum in primis de isto *εἴ τε καί*, quod libri omnes tuentur, at Wiganum offendit, adeo ut vel *κατακεέσθω δὲ ἐν ἠέρι ψυχρῷ, ἔστω δὲ καὶ πρὸς ἄρκτον ὁ οἶκος· εἰ δὲ εἴη αὔρη κ. τ. λ.* desideret, vel *κατακεέσθω δὲ ἐν ἠέρι ψυχρῷ, — εἰ δὲ καὶ πρὸς ἄρκτον ὁ οἶκος, ἠδὲ εἴη αὔρη κ. τ. λ.* — Haud ego confidenter affirmare ausim vitium subesse: nempe subinde in priore membro *εἴτε* omittitur (cf. Herm. ad Vig. p. 834.) Itaque in altero membro illud *ἔστω*, quod suppletum cupiit Wiganus subintelligere licebit, vel etiam e proxime superioribus *κατακεέσθω*, quo facto oratio bene procedit. — *Αὔρη* Ionismus est: nempe *αὔρα*, non *αὖρα* scribendum esse docet Porson. ad Hecub. vs. 444. — Ad *ζωγρήσει* Pe. in marg. habet glossam *ζωογονήσει*. — Ceterum ad totum locum tenendi sunt Homeri versus ab aliis iam laudati ex Il. V. 696., ubi de Sarpedone:

τὸν δ' ἔλιπε ψυχὴ, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς·
αὖτις δ' ἀμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.

ἔστω δὲ καὶ ἐς λειμῶνας.] Ἐς praebuit Pf. *εἰς* cett.

κελαρύζοντας ὀχετούς.] Respicitne Homeri locum ex Il. XXI. 257. 261.?

ὡς δ' ὅτ' ἀνὴρ ὀ χ ε τ η γ ὸ ς ἀπὸ κρήνης μελανύδρου
ἂμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ, —
.... τὸ δέ τ' ὦκα κατειβόμενον κ ε λ α ρ ύ ζ ε ι
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα.

Ἢν δὲ ὑπ' ἀπορίης μὴ τάδε τις εὐτυχῇ, μιμέεσθαι χρὴ καὶ αὔρην ψυχρὴν πτόρθων εὐωδέων ἠδονῆς ῥιπίσι· καὶ ὤρην εἰαρὸς φύλλοισι ἠδ' ἀνθέσι τοῖσι παρεοῦσι στορέσαντα τὴν γῆν.] Ad *ἠδονῆς* Wiganus: «Vox, inquit, sine dubio mendosa. An *ἡδέης*, *lenibus* ventilationibus. V. *ῥιπίς* in Lexicis." Haud ego vitiosum hoc esse credo: est noster h. l. iterum totus in dictionibus poëticis: verba *πτόρθων εὐωδέων ἠδονῆς ῥιπίσι* profecto e poëmate ducta sunt, et vero parum abest, quin versum faciant Paeonicum creticum tetrametrum, certe cretici sunt pedes tres *-ωδέων ἠδονῆς ῥιπίσι*. In seqq. itidem *γῆν στορέσαντα*, et *εἰαρὸς ὤρη*, numeris suis facile distinguis. Itaque nihil muto. Me doctior fortasse verborum fontes monstrabit. — Unum quoddam exiguum de meo mutavi: libri fere omnes *ἠαρός*. Pb. *ἐαρός*: — reposui *εἰαρός* neque enim memini me usquam formam per *η* legisse; sed contracte *ἔαρ*, *ἦρ*.

πάσσειν δὲ αὐχένα καὶ κληῖδας ἀλφίτοισι, καὶ θώρηκα.] Legebatur *αὐχένας*, de meo sing. num. reposui: mox enim *θώρηκα*.

εὐόσμῳ, τῷ δὲ αὐχμηρῷ ξυνέχειν. καὶ παιπάλῃ δὲ τοῦ σώματος τὸ ἀραιὸν ἐμπάσσειν· ἀτὰρ καὶ τὰ πρόςωπα τῇ γῇ τῇ Σαμίῃ τῇ κρησέρῃ σεσησμένῃ, ἐς ὀθόνην ἀραιὴν ἐνδήσαντα, καταπάσσειν, ὡς διασήθηται ἐς τὰ μέτωπα καὶ τὰ μῆλα ἡ ἄχνη. καὶ τίτανον ἐσβεσμένην, καὶ γύψον ὀπτὴν, σησθένθα ἐν κρησέρῃ σμικρῇ, ἐμβάλλειν ἐπὶ τοῖσι ἰκμαλέοισι. Ἔστησέ τε κοτὲ ἱδρῶτας καὶ σπογγιὴ ψυχροῦ ἐς τὰ πρόςωπα προςβληθεῖσα, πήξι μὲν τῶν διαῤῥεόντων ὑγρῶν, πυκνότητι δὲ τῆς ἀραιώσιος. Διαχρίειν δὲ τὴν ἕδρην, ὅκως ἡ τοῦ ψυχροῦ φῦσα καὶ τῆς τροφῆς ἐκχέηται. Ἠδὲ ἀνακαλέσασθαι τῶν ἄκρων τὴν θέρμην γλευκίνῳ, ἢ σικυωνίῳ λίπαϊ ξὺν πεπέρεϊ, καὶ τῷ καστορίῳ, καὶ νίτρῳ, καὶ κάχρυ, κηροῦ σμικρὸν ἐντήκοντα, ὡς ποθίζῃ τὸ χρίσμα· καὶ διὰ τῆς λιμνήστιδος, ἠδ' εὐφορβίου, καὶ δάφνης τοῦ καρποῦ ἀλείμματι ἐπανάκλησιν θέρμης ποιέεσθαι. Ἀτὰρ καὶ βολβοὶ ὠμοὶ οἱ σμικροί τε καὶ ἐρυθροὶ, ξὺν πεπέρεϊ καὶ ὄξους τρυγίῃ λείῃ, ἄριστον ἐπίπλασμα τῶν ποδῶν· καθ' ὥρην ξυνεχέστατα ἀείροντα. κίνδυνος γὰρ ἑλκέων ἠδὲ φλυκταινώσιος. Ἐπὶ τοῖσι ἐλπὶς, τὸν ὧδε νοσέοντα διαδρῆναι τὸν ὄλεθρον.

Κὴν πάντα μὲν κατὰ λόγον ἰητρὸς ἔρδῃ, εὖ δὲ τὰ πάντα χωρέῃ, ξὺν τῇ ξυγκοπῇ καὶ εἰ φλεγμασίαι ἐπιέασι, ἐκλύονται. καὶ ἱδρὼς μὲν οὐδαμᾶ, θέρμης δὲ ἀνάκλησις πάντῃ, ἀτὰρ καὶ ἐς ἄκρους πόδας, καὶ ἀνὰ ῥῖνα· τὸ δὲ πρόςωπον εὔχροον· σφυγμοὶ ἐς μέγεθος ἠρμένοι, ἄτρομοι, σφοδροί· φωνὴ δὲ ξυνήθης· εὔφωνος, καὶ τὰ πάντα ζωώδης. κάματος οὐκ ἀγεννὴς, ἀτὰρ ἠδ' εὕδων ὁρᾶται· καὶ ἢν ἕλῃ μιν ὕπνος, ἐξέπεψε μὲν τὰ σιτία, ἐξένηψε δὲ τὴν αἴσθησιν, ἀτὰρ ἠδ' ἐξεβλάστησε τὴν φυήν. Κὴν ἐξ ὕπνου ἔγρηται, εὔπνοος, εὐσταλὴς, εὔτονος· ἀναπεμπάζεται δὲ, ὅκως περ ὄναρ, τὴν νοῦσον.

Μετεξετέροισι δὲ πυρετοὶ ἀμαυροὶ ἐγκαταλείπονται, καί πῃ καὶ φλεγμασίαι σμικραὶ, καὶ γλῶσσα ξηρή. ἄνικμοι, ῥιγώδεες, νωθροὶ, διαλελυμένοι· οἷσι ἐς μαρασμὸν ἡ

καὶ παιπάλῃ δὲ τοῦ σώματος τὸ ἀραιὸν ἐμπάσσειν.] Vulgo *ἐμπλάσσειν*. H. *ἐμπλάσσειν* (πα superscr.); hinc O. *ἐμπάσσειν*: Miror nonnihil *παιπάλῃ τὸ ἀραιὸν ἐμπάσσειν*; magis solitum puto *παιπάλην τῷ ἀραιῷ ἐμπάσσειν*. Nempe ab *ἐμπάσσειν* hac in re quodammodo differre opinor *καταπάσσειν*, quod mox usurpat Aretaeus.

καὶ σπογγιὴ ψυχροῦ ἐς τὰ πρόςωπα προςβληθεῖσα.] Cett. *προβληθεῖσα*: illud scripsi de coniectura Wigani et mea.

πήξι μὲν τῶν διαῤῥεόντων ὑγρῶν, πυκνότητι δὲ τῆς ἀραιώσιος.] Est illud *πυκνότητι* omnino animadversione dignum, nam ponitur pro *πυκνώσι*; patet ultro e superiore *πήξι*.

καὶ κάχρυ.] Κάγχρυ H. V. Pb.

κηροῦ σμικρὸν ἐντήκοντα ὡς ποθίζῃ τὸ χρίσμα.] Vulgo libri *ποθίζει*, editi certe; at V. Pa. *b. c. e. f.* *ποθ' ἵζει*. Subiunctivum de mea coniectura et Wigani revocavi. Medicis liceat dicere *ποθίζειν* poni pro *προςίζειν*. Nam Dorice *πρός* est *ποτί*.

καὶ δάφνης τοῦ καρποῦ ἀλείμματι ἐπανάκλησιν θέρμης ποιέεσθαι.] Libri omnes *ἄλειμμα*: Wigano etiam hac de re monente, dativum de coniectura in textum intuli.

καθ' ὥρην ξυνεχέστατα ἀείροντα. κίνδυνος γὰρ ἑλκέων ἠδὲ φλυκταινώσιος.] Cum hisce cf. locus e cap. 2. lib. I. de Cur. M. acut.: *δριμὺ δὲ τὸ ἐπίπλασμα καὶ ὠκέως ἐρυθήματα ἐντεῦξον, ὠκέως δὲ οἰδαλέα θέμενον· καὶ εἰ κίνδυνος δὲ φλυκταινώσιος καὶ τρωμάτων, ξυνεχέως ἐπαίρειν τὸ ἐπίπλασμα καθορέοντα, μή τι τουτέων ξυμβῇ.*

κὴν πάντα μὲν κατὰ λόγον ἰητρὸς ἔρδῃ, εὖ δὲ τὰ πάντα χωρέῃ, —] Libri omnes *πάντα μὲν τὰ κατὰ λόγον*, quod Aretaeum scripsisse mihi persuadere nullo modo possum. Is *κὴν πάντα μὲν κατὰ λόγον ἰητρὸς ἔρδῃ* voluit: cf. Aph. Hipp. 52. II. *πάντα κατὰ λόγον ποιέοντι καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς*, itaque articulum *τά* ante seq. *πάντα* inserui.

κάματος οὐκ ἀγεννής.] De horum verborum accipiendi ratione monendum. Crassus: «lassitudinem quidem haud exiguam percipit.” Wiganus: «lassitudinem quamdam non molestam percipit.” — Hic a vero aberravit: omnino *κάματος οὐκ ἀγεννής* est lassitudo non exigua, non levis, gravis. — Sed bonum signum, quod rerum nexus omnino h. l. sibi postulat, est in seq. *ἀτὰρ ἠδ' εὕδων ὁρᾶται*.

εὔπνοος, εὐσταλὴς, εὔτονος.] Libri *ἄτονος*: *εὔτονος* requiri unusquisque videbit, et vero alii dudum emendarunt.

ἀναπεμπάζεται δὲ, ὅκωςπερ ὄναρ, τὴν νοῦσον.] Adpono locum e Luc. Gallo, cap. 5., ubi: *ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν ὄνειρον.* Schol. *τὰ προθεωρηθέντα ἀναμιμνήσκῃ*, —

περιτροπῇ. Εὖτε οὐ καταβλακεύειν χρὴ ἐρεμίῃ καὶ λεπτῇ διαίτῃ· ἀλλ' ἐς κινήσιας ἄγειν, αἰώρης καὶ τρίψιος, καὶ λουτρῶν, ὅκως ἐκ τοῦ νεκρώδεος ἐνταθέῃ καὶ ἀνατραφέῃ τὸ ζώπυρον. Διδόναι δὲ καὶ γάλα, μάλιστα μὲν γυναικὸς νεοτόκου καὶ κουροτρόφου· καὶ γὰρ καὶ οἶδε ἀνατροφῆς, ὅκως ἀρτίτοκοι παῖδες, δέονται. ἢν δὲ μή, ὄνου μὴ παλαιοτόκου· ἐξίτηλον γὰρ τὸ τοιόνδε γάλα. Καὶ ἐπὶ τοῖσδε ἐς ἀνάληψιν ἄγειν καὶ τὰ συνήθεα.

ΘΕΡΑΠΕΙΑ ΧΟΛΕΡΗΣ.

Κεφ. δ'.

Ἐν χολέρῃ ἡ τῶν φερομένων ἐπίσχεσις, κακόν. ἄπεπτα γάρ. Χρὴ ὦν ἡμᾶς, εἰ ῥηϊδίως αὐτόματα, δέχεσθαι· εἰ δὲ μή, ὀτρύνειν, διδόντας ὕδατος εὐκρήτου ῥυμφάνειν, ξυνεχές γε μήν, ὀλίγον δέ, ὅκως μὴ ἐντάσιες ἔωσι κεναὶ στομάχῳ, σπασμώδεες. Ἢν δὲ καὶ στρόφοι ἔωσι, καὶ ποδῶν ψύξιες, τέγγειν μὲν τὴν κοιλίην λίπαϊ θερμῷ, ξὺν πηγάνῳ καὶ κυμίνῳ ἑψηθέντι, ἐς τὰς τῶν φυσέων διακρίσιας. καὶ ἐπιτιθέναι εἴριον. Καὶ τὼ πόδε λιπαίνοντα ἡσυχῇ τρίβειν, ἀμφαφόωντα μᾶλλον ἢ πιεζεῦντα· ἀτὰρ καὶ μέχρι τῶν γουνάτων γιγνέσθω τάδε, ἐς ἀνάκλησιν θέρμης. Καὶ μέσφι μὲν κόπρια κάτωθεν διαχωρέει, ἄνωθεν δὲ χωρέει χολώδεα, τάδε χρὴ ποιέειν.

Ἢν δὲ ὑπεληλύθῃ μὲν ὁ πᾶς παλαιὸς σῖτος, χολαὶ δὲ διΐωσι, καὶ χολώδης ἔμετος, καὶ διάτασις ἔῃ, ἠδὲ καὶ ἄση, καὶ ἀπορίη, καὶ ἀδυναμίη, ψυχροῦ ὕδατος κυάθους δύο, ἢ τρεῖς, διδόναι, ἔς τε τὴν τῆς κοιλίης στύψιν, ὅκως ἐπίσχῃ τὴν παλίῤῥοιαν, ἠδὲ τὸν στόμαχον αἰθόμενον ἐμψύξῃ. ξυνεχέως δὲ τόδε, ἐπὴν τὸ ποθὲν ἐμέσῃ, πρήσσειν·

De ἀναπεμπάζειν primario verbi significatu supra vidimus, capite de signis στομαχικῶν, pag. nostrae editionis 126, ubi vide.

ὅκως ἐκ τοῦ νεκρώδεος ἐνταθέῃ καὶ ἀνατραφέῃ τὸ ζώπυρον.] Libri omnes ἐνταθείῃ et ἀνατραφείῃ. Sponte patet requiri coniunctivum: itaque Ionicam eius formam, quam corruptelae ansam praebuisse opinor, nostro restitui.

διδόναι δὲ καὶ γάλα μάλιστα μὲν γυναικὸς νεοτόκου καὶ κουροτρόφου· καὶ γὰρ καὶ οἶδε ἀνατροφῆς, ὅκως ἀρτίτοκοι παῖδες, δέονται. ἢν δὲ μή, ὄνου μὴ παλαιοτόκου· ἐξίτηλον γὰρ τὸ τοιόνδε γάλα.] Pa. *b.* καὶ διδόναι δὲ καὶ γάλα κ. τ. λ. — Paulo post καὶ γὰρ καί ex H. recepi, ceteris posterius καί omittentibus. Verissime Petitus vidit illud ἐξίτηλον γὰρ τὸ τοιόνδε γάλα modo ad παλαιοτόκου referri. — De ipso nomine ἐξίτηλον cf. Wyttenb. ad Select. Hist. p. 340. — Noster nomen verosimiliter e libris Hippocratis duxit, cf. Oecon. Hipp. in voce.

Cap. 4. *χρὴ ὦν ἡμᾶς, εἰ ῥηϊδίως αὐτόματα, δέχεσθαι· εἰ δὲ μή, ὀτρύνειν.*] Εἰ ante ῥηϊδίως abesse solet: additur in O. H. V. A. Pa. *c. e. f.*; εἰ δὲ μή dat H.; ἢν δὲ μή cett.

ῥυμφάνειν.] Ita O.: vulgo ῥυμφαίνειν; H. V. Pa. *d. f.* ῥομφαίνειν; A. Pa. ῥοφαίνειν.

ξυνεχές γε μήν, ὀλίγον δέ, ὅκως μὴ κ. τ. λ.] Μήν h. l. tuentur libri omnes. Equidem fere malim μέν. —

μᾶλλον ἢ πιεζεῦντα.] Vulgo πιέζοντα, sed Pa. πιέζεντα, in quo vestigium superesse credo Ionismi, quem nostro restitui.

καὶ μέσφι μὲν κόπρια κάτωθεν διαχωρέει.] Κόπρια recepi ex H. et Pe.; κόπρεα cett.

ἢν δὲ ὑπεληλύθῃ μὲν ὁ πᾶς παλαιὸς σῖτος.] Imitatur Hippocratem, qui libro de victu ac. § 19. mihi, initio: ἢν μὲν νεοβρῶτι αὐτέῳ ἐόντι καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετός. — et paulo post: ἢν δὲ μὴ ὑ π ε λ η λ ύ θ ῃ ὁ π α λ α ι ό τ ε ρ ο ς σ ῖ τ ο ς νεοβρῶτι ἐόντι.

ἠδὲ καὶ ἄση.] Καί om. *Pf.*

ὅκως ἐπίσχῃ τὴν παλίῤῥοιαν.] Ἐπίσχοι Pa. *b. c. d. e.* Ad παλίῤῥοιαν tenendum est initium capitis de signis huius morbi: ἡ χολέρη π α λ ί ν ο ρ σ ο ς ἐστι φ ο ρ ὴ τῆς ὕλης τῆς ἐν τῷ παντὶ ἐς τὸν στόμαχον, καὶ τὴν κοιλίην, καὶ τὰ ἔντερα.

ξυνεχέως δὲ τόδε, ἐπὴν τὸ ποθὲν ἐμέσῃ, πρήσσειν· ῥηϊδίως μὲν γὰρ τὸ ψυχρὸν ἐν τῇ κοιλίῃ θάλπεται, ἀτὰρ ἠδὲ ἐξεμεῖ ὁ στόμαχος ἀχθηδόνι τοῦ θερμοῦ, ξυνεχέως δὲ ποθέει ψυχρὸν ποτόν.] Ceteri omnes ἀχθηδόνι τοῦ θερμοῦ κ α ὶ ψ υ χ ρ ο ῦ. Verba καὶ ψυχροῦ mihi ab ipso auctore non profecta esse videntur, et vero loci sensum omnem pessumdare. Aquam frigidam stomachus expetit, sed ea non ἄχθεται; contra ἄχθεται calida. Itaque si frigida potio assumpta in ventriculo

ῥηϊδίως μὲν γὰρ τὸ ψυχρὸν ἐν τῇ κοιλίῃ θάλπεται, ἀτὰρ ἠδὲ ἐξεμεῖ ὁ στόμαχος ἀχθηδόνι τοῦ θερμοῦ, ξυνεχέως δὲ ποθέει ψυχρὸν ποτόν.

Ἢν δὲ καὶ σφυγμοὶ μὲν ἐς τὸ μικρὸν ξυμπέσωσι, ἠδὲ ἐς τὸ ξυνεχὲς καὶ πυκνὸν διώκωνται, ἱδρὼς δὲ περὶ μέτωπα καὶ κληῗδας καὶ πάντῃ τοῦ σώματος στάγδην ῥέῃ, καὶ γαστὴρ μὴ ἐπίσχηται, καὶ ὁ στόμαχος ἐμέῃ ἔτι ξὺν τάσι καὶ λειποψυχίῃ, καὶ οἴνου βραχὺ ἐπιστάζειν τῷ ὕδατι τῷ ψυχρῷ, εὐώδεος, στύφοντος, ἔς τε τὴν τῆς αἰσθήσιος ἀνάκλησιν ὑπὸ τῆς ὀσμῆς, καὶ ἐς τὴν τοῦ σώματος ῥῶσιν ὑπὸ τῆς δυνάμιος, καὶ ἐς τὴν τούτου πρόςθεσιν ὑπὸ τῆς θρέψιος. Οἶνος γὰρ ὠκὺς μὲν ἐς τὴν ἄνω ἴξιν, ὡς τὴν παλιῤῥοίην σχέθειν· λεπτὸς δὲ, ὡς ῥηϊδίως χυθεὶς τῇ φύσι τὴν ἕξιν ἐῤῥῶσθαι· κραταιὸς δὲ, ὡς δύναμιν στῆσαι ῥέουσαν. Ἐπιπάσσειν δὲ καὶ ἀλφίτων ποταινίων, εὐπνόων. Ἢν δὲ ξυνεπείγῃ πάντα, ἱδρὼς, καὶ ἔντασις, οὐ τοῦ στομάχου μοῦνον, ἀλλὰ καὶ νεύρων, λὺγξ κενεὴ, καὶ πόδες ξυντιταίνωνται, καὶ κοιλίῃ ὑποφέρῃ πολλὰ, καὶ ἀχλυώδης ὁ ἄνθρωπος, σφυγμοὶ δὲ πρὸς ἀκινησίην ἔωσι, τότε χρὴ φθάνειν τήνδε τὴν κατάστασιν· εἰ δὲ καὶ παρῇ, ψυχροῦ καὶ οἴνου πολλόν τι διδόναι, μὴ ἀκρητεστέρου δὲ διὰ τὴν μέθην καὶ τὰ νεῦρα, ξὺν σιτίῳ, ψωμοῖσι διαβρόχοισι. Διδόναι δὲ καὶ τῆς ἄλλης τροφῆς, ὁκοῖα ἐν συγκοπῇ μοι λέλεκται· ὀπώρην στύφουσαν, οὖα, μέσπιλα, μῆλα κυδώνια, σταφυλήν.

Ἢν δὲ τὰ πάντα ἐμέῃ, καὶ ὁ στόμαχος μηδὲν ἴσχῃ, ἐς τὰ θερμὰ, καὶ ποτὰ καὶ βρώματα, παλινδρομέειν· μετεξετέροισι γὰρ ἔστησε ἡ μεταβολή. τὰ θερμὰ δὲ ἔστω θερμότατα. Ἢν δὲ μηδέν τι τούτων ἀρήγῃ, σικύην ἐς τὸ μεσηγὺ τῶν ὠμοπλατέων προςβάλλειν, καὶ κάτωθεν ὀμφαλοῦ τρέπειν· συνεχῶς δὲ τὰς σικύας μεθιζά-

incaluerit, stomachus calidam non ferens evomit. — Haec mens est Aretaei. Quorsum ergo spectat illud *καὶ ψυχροῦ*? Equidem opinor a sciolo nescio quo postea interpositum esse, secum reputante stomachum et calido et frigido laedi posse, neque animadvertente nunc Aretaeum de cholera loqui, in quo morbo *ὁ στόμαχος αἴθεται.*

καὶ γαστὴρ μὴ ἐπίσχηται.] Pro *μή* Pa. *b.* *μέν.*

καὶ ἐς τὴν τοῦ σώματος ῥῶσιν ὑπὸ τῆς δυνάμιος, καὶ ἐς τὴν τούτου πρόςθεσιν ὑπὸ τῆς θρέψιος.] Vulgo *καὶ ἐς τὴν τούτου ῥῶσιν ὑπὸ τῆς δυνάμιος καὶ ἐς τὴν τοῦ σώματος πρόςθεσιν ὑπὸ τῆς θρέψιος.* In Pa. *b.* pro *τούτου ῥῶσιν* legis *σώματος.* — Hoc refert vestigium pristinae lectionis, nempe in vulg. *τοῦ σώματος* et *τούτου* invicem sedem permutarunt, neque enim pronomen praeponi potest nomini, quorsum referendum est; fieri etiam potest ut Aretaeus scripserit: *καὶ ἐς τὴν τοῦ σώματος πρόςθεσιν ὑπὸ τῆς θρέψιος καὶ ἐς τὴν τούτου ῥῶσιν ὑπὸ τῆς δυνάμιος*, inverso nempe membrorum ordine.

λεπτὸς δὲ, ὡς ῥηϊδίως χυθεὶς τῇ φύσι τὴν ἕξιν ἐῤῥῶσθαι.] Libri: *λεπτὸς δὲ ὡς ῥηϊδίως χυθεὶς τῇ φύσι συνέξειν ἐῤῥῶσθαι.* — Interpretes vitium latere viderunt: Petitus: «Crassus, inquit, non satis apte ita vertit: «ut facile diffusum naturae ad sanitatem recuperandam «opem ferat." — Sic autem vertendum: ut facile diffusum per habitum confirmare valeat." — Tum coniicit: *ὡς τῇ χύσει τὴν φύσιος ἕξιν ῥῶσαι.* — Wiganus: «Haec, inquit, manifeste depravata sunt. An *τὴν φύσιν ξὺν ἕξει ἐῤῥῶσθαι*, vel *ξὺν τῇ φύσει ἕξιν ἐῤῥῶσθαι*? His similia de vini virtutibus habet Coelius (Ac. morb. II. 37.). Sunt enim haec efficacia et quae facilius omnia, quae de vino speramus, accelerent: sufficientia fortificare et totam relevare *habitudinem* corporis, omni etiam parti atque particulae sese insertare et per omnes tenues vias celeri motu percurrere." — Equidem non dubito, quin illud *συνέξειν*, praecedente *φύσι*, iotacismo ortum debeat, auctor vero *τὴν ἕξιν* scripserit. Petiti *τὴν φύσιος ἕξιν* displicet, quum *τοῦ σώματος ἕξις* medicis familiare sit, non *τῆς φύσιος ἕξις.* — Wigani coniecturae non magis arrident, quum e vulgata lect. ultro pateat *τῇ φύσι* vitio non laborare et ad vinum spectare, *τῇ φύσι τῇ τοῦ οἴνου.* Structura quodammodo *ἀνακόλουθος*, ut aiunt, Graecae orationis usui tamen perconsentanea: *λεπτὸς δὲ (ὁ οἶνος) ὡς τῇ φύσι τῇ ἑωυτοῦ ῥηϊδίως χυθῆναι, καὶ τὴν ἕξιν ἐῤῥῶσθαι χυθέντος.* Haec mens est Aretaei. — Nempe *ἐῤῥῶσθαι* transitive sumere non licet, me iudice.

ἐπιπάσσειν δὲ καὶ ἀλφίτων ποταινίων εὐπνόων.] Libri *ἀλφίτων κοτὲ νέων.* Quod exhibeo *ποταινίων* eleganti verissimaeque Wigani emendationi debetur. *Ἄλφιτα ποταίνια* Hippocrateum est. Divinus senex libro de victu ac. § 37. mihi: *καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι, καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι.* — In libris *ποταινίων* in *ποτὲ νέων* et librario Ionismum, ut putabat, restituente in *κοτὲ νέων* abiit. — Hinc facile etiam patet, quam exigua fides dialecto huiusmodi scriptoris haberi possit: neque enim Ionismos tantum librarii neglexerunt, sed de suo etiam subinde nonnullos finxerunt!

καὶ ἀχλυώδης ὁ ἄνθρωπος.] Kühn *ὤνθρωπος*; nescio unde!

μετεξετέροισι γὰρ ἔστησε ἡ μεταβολή.] E superioribus

νειν· ὀδυνηρὸν γὰρ τὸ ἐπίμονον, καὶ κίνδυνον φέρον φλυκταινώσιος. Ὤνησέ κοτε κίνησις αἰώρης εὔπνοος, ὡς καὶ τὸ πνεῦμα ζωγρῆσαι, καὶ τὴν τροφὴν ἐν τῇ κοιλίῃ σχέθειν, καὶ εὔπνοον καὶ εὔσφυκτον τὸν νοσέοντα θέμεναι.

Ἢν δὲ ἐπὶ μέζω γίγνηται τάδε, ἐπὶ τῆς κοιλίης, καὶ τοῦ θώρηκος, τιθέναι. Καὶ τάδε ἔστω ὁκοῖα ἐς συγκοπὴν, φοίνικες ἐν οἴνῳ δεδευμένοι, ἀκακίη, ὑποκυστίς· τάδε ξὺν ῥοδίνῃ κηρωτῇ ἀναλαβόντα, ἐγχρίσαντα δὲ ἐς ὀθόνην, ἐπὶ τὴν κοιλίην τιθέναι. Ἐς δὲ τὸν θώρηκα, μαστίχην, ἀλόην, ἀψινθίου κόμην λείαν, ξὺν κηρωτῇ νάρδου ἢ οἰνάνθης, ἐπιπλάσαι ὅλῳ τῷ θώρηκι. Ἐς δὲ τοὺς πόδας καὶ τοὺς μύας, ἢν τιταίνωνται, σικυώνιον, γλεύκινον, ἢ παλαιὸν ἄλειφα, ξὺν κηροῦ σμικρῷ, χρίειν· ἐπιπάσσειν δὲ καὶ τοῦ κάστορος. Ἢν δὲ καὶ ψυχροὶ ἔωσι οἱ πόδες, καὶ τῷ διὰ τῆς λιμνήστιδος καὶ εὐφορβίου χρίειν ἀλείμματι· καὶ εἰρίοισι ἀμφελίσσειν· καὶ ψηλαφίῃ χειρῶν ἀπιθύνειν. Ἀλλὰ καὶ τὴν ῥάχιν, καὶ τοὺς τένοντας, καὶ τοὺς μύας τῶν σιηγόνων, τοῖσι αὐτέοισι χρίειν.

Κὴν μὲν ἐπὶ τοῖσι ἴσχηται μὲν ὁ ἱδρὼς καὶ ἡ γαστὴρ ὅ τε στόμαχος δέχηται τὰ σιτία καὶ μὴ ἐμέῃ, σφυγμοὶ δὲ μεγάλοι τε καὶ εὔτονοι ἔωσι, καὶ ἡ ξύντασις ἀπολείπῃ, θέρμη δὲ πάντῃ ἀναίρῃ καὶ ἐς τὰ ἄκρα ἀφίκῃ, ὕπνος δὲ πάντα πέσσῃ, δευτέρῃ ἡμέρῃ ἢ τρίτῃ λούσαντα, τρέπειν ἐς τὰ ξυνήθεα. Ἢν δὲ πάντα μὲν ἀπεμέῃ, ἱδρὼς δὲ ἄσχετος ῥέῃ, ψυχρὸς δὲ καὶ πελιὸς γίγνηται ὤνθρωπος, σφυγμοὶ δὲ πρὸς ἀπόσβεσιν ἔωσι, καὶ ἀπηυδήκῃ, ἀγαθὸν ἐν τοῖσι τοιουτέοισι εὐπρεπέα εὑρέσθαι φυγήν.

ad ἔστησε subiectum τὸν ἔμετον, vel τὰ μὴ ἰσχόμενα, est repetendum.

καὶ κάτωθεν ὀμφαλοῦ τρέπειν.] Petitus: «hoc, inquit, verbum τρέπειν videtur παρέλκειν." Haud ego consentio: nihil muto.

κίνησις αἰώρης.] Vulgo ὥρης. Iam Goupylus αἰώρης coniecit. Idem Petitus in MS. reperit, et a Wigano ex H. in O. introductum est.

θέμεναι.] Θήμεναι O. et Po.: sed H. θέμεναι; itaque non intelligo, quare θήμεναι Wiganus praetulerit!

ἢν δὲ ἐπὶ μέζω γίγνηται τάδε, ἐπὶ τῆς κοιλίης καὶ τοῦ θώρηκος τιθέναι.] Duo in hisce notanda: primum tmesin in ἐπὶ... τιθέναι: alterum ipsum hoc ἐπιτιθέναι per se sumtum pro ἐπίθημα τιθέναι.

ξὺν κηρωτῇ νάρδου ἢ οἰνάνθης, ἐπιπλάσαι ὅλῳ τῷ θώρηκι.] Νάρδου ferunt H. O. Pe. f. ναρδίνῳ vulgo; ναρδῖν A. Pa. — Ἐπιπάσαι Kühn.; ἐπιπάσσαι cett.; ἐπιπλάσαι dedi de coniectura Wigani et mea.

λιμνήστιδος.] Sic O. λημνίστιδος cett.

εἰρίοισι ἀμφελίσσειν.] Sic O. ex H. ἐρίοισι ἀ. cett.

ἀλλὰ καὶ τὴν ῥάχιν καὶ τοὺς τένοντας καὶ τοὺς μύας τῶν σιηγόνων τοῖσι αὐτέοισι χρίειν.] Omnes libri τῶν τε σιηγόνων. Otiosum τε delevi: primo suspicatus sum aliquid excidisse: iam certus paene sum factus τε abundare, collato initio cap. de signis Tetani: μύων τῶν ἐν γνάθοισι καὶ τενόντων τάδε πάθεα. Nempe spectantur ibi τένοντες οἱ τῆς ῥάχιος, adeo ut eaedem partes ibi coniungantur, quae loco nostro. Hinc patet τε in nostris his abundare. Deletum cupiit itidem Wiganus.

καὶ ἡ ξύντασις ἀπολείπῃ.] Ἀπολίπῃ Pe.

θέρμη δὲ πάντῃ ἀναίρῃ καὶ ἐς τὰ ἄκρα ἀφίκῃ.] Libri dant θέρμη δὲ καὶ πάντα (δὲ πάντῃ Po.) ἀναιρῇ καὶ τὰ ἄκρα ἀδικῇ. — Petitus ipse τὰ ἄκρα διήκῃ coniecit; tum refert Tarini coniecturam, pro ἀναιρῇ proponentis ἀναβῥέῃ. — Wiganus pro ἀδικῇ proponit ἀφίκῃ et de ἀναιρῇ, num ferri possit, dubitat. Equidem ἀναίρῃ ab intransitivo ἀναίρειν dedisse Aretaeum opinor; lubensque amplector Wigani ἀφίκῃ addita ante τὰ ἄκρα praepositione ἐς. — In vulgato καὶ πάντα forte latet lectio κατὰ πάντα.

λούσαντα τρέπειν ἐς τὰ ξυνήθεα.] Vulgo λύσαντα: alterum illud Goup. in varr. lectt. Firmavit Wig. locis e Paulo III. 39. ὑπνοῦν ἐπιτρεπτέον, μετὰ δὲ τὴν τελείαν πέψιν λουτροῖς χρηστέον. Et Alexandri VII. 14. παυσαμένης δὲ τῆς κενώσεως μετὰ τὸν ὕπνον, μηδὲ πυρετοῦ παρόντος, ἐπὶ τὸ λουτρὸν ἄγειν σπουδάζειν αὐτούς.

ἐν τοῖσι τοιουτέοισι.] Ita lego pro vulgato τοῖσι τουτέοισι. Sexcenties ista in medicorum libris confunduntur.

Cap. 5. ἡ ἔντασις καὶ πρῆσις.] Pro ἔντασις Wiganus fere desiderat ἔνστασις, adlato loco infra cap. 8. huius libri obvio ἢν ἐνστάσιες λίθων ἔωσι. — Equidem hunc locum nostro similem non habeo et, licet H. V. A. Pa. e. e. f. ἔνστασις praebeant, non recipio.

ὤκιστος ἠδὲ κάκιστος ὄλεθρος. μετεξέτεροι μὲν γὰρ ἀνελπίστως νοσέοντες θάνατον προφανέα μοῦνον ὀῤῥωδέουσι· οἱ δὲ ἐν εἰλεῷ πόνου ὑπερβολῇ θανάτου ἔρανται.] Vulgo οἱ δ' ἐν (δὲ ἐν Pe.) εἰλεῷ πόνοι ὑπερβολῇ κ. τ. λ. — Pro πόνοι dant πόνου V. F. idemque Crassum legisse dixeris. Petitus cod. V. lectionis ignarus, adeo desiderat πόνων ὑπερβολῇ. Contra Wig. confert nostri verba πόνος γὰρ, κἢν σμικρὸς ᾖ θάνατον ὀῤῥωδέει. e fine cap. 2. lib. II. de s. m. acut.; — quo loco collato editor Anglus vulgatam retinendam censet. — Mihi quidem locus, quem contulit, recte scriptus videtur, nec tamen vulgatam lect. eo, de quo iam agimus, servo. Quid enim? est antithesis in μετεξέτεροι μὲν.... οἱ δέ: nolim ergo non utrius-

ΘΕΡΑΠΕΙΑ ΕΙΛΕΟΥ.

Κεφ. ε'.

Ἐν εἰλεῷ πόνος ἐστὶ ὁ κτείνων ἐπὶ φλεγμονῇ ἐντέρων, ἢ ἔντασις καὶ πρῆσις. Ὤκιστος, ἠδὲ κάκιστος ὄλεθρος. μετεξέτεροι μὲν γὰρ, ἀνελπίστως νοσέοντες, θάνατον προφανέα μοῦνον ὀῤῥωδέουσι· οἱ δὲ ἐν εἰλεῷ πόνου ὑπερβολῇ θανάτου ἔρανται. Χρὴ ὧν μήτε σμικρότερόν τι γίγνεσθαι τὸν ἰητρὸν τοῦ πάθεος, μήτε βραδύτερον. ἀλλὰ, ἢν μὲν φλεγμασίην αἰτίην εὕρηται, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι μεγάλῃ τῇ σχάσι, ὅκως ἀθρόον διεκρέῃ τὸ αἷμα, τῆς φλεγμασίης ἡ τροφὴ, κἢν μέσφι λειποθυμίης. Τόδε γὰρ ἢ ἀπονίης ἀρχὴ γίγνεται, ἢ νάρκης ἐς ἀναισθησίην· ἀνάπνευσις δὲ ἐν εἰλεῷ, κἢν ὑπ' ἀγνοίης ἐς βαιὸν χρόνον ἔῃ, τοῦ πόνου ἀμβολή. ἐπεὶ καὶ τὸ θνήσκειν τοῖς μὲν ὧδε πονέουσι, εὐδαιμονίη· τῷ ἀρχιητρῷ δὲ οὐ θέμις πρήσσειν· θέμις δέ κοτε, προγιγνώσκοντα σαφῶς τὰ παρεόντα, ὡς οὐ φύξιμα, καρηβαρίῃ νωθρῇ εὐνᾶσθαι.

Ἢν δὲ ἄνευ φλεγμασίης, ἐπὶ διαφθορῇ, ἢ ψύξι κραταιῇ, γίγνηται ὁ εἰλεὸς, φλεβοτομίην μὲν ἴσχειν· τὰ δὲ λοιπὰ ἅμα πάντα πρήσσειν. Ἐμέειν ἀπὸ ὕδατος θαμινά· συχνὸν πίνειν ἔλαιον, εἶτα αὖθις ἐξεμέειν. Φύσας ἄγειν κάτω ἐρεθίσμασι· ἐρεθιστικὸν μὲν κυκλαμίνου χυλὸς, καὶ νίτρον, ἢ ἅλες· φυσέων δὲ ἀγωγὰ, κύμινον, ἠδὲ πήγανον. χρὴ ὧν πάντα ὁμοῦ ξὺν ῥητίνῃ τῇ τοῦ τερμίνθου διαχρίειν τάδε, καὶ σπόγγοισι πυριῆν, ἢ τοῖςδε ὑποκλύζειν ξὺν ἐλαίῳ καὶ μέλιτι, καὶ ὑσσώπῳ, καὶ κολοκύντης ἀγρίας τῆς σαρκὸς ἑψήματι. Κἢν ἐκκριθῇ κόπρος, αὖθις ἔλαιον θερμὸν ξὺν πηγάνῳ ἐνιέναι· τόδε γὰρ ἢν εἴσω μίμνῃ, πυρίημα τοῖσι ἐντέροισι εὐμενές. Τέγγειν δὲ τὰ πονέοντα χωρία ἐλαίῳ, ξὺν πηγάνῳ καὶ ἀνήθῳ ἅδην ἑψηθέντι. Ἔστω δὲ καὶ πυρίη, φακῶν τῶν κεραμήων, ἢ χαλκέων, ἢ κέγχρου καὶ ἁλῶν φωχθέντων. Ἐπιπλά-

que membri subiectum aegrotantes esse statuere, itaque πόνου ὑπερβολῇ longe praestare mihi videtur.

χρὴ ὧν μήτε σμικρότερόν τι γίγνεσθαι τὸν ἰητρὸν τοῦ πάθεος, μήτε βραδύτερον.] Pro τι Pb. τινά. Vulgo βραχύτερον. De meo βραδύτερον repono, ut spectet ad paulo superius positum ὤκιστος ... ὄλεθρος. Confero verba cap. 2. huius libri χρὴ ὧν τὸν ἰητρὸν τοῦ πάθεος ξυνεπείγειν μᾶλλον ἀρήγοντα. Mirum in modum Petitus σμικρότερον et βραχύτερον neutrius generis esse arbitratur, adeo ut pro ἰητρόν desideret ἰητήριον: festinanter legentis error esse videtur.

φλέβα τὴν ἐπ' ἀγκῶνι.] Τὴν φλέβα τὴν ἐπ' ἀ. Pb.

ὅκως ἀθρόον διεκρέῃ τὸ αἷμα, τῆς φλεγμασίης ἡ τροφή.] Ἀθρόως vulgo editur; sed ἀθρόον V. A. O. Pa. b. c. e. f. — Cett. διεκχέῃ τὸ αἷμα. — Crassus «effundatur.” Wiganus vel διεκχέηται αἷμα, vel διεκρέῃ τὸ αἷμα conicit. — Huic coniecturae tantam adhibeo fidem, ut lubens eam amplectar.

κἢν μέσφι λειποθυμίης.] Μέχρι h. l. Pa. b. e. f.

ἐπεὶ καὶ τὸ θνήσκειν τοῖς μὲν ὧδε πονέουσι εὐδαιμονίη.] Pro πονέουσι libri omnes πνέουσι. Dudum correxi priusquam videram Petitum et Wiganum in eandem incidisse coniecturam, quam ille fere rursus repudiavit. Equidem certum arbitror Aretaeum non πνέουσι sed πονέουσι scripsisse: etenim tum in proxime superioribus, tum in seq., καρηβαρίῃ νωθρῇ εὐνᾶσθαι, omnia ad dolorem referuntur.

προγιγνώσκοντα σαφῶς τὰ παρεόντα.] Σαφά vulgo: σαφῶς A. O.

καρηβαρίῃ νωθρῇ εὐνᾶσθαι.] Cf. verba e cap. 1. huius libri: ὅκως καὶ τὴν ταλαιπωρίην ὁ τῶν φαρμάκων καιρὸς εὐνάσῃ.

ἐπὶ διαφθορῇ.] Sic H. V. M. O.; — vulgo διαφορῇ: dudum Petitus Crassi «corruptionem” legens lect. nostram probavit.

χρὴ ὧν πάντα ὁμοῦ ξὺν ῥητίνῃ τῇ τοῦ τερμίνθου.] Pro τῇ V. τε. Vulgo πάντας: sed H. O. πάντα.

διαχρίειν τάδε.] Quare in O. pone διαχρίειν puncto maiore distinguatur, haud ego intelligo.

ἔστω δὲ καὶ πυρίη φακῶν τῶν κεραμήων, ἢ χαλκέων.] Κεραμίων Pa. b. d.; κεραμέων Pe. f.; κεραμίων (sic) Pc., ε autem a correctore. — De re ipsa vide ante omnes Foës. in Oecon. voce φακός. — Cf. Petitum ad h. l. — Ipse ad Hipp. de victu ac. Sorani verba citavi huc facientia.

ἐπιπλάσματα πρὸς τοῖσι ξυνοῖσι ἔστω.] Ξὺν οἷσι dant

σματα πρὸς τοῖσι ξυνοῖσι ἔστω αἶρης ἄλητον καὶ κύμινον καὶ ὑσσώπου, ἢ ὀριγάνου κόμη. Σικύαι δὲ κοῦφαι μὲν, συχναὶ δὲ, ἄλλῃ πρὸς ἄλλας τιθεμένη, ἐς τὸ ἐπιγάστριον, ἐς τὰς ἰξύας, μέσφι ϐουβώνων· ἠδὲ κατόπιν ἐς ἰσχία πρὸς νεφροὺς καὶ ῥάχιν· πάντη γὰρ ἀντισπᾷν τὸν πόνον ξυμφέροι. Προπίνειν δὲ κυμίνου, ἢ πηγάνου ἀφεψήματος, καὶ τοῦ σίσωνος, ἢ ξὺν τουτέοισι τῶν φαρμάκων τῶν ἀνωδύνων τινά· μυρία δὲ ἄλλοισι ἄλλα πείρῃ γεγόνασι πιστά· ἀγαθὸν δὲ καὶ τὸ δι' ἐχιδνῶν φάρμακον, μέζον τοῦ μέτρου πρὸς τὸ ξύνηθες ποθέν. Ἢν δὲ μήτε ὁ πόνος ἐνδιδῷ, μήτε φῦσα, μήτε κόπριον ἀναδοίη, τῆς ἱερῆς ὑπ' ἀνάγκης διδόναι. ἢ γὰρ ὑπηλάθη ξὺν φλέγματι καὶ χολῇ τὸ φάρμακον, ἢ διῆλθε ἐξάγον φύσας, σκύβαλα, φλέγμα, χολὴν, τοὐκ ακοῦ τὰς ἐντάσιας. Τροφὴ διεξάγουσα· ζωμοὶ ἀλεκτορίδων, κογχαρίων, πτισάνης ὁ χυλὸς κάθεφθος, ξὺν πολλῷ λίπαϊ ἀρχῆθεν προσεγχυθέντι τῆς ἑψήσιος· ξυνεψεῖν τῷδε κύμινον, νίτρον, πράσον ξὺν τῇ κόμῃ. Ἡ ἰητρείη ξὺν ζώμῳ τινι διαχωρητικῷ· κοχλίαι ἄκρως ἑφθοὶ καὶ ὠυτῶν δὲ χυμὸς, ἢ τελλίνης. Ὕδωρ ποτὸν, ἢν πυρεταίνῃ, ξὺν ἀσάρῳ, ἢ νάρδῳ, ἢ κάχρυ ἑψηθέν· καὶ γὰρ φύσης ἀγωγὰ, καὶ οὐρητικὰ, καὶ εὔπνοα. Ἢν δὲ ἄπυρος ἔῃ, καὶ οἶνος, ἔς τε τὴν τῶν ἐντέρων θέρμην, ἀτὰρ ἠδὲ ἐς ἀνάκλησιν τῆς δυνάμιος, ἀρήγει· καὶ μαράθρου ῥίζης ἕψημα ποθὲν, καὶ ἀδίαντον, καὶ κινάμωμον.

Ἢν δὲ ἐς ἀπόστασιν τρέπηται ἡ φλεγμασίη, τῇδε ξυμβάλλειν ἄμεινον, τοῖσι ἐς ἀπόστασιν φαρμάκοισι χρεόμενον. γεγράφαται δὲ τάδε ἐν τοῖσι χρονίοισι, ἔνθα κωλικῶν ἡ θεραπείη ἐγράφη.

libri, ξυνοῖσι exhibeo de coniectura Petiti, Wigani et mea. Wiganus emendationem firmat Aetii verbis imperantis Satyriasi affectos ἐπιπλάσσειν τοῖς κοινοῖς καταπλάσμασι.

μέσφι ϐουβώνων.] Μέχρι ϐουβώνων. Pb.

πάντη γὰρ ἀντισπᾷν τὸν πόνον ξυμφέροι.] Libri omnes πάντη γὰρ ἂν τις πάντα πόνον ξυμφέροι. Recepi simplicissimam verissimamque Wigani corruptorum emendationem.

καὶ τοῦ σίσωνος.] Libri καὶ τοῦ σίνωνος: itidem Crassus «Sinonis." — Unusquisque facile videt σίσωνος latere in vocabulo corrupto: ego postquam correxeram, Petitum dudum emendationem occupasse vidi. — Sisonis mentio facta optime quadrat cum enumeratis cymino et ruta.

μυρία δὲ ἄλλοισι ἄλλα πείρῃ γεγόνασι πιστά.] Simili huic formula usus est noster cap. 2. huius libri: μυρίαι δὲ καὶ ἄλλοισι ἄλλαι πείρῃ ἔασι πισταί.

μέζον τοῦ μέτρου πρὸς τὸ ξύνηθες ποθέν.] Cum hac formula confer alteram cap. 3. huius libri obviam: ὅκως εὐμετρίης ὀλίγῳ μέζω.

μήτε φῦσα, μήτε κοπρίον ἀναδοίη.] Tenendum ἀναδοίη h. l. intransitive poni sicuti apud Herod. VII. 26. ἵνα αἱ πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου.

τῆς ἱερῆς ὑπ' ἀνάγκης διδόναι.] Libri omnes τοῦ καθαρτηρίου τῆς ἱερῆς κ. τ. λ. — Equidem, ut aliis locis, glossam τοῦ καθαρτηρίου delevi.

ἢ γὰρ ὑπηλάθη ξὺν φλέγματι καὶ χολῇ τὸ φάρμακον.] Libri omnes ἀπηλάθη: sed certo certius ὑπηλάθη scripsit Aretaeus, modo cogitemus nomen ὑπήλατα apud Hipp. de victu ac. § 23. mihi. Cf. adn. p. 106. l. l. Itaque de coniectura ὑπηλάθη exhibui.

κογχαρίων.] Ad hoc vocabulum Pd. in marg. ἐχόντων μὲν κάλλος et Pe. in marg. τῶν ἐχόντων μὲν κάλλος. Hinc Crassus: «ostreorum parvorum insigni pulchritudine praeditorum." — Petitus ad haec Crassi Latina: «sufficiebat, inquit, *parvorum ostreorum:* quod de pulchritudine eorum addit, superfluum est et fortasse falsum." Verosimiliter Petito incognitum erat additamentum illud in codd. nonnullis obvium.

κάθεφθος.] V. Pa. c. d. e. f. κάτεπτος. A. Pb. κάθεπτος. Latetne in hisce Ionismus κάτεφθος?

ἡ ἰητρείη.] Ita de meo scripsi: cett. ἢ ἰητρείη.

ξυνεψεῖν τῷδε κύμινον, νίτρον, πράσον ξὺν τῇ κόμῃ.] Libri ἔχειν ὧδε κύμινον, νίτρον κ. τ. λ. — Ad ὧδε Wiganus «an recte?" quaerit. — Mihi ἔχειν ὧδε sensu cassum videtur et credo ξυνεψεῖν τῷδε scripsisse auctorem: nempe in ἔχειν latet, me iudice, ἑψεῖν, praepositio vero interiisse videtur compendio in fine nominis antecedentis ἑψήσιος. — Conf. nempe locus e cap. 2. lib. I. de cur. m. acut.: ἀτροφίη κακὸν — ἐν πάσῃ τῇ νούσῳ.

ὠυτῶν.] Ὤτων Pa. c. e. f.

ἢ τελλίνης.] Τῆς τελλίνης H. τῆς ἰτελλίνης Po. et ex his Pe. in marg. τόπος; falso hoc, sed hac de re videbimus in excursu de auctoris apparatu diaetetico et pharmaceutico.

ἢ κάχρυ.] Ἢ κάγχρυϊ H. ἢ κάγχρυ V. et ita corrigitur in Pb.

καὶ εὔπνοα. Ἢν δὲ ἄπυρος ἔῃ.] Pro ἄπυρος, vulgo editur ἄπνος: sed H. V. A. Pa. b. d. e. f. ἄπονος habent; Kühn. ἄπνοος. Crassus ἄπονος vidit. Cum Wigano consentio ἄπυρος requirente, quum praecedat ἢν πυρεταίνῃ. Itaque istud recepi.

κινάμωμον.] Kühn κιννάμωμον, et ita corrigitur in Pb. ἀδιάντου καὶ κιναμώμου Pc.

ἔνθα κωλικῶν ἡ θεραπείη ἐγράφη.] Articulis ἡ in O. e V. receptus est: cett. omittunt.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΟ ΗΠΑΡ ΟΞΕΩΝ ΠΑΘΩΝ.

Κεφ. ϛ'.

Ἐν ἥπατι τοῦ αἵματος ἡ γέννα, καὶ ἐς τὸ πᾶν ἔνθεν ἡ τοῦδε ἄφεσις· καὶ τὸ ξύμπαν ἧπαρ, ὁκοῖον αἵματος πάγος. Ὀξύνται ὦν αἱ τῇδε φλεγμοναί. ἐγκέεται γὰρ τῷ χωρίῳ τῷδε ἡ τροφή. Ἢν μὲν ἑτέρωθί πῃ φλεγμονὴ συστῇ, οὐ κάρτα γίγνεται ὀξέη· νέη γὰρ ἡ τοῦ αἵματος ἐπιῤῥοή. Ἐπὶ δὲ τῷ ἥπατι, οὐ χρέος ἑτέρωθεν ἥκειν. ἢν γάρ τις ἔμφραξις τὰς ἐξόδους ἐπίσχῃ, πίμπραται τὸ ἧπαρ τῆς ἐκροῆς ἀμερθέν· ὁ δὲ τῆς τροφῆς εἴςρους ἐς τὸ ἧπαρ ἔτι μίμνει· οὐχ ἑτέρη γὰρ ὁδὸς τῆς τροφῆς ἐς τὸ πᾶν σκῆνος, ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων.

Εὐπόρως ὦν χρὴ τὴν κένωσιν ἐμποιέειν· τάμνοντα φλέβας τὰς ἐπ' ἀγκῶνι· συχνὸν μὲν ἀφαιρέοντα, μὴ ἀθρόον δέ. Ἀποσιτίη μὲν τὰ πρῶτα· ὀλιγοσιτίη δὲ αὖθις, ὅκως καὶ τοῖσι εἰςιοῦσι τὸ ἧπαρ κενεὸν ᾖ. Χρὴ δὲ καὶ τοῖσι ἐπιθέτοισι διασκιδνάναι τὰ ἐν τῷ ἥπατι στηριχθέντα. Τέγξις μὲν ὦν ξὺν ἀλόῃ ἢ νίτρῳ· εἴρια πινόεντα οἰσύπῳ. Χρέος ὦν ἐμψύξιος, οὕνεκα τῷ αἵματι αἴθεται τὸ ἧπαρ· θερμὸν γὰρ τὸ αἷμα. Τοιάδε χρὴ καὶ τὰ ἐπιπλάσματα ἔμμεναι. ἀλήτων μὲν αἰρίνου, ἢ ἐρυσίμου, ἢ κριθῆς, καὶ λίνου σπέρματος· χυμῶν δὲ, οἴνου ὀξέος, μήλων τοῦ χυλοῦ, ἑλίκων τῆς ἀμπέλου, οἰνάνθης τῆς ὡραίης, ἢ τοῦ ξὺν τῇδε λίπαος. Πυρίῃ σπόγγοισι καρποῦ δάφνης ἑψήματος, σχίνου, γλήχωνος, ἴριδος.

Cap. 6. *ἐν ἥπατι τοῦ αἵματος ἡ γέννα, καὶ ἐς τὸ πᾶν ἔνθεν ἡ τοῦδε ἄφεσις· καὶ τὸ ξύμπαν ἧπαρ, ὁκοῖον αἵματος πάγος.*] Vulgo in hisce *ἡ τοῦ * ἀφεψή.* H. *ἡ τοῦ ἀφε*; V. *ἡ τοῦ ἀφη*; Pb. *ἡ τούτου ἀφέψησις*; Pc. *e. f.* *ἡ τοῦ ἀφε ...... καί.* — Cod. Paris. *b.* lectio non admodum placet: sed *τούτου*, quod ad sensum attinet, verum esse existimo, ita ut pro eo auctori usitatius *τοῦδε* reponam. In corrupto et truncate vocabulo non credo latere *ἀφέψησις* sed *ἄφεσις*: nam in cap. de signis huius morbi: *ἐντεῦθεν γάρ*, inquit, *τοῦ αἵματος αἱ ἀφέσιες.* His de causis *ἐς τὸ πᾶν ἔνθεν ἡ τοῦδε ἄφεσις* repono. Petitus: *καὶ ἐς τὸ πᾶν ἔνθεν ἡ τοῦ αἵματος ἄφεσις* tentat ad ductum Latinorum Crassi: « et in totum sanguinis a iecore emanatio."

ἐγκέεται γὰρ τῷ χωρίῳ τῷδε ἡ τροφή.] Pa. *b. c. e. f.* *ἐγκέαται.* Adpono propterea, quod mox de meo similem librariorum errorem corrigere sum coactus.

ἢν μὲν ἑτέρωθί πῃ κ. τ. λ.] Illud *ἢν μέν* h. l. me offendit, requiro pro auctoris solita orationis facilitate particulam, qua haec cum superioribus arctius copulentur v. c. *κἢν μὲν ἑτέρωθι.*

ὀξέη.] Sic O, Po. *ὀξείη* vulgo: utrumque Ionicum.

νέη γὰρ ἡ τοῦ αἵματος ἐπιῤῥοή.] Vulgo *νέει* editur. Sed *νέη* habet H. — Crassus « advena est enim sanguinis accursus." — Wigani Latina non aperte quid voluerit indicant, neque vero ex eius adnot. constat. — Bern. ad Nonnum I. p. 52. *νέη* corrigit. Mihi *νέη* unice verum videtur, nec quidquam aliud praeter hoc requiro.

τῆς ἐκροῆς ἀμερθέν.] Ad *ἀμερθέν* V. Pe. in marg. *χωρισθέν* Pd. in marg. *ἤγουν χωρισθέν.*

οὐχ ἑτέρη γὰρ ὁδὸς τῆς τροφῆς ἐς τὸ πᾶν σκῆνος ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων.] Libri omnes negationem *οὐχ* omittunt: item Crassus neglexit. Petitus eam non adpositam videns, neque in hanc emendationem incidens locum non intelligere se significat. Egregie Wiganus: « Legendum, inquit, *οὐχ ἑτέρη*, ex praecedentibus evidenter apparet." — Certissimam emendationem non recipere nolui.

χρὴ δὲ καὶ τοῖσι ἐπιθέτοισι διασκιδνάναι τὰ ἐν τῷ ἥπατι στηριχθέντα.] Libri omnes *τὰ ἐν τῷ ἥπατι στήθεα.* — Crassus « quae in iecore acervata sunt." Reddidit quod sensus requirere sibi videbatur. Interpretum nullus *στήθεα* intellexit, omnes vero hoc nomen offendit. Petitus tentat *στείνεα*, *στενά*, collato loco Diosc., qui huc nihil facit; tentat *σίνεα* et *σταῖτα*! Nihil horum tolerabile. Wiganus *σταθέντα* et *στηριχθέντα* tentat, quorum hoc maxime arridet, ita ut recipiam, ut certe congruus sensus e textu eliciatur. Locum tamen, quia de emendatione dubito, admodum eruditorum curis commendo.

ξὺν ἀλόῃ ἢ νίτρῳ.] Νίτρῳ Pb. *λίτρῳ* cett.

ἀλήτων μὲν αἰρίνου, ἢ ἐρυσίμου, ἢ κριθῆς, καὶ λίνου σπέρματος· χυμῶν δὲ, οἴνου ὀξέος κ. τ. λ.] Vulgo: *ἀλιτων* (O. *ἀλήτων*) *αἰρίνων ἢ ἐρυσίμων.* Sed. Pa. *b.* *ἀλήτω* (Pa. *ἀλίτω*) *μὲν αἰρίνω* (Pa. *ἐρίνω*) *ἢ ἐρυσίμω.* — Libri vero omnes *χυμῶν.* — Solet sing. num. *ἄλητον* dici; itaque plur. num. *ἀλήτων* significat plures *ἀλήτου* species enumerari: haec ratio est, cur *αἰρίνου* scripserim; nam prima species est *ἄλητον αἴρινον*, altera *ἄλητον ἐρυσίμου σπέρματος*, tertia *λίνου σπέρματος.* — Vides quare *ἐρυσίμου* sing. num. scripsi; nempe *ἐρύσιμον* non est adiectivum, sed nomen plantae.

Ἐπὴν δὲ τουτέοισι πρηΰνης, σικύην προςβάλλειν μέζονα, ὡς ἀμφιλαβεῖν πάντη τὸ ὑποχόνδριον. ἐντάμνειν δὲ βαθύτερα, ὡς πολλὸν ἑλκύσειας αἷμα. Μετεξετέροισι δὲ αἱ βδέλλαι, ἢ σχάσαι, κρέσσον. παρειςδύεται γὰρ τοῦ ζώου ἡ δῆξις, ἀτὰρ ἠδὲ μέζονας διαβρώσιας ποιέεται. τῇδε καὶ δυςεπίσχετος ἡ ἀπὸ τῶν ζώων αἱμόῤῥοια. Κῆν ἅδην πιὸν ἐκπέσῃ τὸ θηρίον, σικύην προςβάλλειν· νέρθεν γὰρ ἕλκει τὸ νῦν. Κῆν ἅλις ἔχῃ κενώσιος, ἐς μὲν τὰ τρώματα ἰσχαίμοισι χρέεσθαι ἀδήκτοισι, ἀραχνίων ὑφάσμασι· μάννης, ἀλόης ἐπιπάσσειν· ἠδὲ ἄρτῳ ἑφθῷ ξὺν πηγάνῳ, ἢ μελιλώτῳ, ἀλθαίης ῥίζῃσι. ἐς δὲ τὴν τρίτην ἡμέρην, κήρωμα ξὺν μυροβαλάνῳ, ἢ ἀψινθίου κόμῃ καὶ ἴριδι. Ἀτὰρ καὶ τὰ μαλάγματα τοιάδε χρὴ ἔμμεναι· ὁκοῖα λεπτῦναι, ἢ ἐξαραιῶσαι, ἢ οὔρησιν τρέψαι. ἄριστον μὲν ὦν τὸ διὰ τῶν σπερμάτων, ὧν ἅπασι ἰητροῖσι ἡ πείρη εὔγνωστος· ἀγαθὸν δὲ καὶ ἔνθα ἢ σάμψυχον, ἢ τὸ μελίλωτον ἐγκέεται.

Τροφαὶ δὲ λεπταὶ, εὔδρομοι, οὐρήσιος προκλητικαὶ, εὐδίοδοι· χόνδροι ξὺν μελικρήτῳ, καὶ ῥόφημα ἐκ τῶνδε ξὺν ἁλσὶ ἠδὲ ἀνήθῳ. πτισάνης δὲ χυλὸς καὶ σμηγματώδης· ἢν δὲ καὶ δαύκου τοῦ καρποῦ ἐγχέῃς τι, κρέσσον ἐς οὔρησιν· ὑπεξάγει γὰρ διὰ τῶν ὀχετῶν, οἵπερ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσι· καιρίη δὲ τοῖσι ἀπὸ ἥπατος ἐκρέουσι ἡ τῇδε ἔξοδος, εὐρύτητί τε τῶν ἀγγείων, καὶ ἰθύτητι τῆς ὁδοῦ. Χρὴ ὦν καὶ σικύῃ τῇδε ἕλκειν, ἐς τὴν χώρην προςβάλλοντα τῶν νεφρῶν, κατ' ἰξύων. Ἀτὰρ καὶ τέγγειν τάδε λίπαϊ ξὺν πηγάνῳ, ἢ σχοίνῳ, ἢ καλάμῳ τῷ ἀρωματικῷ. Ἐπὶ δὲ τοῖςδε ἐλπὶς, τὸν νοσέοντα διαδρῆναι τὸν ὄλεθρον.

Ἢν δὲ ἐς ἐμπύησιν τρέπηται, τοῖσι πυοποιοῖσι χρέεσθαι, ὁκόσα μοι ἐπὶ κωλικοῖσι

καρποῦ δάφνης.] Δαφνῆς Kühn. — *δάφνου* V. *Pc. d. e. f.*

παρειςδύεται γὰρ τοῦ ζώου ἡ δῆξις.] Γάρ h. l. de meo exhibeo: cett. *δέ*. — Etiam Crassus et Wiganus Latine expresserunt *γάρ*.

νέρθεν γὰρ ἕλκει τὸ νῦν.] Illud *νέρθεν* idem indicat quod alii *ἐκ βάθους* dicunt. Infra cap. 11.: *ἄρισται δὲ καὶ βδέλλαι νέρθεν ἑλκύσαι αἷμα.* Ceterum praeterire non licet Petiti verba, docte hunc locum in vitii suspicionem adducere conantis: « Alienum, inquit, plane ab hoc loco adverbium temporis *νῦν*. Scribe *ἰὸν virus.* Postquam hirudines deciderunt, cucurbitulam affigi iubet; ut, si quid virulenti relictum sit, trahatur. Galenus, *μετὰ δὲ τὸ ἀποπεσεῖν σικύᾳ χρὴ τὸ ἰῶδες ἐξέλκειν.*" — Quae laudat Galeni verba occurrunt lib. *περὶ βδελλῶν κ. τ. λ.* haud procul ab initio. — Sed mihi *τὸ νῦν* ineptum esse non videtur. Ex altero illo, quem e cap. 11. adtuli, loco patet, Aretaeum credidisse inprimis hirudines sanguinem *νέρθεν ἕλκειν*, itaque curcurbitulam etiam *νέρθεν ἕλκειν*, cum loco applicetur, unde hirudo deciderit. Consentienter ergo secum noster dixit: *νέρθεν γὰρ ἕλκει τὸ νῦν.* — Alia fuit Galeni mens, qui l. l.: *γινώσκειν δὲ χρή*, inquit, *ὡς αἱ βδέλλαι οὐ τὸ ἐν τῷ βάθει ἕλκουσι αἷμα, ἀλλ' αὐτὸ τὸ παρακείμενον τῇ σαρκὶ εἰςμύζουσιν.* — Cum isto *τὸ νῦν*, de quo Petitus dubitat, contulisse iuvabit verba e cap. de cur. phthisios: *ἀπὸ δὲ τῆς αἰώρης, ἐφησυχάσαντα, χρίεσθαι νῦν λιπαρῷ λίπαϊ.* Cf. etiam verba e cap. de cur. *σκοτωματικῶν*: *ἀτὰρ καὶ τὸ φλέγμα λεπτότερον νῦν γίγνεται.* — Vides, quod vir doctus absonum putabat, cum nostri orationis usu vel maxime congruum esse.

ἰσχαίμοισι.] Libri *ἰσχαίμασι*, quod a quo recto sit ducendum, non video. Exhibeo, quod dudum desideravit Goupylus.

μάννης, ἀλόης ἐπιπάσσειν.] Vulgo *μάννῃ, ἀλόῃ*: sed H. V. A. *Pa. c. d. e. f.* *μάννης* H. *ἀλόης.* Unice verum est *μάννης, ἀλόης ἐπιπάσσειν.*

ἢ σάμψυχον, ἢ τὸ μελίλωτον ἐγκέεται.] Vulgo *ἡ σάμψυχος*; *Pe.* *ἥ*, et *Pb.* *σάμψυχον.* Diosc. *σάμψυχον.* — Omnes reliqui *ἐγκέαται*: requiro sing. num. *ἐγκέεται*, itaque reposui. Nempe sexcenties librarii talia confundunt.

ἢν δὲ καὶ δαύκου τοῦ καρποῦ ἐγχέῃς τι.] Vulgo *ἐγχέῃ τι* V. *ἐγχέῃ τις.* — H. *ἐγκέῃ τι.* — A. *ἐγχεῖν τι.* — Wiganus ad vulgatam: « Non, inquit, nisi de liquidis dicitur *ἐγχέειν.* An itaque *ἐγκέαται*, ut supra." Primo quidem certe *ἐγκέεται* substituere illum oportebat: sed praeterea neque offendit *ἐγχέειν* de semine, eoque tenui, quale Dauci. — Lenissima medela *ἐγχέῃς τι* scripsi de coniectura.

οἵπερ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσι.] Petitus ad haec verba: « Nisi, inquit, benigne exponantur, pro falsis explodi oportebit: ita enim sonant, quasi velit Aretaeus proprios esse et directos meatus ab hepate ad renes, quod esse falsum nemo nescit: Venae enim emulgentes dictae non a iecore, sed a cava nascuntur, et mediante hac a iecore." Cf. quae in prolegomenis monui de Aretaei circa vasorum ortum opinione.

καιρίη δὲ τοῖσι ἀπὸ ἥπατος ἐκρέουσι ἡ τῇδε ἔξοδος.] *τοῖς* vulgo, *τοῖσι* Pf., qui *ἀπὸ τοῦ ἥπατος.* O. *τοῖςδε*, sed error est profecto typographicus.

ἐς τὴν χώρην προςβάλλοντα τῶν νεφρῶν, κατ' ἰξύων.] Vulgo *χώραν*, sed O. *Pc. d. e. f.* *χώρην.* — Omnes *κατ'* (V. A. *ες*) *ἰσχίον.* — Miror hoc fugisse interpretes;

λελέξεται. Ἢν δὲ καὶ πῦον γένηται, ὅκως μὲν τάμνειν, ὅκως δὲ ἰητρεύειν, ἄλλῃ πῃ γεγράψεται. Τάδε μοι καὶ ἐπὶ σπληνὶ γεγράφθω, ἥν κοτε ξυμφορὴ φλεγμασίης ὀξέης καὶ τόνδε καταλάβῃ.

ΘΕΡΑΠΕΙΑ ΝΩΤΙΑΙΑΣ ΦΛΕΒΟΣ ΚΑΙ ΑΡΤΗΡΙΗΣ ΟΞΕΙΗΣ ΝΟΥΣΟΥ.

Κεφ. ζʹ.

Τὴν τῆς κοίλης φλεβὸς φλεγμασίην καὶ παχείης ἀρτηρίης, αἳ παρὰ τὴν ῥάχιν τέτανται, καύσου ἰδέην ἐκάλεον οἱ πρόσθεν. Καὶ γὰρ καὶ καύσοισι ἴκελα πάθεα ἐπὶ τοῖσι γίγνεται. πῦρ ὀξὺ καὶ δριμύ· ἄση, δίψος, ἀπορίη· σφυγμὸς παλμώδης ἐν ὑποχονδρίῳ, ἠδὲ τοῖσι μεταφρένοισι· ἄλλα, ὁκόσα μοι ἐπὶ τοῖσι σημηΐοισι γεγράφαται. Ἀτὰρ καὶ ἐς ξυγκοπὴν ὀκέλλει τὸ πῦρ, ὅκως ἐπὶ τοῖσι καύσοισι. τῆς μὲν γὰρ φλεβὸς ῥίζωσις, ἧπαρ· τῆς δ᾽ ἀρτηρίης ἀρχὴ, κραδίη. Δοκέοις ἂν ὦν μὲν τὰ ἄνω μέρεα τῶνδε τῶν σπλάγχνων νοσέειν τὰ καίρια· θέρμην μὲν γὰρ ἡ κραδίη ἐνδιδοῖ τῇ ἀρτηρίῃ, τῇ φλεβὶ δὲ τὸ ἧπαρ αἷμα. ἀμφοῖν δὲ μεγάλοιν, μεγάλα τὰ ἔγγονα αἱ φλεγμοναί.

Τάμνειν ὦν αὐτίκα τὰς ἐπ᾽ ἀγκῶνι φλέβας· καὶ συχνὸν μὲν ἀφαιρέειν αἷμα, μὴ ἀθρόον δὲ, ἀλλὰ καὶ δὶς, καὶ τρὶς, καὶ τῆς ἄλλης ἡμέρης, ὡς μεσηγὺ ἡ δύναμις ἀναιθύσσῃ. Ἔπειτα ἐπιπλάσμασι χρέεσθαι, καὶ σικύῃ ἐς τὸ ὑποχόνδριον, ἔνθα ἡ διάσφυξις τῆς ἀρτηρίης. ἀτὰρ ἠδὲ μεσηγὺ τῶν ὠμοπλατέων, καὶ γὰρ καὶ τῇδε σφύξιες ἔασι. σχάζειν τε ἀφειδῶς, ἠδὲ πολλὸν ἀφαιρέειν αἷμα· οὐ κάρτα γὰρ ἐκ τῆς

neque enim ἰσχίον locus est, ubi ren situs sit. Lenissima adhibita medela κατ᾽ ἰξύων reposui. Cf. Oecon. Hipp. in hac voce.

ξὺν πηγάνῳ, ἢ σχοίνῳ.] Σχίνῳ H. Pb.

διαδρῆναι.] Sic H. Pc. d. e. f. διαδράναι vulgo: διαδρᾶναι Kühn. — Ionismum recepi.

φλεγμασίης ὀξέης.] Sic O. Pa. b. d. e. f. ὀξείης vulgo editur.

Cap. 7. καὶ ἀρτηρίης ὀξείης νούσου.] Ὀξείας vulgo: ὀξείης dant Pc. d.

καύσου ἰδέην.] Καύσοισι ἰδέην H. V. G. v. l. Pa. c. d. e. f. καύσῃσιν l. Pb. E postrema lect. patet non immerito nos infra καύσεσι eiicere et tanquam librariorum errorem explodere.

καὶ γὰρ καὶ καύσοισι ἴκελα πάθεα.] Posterius καί om. Pb.

ἄλλα, ὁκόσα μοι ἐπὶ τοῖσι σημηΐοισι γεγράφαται.] Cett. ἄλλα μοι ὁκόσα κ. τ. λ. — Verborum ordinem inverterant librarii, quapropter pristinum restitui. Unus Pd. σημηΐοισι. Cett. σημείοισι.

ὅκως ἐπὶ τοῖσι καύσοισι.] Ἐπὶ τῇσι καύσεσι edi solet. Sed libri variant: H. τῇσι καύσοισι, V. Pa. τοῖσι καύσεσι. Pc. τῇσι καυσΐσι (sic) [οι], Pe. τοῖσι καύσωσι, Pf. τοῖσι καύσρισι, et ita corrigitur in Pb.

τῆς δ᾽ ἀρτηρίης ἀρχὴ κραδίη.] Vulgo editur ἀρχῆς κραδίη: sed ἀρχὴ κραδίη H. V. O. ἀρχὴ καρδίη Pc. d. e. f.

τὰ καίρια.] Τὰ κύρια Pb.

τὰ ἔγγονα.] De hac voce cf. Jacobs ad Aelian. I. 18. cett.

ἀλλὰ καὶ δίς.] H. l. καί om. Pf.

ὡς μεσηγὺ ἡ δύναμις ἀναιθύσσῃ.] Omnes edd. ὡς μ. ἡ δύναμις ἀναλάβῃ. — Sed animadvertere oportet lectionis varietatem: ἀναβάλλῃ A. V. in marg.; ἀνεσύθη H.; ἀνεθύσσῃ V. Pc. d. e. f. — Pd. in marg. ἤγουν ἀναβάλλῃ; Pe. in marg. ἀναθάλλῃ. — Longe certissimum igitur ἀναιθύσσῃ scripsisse Aretaeum, ceteras lectiones hoc verbum corruptum referre, vel eiusdem interpretationes, easque itidem pro parte corruptas. Conferri possunt Hesych., Etym. m.

καὶ σικύῃ ἐς τὸ ὑποχόνδριον ἔνθα ἡ διάσφυξις τῆς ἀρτηρίης.] Libri omnes ἔνθα ἡ διάφυσις τῆς ἀρτηρίης, ad quam lect. Petitus: « Scribe, inquit, διάσφυξιν τῆς ἀρτηρίης: non enim agitur hic de interstitio, aut re quapiam intercurrente interpositaque, quae notiones huius vocis διάφυσις traduntur; sed pulsationis arteriae, quam supra inter morbi, de quo agit, symptomata commemoravit.” Rectissime vir egregius haec monet: supra enim noster σφυγμὸς παλμώδης ἐν ὑποχονδρίῳ, ἠδὲ τοῖσι με-

κενώσιος τῶνδε λειποθυμέουσι ὤνθρωποι. Ἰσχομένης δὲ καὶ γαστρὸς πολλόν τι μᾶλλον τοῦ ξυνήθεος, κλυσμοῖσι ἐς ὄλισθον χρέεσθαι μαλθακοῖσι, δριμέσι δὲ ἥκιστα· ἐπιπυρεταίνουσι γὰρ οἵδε ἅλμῃ καὶ νίτρου τήξι. λίνου ὦν καρποῦ χυλὸς ἔστω, καὶ τήλιος, καὶ μαλάχης τῶν ῥιζῶν ἕψημα, ἐς πρόκλησιν καὶ δῆξιν ἱκανόν. Μέλη ἄκρεα τεθάλφθωσαν γλευκίνῳ, ἢ σικυωνίῳ λίπαϊ, ἢ τῷ διὰ τῆς λιμνήστιδος χρίσματι. κάρτα γὰρ ψυχρὰ αὐτῶν τάδε γίγνεται. Πιπίσκειν τε πρὸ τῶν σιτίων ὁκόσα οὖρον ἐξάγει· μῆον, ἄσαρον, ἀψίνθιον· ἐμπασσέσθω δὲ καὶ νίτρου· πάντων δὲ κράτιστον, κασσίη καὶ κιννάμωμον, ἥν τις εὐπορῇ. Γάλα τοῖσδε καὶ τροφὴ καὶ φάρμακον. ἐμψύξιος γὰρ δέονται, ἔνδον ὁκοῖόν τι πυρὸς εἰλευμένου· καὶ τροφῆς γλυκείης, ἀτὰρ ἠδ᾽ ἐν ὀλίγῳ ὄγκῳ πολλῆς. τάςδε μέντοι ἐν τροφῇ τὰς ἀρετὰς ἴσχει τὸ γάλα. εὐπορείσθω δὲ ὄνου νεοτόκου, καὶ ἐς δύο κυάθους τοῦ γάλακτος ἐμβεβλήσθω εἷς ὕδατος· ἄριστον δὲ καὶ τὸ τῆς βοός. τρίτον δὲ αἰγός. Τροφαὶ εὔπεπτοι· τὰ πολλὰ χυλοί, μαράθρου ῥίζης, καὶ σελίνου καρπὸς ἐμβεβλήσθω, καὶ μέλι· καὶ τὸ ὕδωρ δὲ τὸ πινόμενον ἐχέτω τάδε.

Ἀτὰρ καὶ ἱδρῶτας χρὴ κινέειν, καὶ πάντη διαπνοὰς ὑγρὰς καὶ εὐρόους ποιέειν. Τέγξις κεφαλῆς, ὁκοῖον ἡ ἐν καύσοισι. Ἐπίθημα ἐς θώρηκα, καὶ μαζὸν ἀριστερὸν, ὁκοῖον ἐν συγκοπῇ. Κοίτη, κατάκλισις ὄρθιος, ὅκως ἴκελα πάντα τοῖσι ἐν καύσοισι ᾖ. Αἰώρη σμικρὴ, ἐς ἱδρώτων πρόκλησιν· ἠδὲ λουτρὸν, ἣν οὗτος ὑπεκκαυθῇ. οὐ γὰρ κρίσεσι τάδε τὰ πάθεα λύεται, εἰ καὶ καύσου ἔασι ἰδέαι.

ταφρένοισι. Tum vero his nostris continuo subiungit ἀτὰρ ἠδὲ μεσηγὺ τῶν ὠμοπλατέων. καὶ γὰρ καὶ τῇδε σφύξιες ἔασι.

ἰσχομένης δὲ καὶ γαστρὸς πολλόν τι μᾶλλον τοῦ ξυνήθεος κλυσμοῖσι ἐς ὄλισθον χρέεσθαι.] Libri omnes ἰσχομένη δὲ καὶ γαστὴρ πολλόν τι τοῦ ξυνήθεος κλυσμοῖσι ἐς ὄλισθον χρέεσθαι. — Ad πολλόν τι Wiganus: «An, inquit, πολλόν τι μᾶλλον, ut: cett." Adfert locum e capite de s. epilepsiae: ἐς τὸ κρόταφον ἀπηγμέναι πολλόν τι μᾶλλον, et e cap. de cur. satyr.: πολλόν τι μᾶλλον τάδε καταιονοῦντα. — Equidem itidem dudum antequam eius notulam videram, μᾶλλον additum cupiebam: sed simul animadvertebam illud κλυσμοῖσι — χρέεσθαι cum superioribus haud apte cohaerere, nisi vulgatae lect. nominativum ἰσχομένη δὲ καὶ γαστήρ in genitivum mutemus. Hunc autem confidenter reposui.

ἐς πρόκλησιν καὶ δῆξιν ἱκανόν.] Καὶ ἐς πρόκλησιν libri omnes. Petito iubente καί h. l. delevi. Crassus in Latinis etiam omisit. Δῆξιν legis in H. V. A. Pc. d. e. f. idemque habet Crassus; ῥῆξιν cett. et ita Edd. omnes.

μέλη ἄκρεα τεθάλφθωσαν γλευκίνῳ, ἢ σικυωνίῳ λίπαϊ ἢ τῷ διὰ τῆς λιμνήστιδος χρίσματι.] Libri omnes μέλη ἄκρεα πόδες καὶ χεῖρες. Illud πόδες καὶ χεῖρες glossema esse mihi videtur in μέλη ἄκρεα, quapropter delevi. — V. Pa. τεθάλπτωσαν. — Particulam disiunctivam ante τῷ intuli de coniectura Petiti et mea: idem Latine expresserunt Crassus et Wiganus.

μῆον.] Sic O. ex H. F. μίον cett.

ἐμπασσέσθω δὲ καὶ νίτρου.] Νίτρου Pb. λίτρου cett.

κασσίη καὶ κιννάμωμον.] Vulgo σικύη, — quod et Crassus legit: κασσίη F., unde in O. receptum est. Vulgata Petitum etiam offendit. — Id, quod sequitur, ἥν τις εὐπορῇ recte a Crasso et Wigano ad postremum κιννάμωμον tantum refertur. Diosc. enim I. 12. de cassia agens in fine capitis: διπλάσιον δὲ, inquit, αὐτῆς μιγνύμενον τοῖς φαρμάκοις, εἰ μὴ παρείη κιννάμωμον, τὸ αὐτὸ δρᾷ.

ὁκοῖόν τι πυρὸς εἰλευμένου.] Πυροῦ H.; ἐλευμένου V. A. Po. — ἀληλεσμένου H.; ἴσως ἐληλευμένου Pb. in marg.; συστρεφομένου V. in marg.; et Pd. in m. συστρεφομένου δῆλον. — Eandem glossam in cod. Mentel. vidit Petitus.

ἀτὰρ ἠδ᾽ ἐν ὀλίγῳ ὄγκῳ πολλῆς.] Vulgo πολλή, sed πολλῆς H. V. A. O. Pe. Requisivit dudum Petitus.

εὐπορείσθω δὲ ὄνου νεοτόκου.] Ὄνου in libris deficit. Crassus: «esto autem mulieris, quae proxime peperit." Et vero fatendum ad νεοτόκου cogitatione facile suppleri γυναικός, — quamquam cap. 8. huius libri sub fin. dicat γάλα μάλιστα μὲν γυναικὸς νεοτόκου καὶ κουροτρόφου..... ἢν δὲ μὴ ὄνου μὴ παλαιοτόκου. — Aliquid in vulgata deesse arbitrantur Petitus et Wig.; hic γυναικός, vel ὄνου supplendum censet. Equidem posterius excidisse reor, tum ob literarum similitudinem, tum quia vix putare licet, me iudice, Aretaeum lacti muliebri aquam admistam cupivisse: aptissima vero progressio in enumeratione lactis asinini, bubuli, caprini.

καὶ τὸ ὕδωρ δὲ τὸ πινόμενον ἐχέτω τάδε.] Καί h. l. a librariis omissum et necessario restituendum de meo adscripsi. Latine expressit etiam Wiganus.

καὶ πάντη διαπνοὰς ὑγρὰς καὶ εὐρόους ποιέειν.] Libri πάντα. Crassus «ubique." — Πάντη requirit etiam Wiganus. Itaque de huius et mea coniectura et Crassi, uti videtur, exhibeo.

κοίτη, κατάκλισις ὄρθιος, ὅκως ἴκελα πάντα τοῖσι ἐν καύσοισι ᾖ.] Ad κοίτη Wiganus «num quid deest?" quaerit. — Credo nihil deesse, et κατάκλισις per appositionem, ut aiunt, nomini κοίτη subiungi. — ὄρθριος V. A. Pa.

αἰώρη σμικρὴ, ἐς ἱδρώτων πρόκλησιν· ἠδὲ λουτρὸν, ἣν οὗτος ὑπεκκαυθῇ.] Pro οὗτος H. A. οὕτως, quod in O. recepit Wiganus. Non credo hunc recte id fecisse: οὗτος

ΘΕΡΑΠΕΙΑ ΤΗΣ ΚΑΤΑ ΤΟΥΣ ΝΕΦΡΟΥΣ ΟΞΕΙΑΣ ΝΟΥΣΟΥ.

Κεφ. η'.

Κάτοξυ μὲν ἐν νεφροῖσι φλεγμασίη· συμφλεγμαίνουσι γὰρ αἱ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσαι φλέβες. τῇσι δὲ τὸ ἧπαρ· οὐ κάρτα ἐπιμήκεες ἐοῦσαι, κάρτα δὲ εὐρεῖαι, ὡς δοκέειν τοὺς νεφροὺς ἐξηρτῆσθαι ἀγχοῦ τοῦ ἥπατος. Ἀτὰρ καὶ ἰσχουρίη ἐπὶ φλεγμασίῃ γίγνεται, ξυντιμωρέουσα τῷ ὀξέϊ τῆς φλεγμασίης· πίμπλαται γὰρ ἡ τῶν νεφρῶν κοιλίη ὑπὸ πλημμυρίης τῶν οὔρων οὐ διεκθεόντων. Τόδε μέντοι καὶ ἐπὶ λίθων γίγνεται, ἣν φύῃ μὲν ἐν νεφροῖσι μέζων τῆς εὐρύτητος τῶν οὐρητήρων· ἐνίζει γὰρ μὴ διεξιὼν, ἀτὰρ καὶ τὰ οὖρα ὅδε ἐπίσχει. Ἀλλὰ ἀμφὶ μὲν τῆς γενέσιος τῶν λίθων ἐν τοῖσι χρονίοισι λελέξεται, ὅκως ἢ μὴ ξυνήσονται, ἢ θρύπτωνται γιγνόμενοι. Ἀμφὶ δὲ θερμασίης, ἠδ' ἐμφράξιος, ὁκόσα ὀξέως κτείνει, τῇδέ μοι γεγράψεται.

Ἢν ἐνστάσιες λίθων ἔωσι, ἔν τε φλεγμασίῃ, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι, ἢν μὴ κωλύῃ τι ἡλικίη· εὔροον δὲ καὶ πολλὸν ἔστω τὸ αἷμα· οὐ γὰρ αἱ φλεγμοναὶ πρηΰνονται μοῦνον κενῶσι, ἀλλὰ καὶ αἱ σφηνώσιες τῶν λίθων χαλῶνται τῇσι τῶν ἀγγείων κενώσεσι, ἀτὰρ ἠδὲ ἐν οὐρῆσι διεκθέουσι οἱ λίθοι. Ἔπειτα τέγξεσι γλευκίνου λίπαος, ἢ κυπρίνου καὶ πυρίῃσι καὶ ἐπιπλάσμασι ἀνιέναι τὰ μέρεα. ἀρτεμισίη δ' ἔστω καὶ

referendum arbitror ad *ἱδρώς* e superiore *ἱδρώτων* repetendum: familiaris enim Graecis eiusmodi transitus a plur. num. ad singularem. *Ἱδρὼς ὑπεκκαίεται* a febre, propter cuius ardorem, quominus erumpat, prohibetur.

Cap. 8. *συμφλεγμαίνουσι γὰρ αἱ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσαι φλέβες.*] Cum hisce confer cap. 6. huius libri verba: *ὑπεξάγει γὰρ διὰ τῶν ὀχετῶν, οἵπερ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσι*, tum etiam quae ad hunc locum e Petiti commentariis desumsimus. Articulum *αἱ* ante *ἀπό* de meo adposui: neque enim illo carere posse videbatur accurata venarum circumscriptio.

ἰσχουρίη ἐπὶ φλεγμασίῃ γίγνεται.] *Γίγνεται* praebuerunt Pc. d. *e. f.* *γίνεται* cett.

τόδε μέντοι καὶ ἐπὶ λίθων γίγνεται, ἣν φύῃ μὲν ἐν νεφροῖσι μέζων τῆς εὐρύτητος τῶν οὐρητήρων· ἐνίζει γὰρ μὴ διεξιὼν, ἀτὰρ καὶ τὰ οὖρα ὅδε ἐπίσχει.] Vulgo pone *φύῃ* puncto sive minore, sive maiore distinguitur, tum pone *οὐρητήρων* commate tantum; denique libri fere omnes *ἐνίζει μὲν μὴ διεξιών*: Pc. d. *ἐνίζει δὲ μὴ διεξιών*. H. V. A. *ἐνίζει μὲν δὲ διεξιών*. — Puto Aretaeum scripsisse, quod ego iam exhibeo, librarios *μέν* e superiori *ἣν φύῃ μέν* huc transtulisse.

τὴν δὲ ἑτέρην μεσηγὺ τῶν ὠμοπλατέων ἐρείδειν, ἀναίμακτον.] Vulgo *τὴν δὲ ἑτέρην τὴν μεσηγὺ τῶν ὠμοπλατέων.* — Cum libris Pc. *d.* *τήν* ante *μεσηγύ* omisi, quod vel sine librorum auctoritate fecissem, si quidem eo loco abundat articulus.

ἔς τε πλήθεος ὁλκὴν καὶ ἐς τὴν τοῦ βάθεος ἐντομήν.] Libri omnes *πλῆθος*; quod quin in genitivum sit mutandum, nemo facile dubitet.

κεφαλαίην γὰρ τὰ μέχρις ὀστέων ὀνίνησι ἰήματα.] *κεφαλαίῃ* Pb. *c. d.*; quodsi dativum voluerint librarii, tamen errarunt, quum *ὀνίνημι* cum accusativo componi soleat.

ἢν δὲ ἐς ὠτειλὴν ἥκῃ τὰ τρώματα.] Pro *ἥκῃ* V. Pa. *b.* *εἴη*, in quo latet *ἴῃ*.

παράγεται γὰρ τῷ ἀντιτράγῳ.] Edi solet *τῷ ἀντιτρόχῳ*, quod in errorem duxit Crassum, ita ut *ἀντίτροχον*

γίῃσι λέλεκται. Μέτα δὲ τοῦ ἄκεος κεφαλαίῃ τε καὶ ἐπιληψίῃ, καὶ σκοτώμασι, καὶ ξυλλήβδην ἁπάσῃσι τῇσι τῆς κεφαλῆς νούσοισι.

Ἐπὶ πᾶσι δὲ φλέγμα ἄγειν χρὴ προκενώσαντα τὴν γαστέρα ἢ καταπότῳ ὑπηλάτῳ, ἢ κλυσμῷ· ἄλλοτε μὲν ἐκ ῥινῶν, πταρμικοῖσι· ἄλλοτε δὲ διὰ στόματος τοῖσι ἄγουσι φλέγμα. Εἴδη δὲ πταρμικῶν μὲν πέπερι, στρουθίου ἡ ῥίζα, κάστορος ὄρχις· τάδε καὶ ξυνῇ. ἐς λεπτὰ δὲ κόψαντα καὶ σήσαντα καλάμῳ ἐμφυσῆν, ἢ καυλῷ πτεροῦ χηνὸς παχέϊ. Ἀγωγότερον δὲ τῶνδε καὶ βιαιότερον εὐφόρβιον ξύν τινι τῶνδε μιχθέν· ἀτὰρ καὶ ἐλαίοισι δὲ μίσγεται, γλευκίνῳ, σικυωνίῳ, ἢ τῷ ἀπὸ στύρακος μύρῳ. ὑγρὸν δὲ γίγνεται κάρτα, ὡς ἔγχυτον. Ἐγχεῖται δὲ διὰ τοῦ ῥινός γ' αὐλοῦ. δίδυμοι δὲ οἵδε, ξυμφυέες ἀπὸ μιῆς ἐκροῆς, ὡς ἐςάπαξ ἀμφοτέροισι ἐγχέειν· οὐ γὰρ ἀνασχετὸν ἡ διάστασις ἑκατέρου μυκτῆρος ἰδίῃ καὶ ἰδίῃ· πίμπραται γὰρ ἡ κεφαλὴ αὐτίκα καὶ δριμὺ ἄλγος αἱρέει. Τὰ δὲ διὰ τοῦ στόματος ἄγοντα φλέγμα, σίνηπι, κόκκος ὁ τῆς κνίδης, πέπερι, σταφὶς ἀγρίη. τάδε ξὺν ἀλλήλοισι, καὶ ἰδίῃ. Ἐπὶ δὲ τῷ μασήσασθαι μὲν αὐτὰ καὶ τὸ πτύειν ξυνεχές ἐστι. Καὶ ὕδατι ἢ μελικρήτῳ, ἢ ὀξυκρήτῳ μίξαντα, διδόναι· κλύζειν τε τὸ στόμα καὶ ἐς τὰ παρίσθμια παρώσαντα ἀνατάσι τοῦ αὐχένος τῷ τῆς ἐκπνοῆς πνεύματι κλύζειν. Ἐπὴν δὲ, ἐς ὅσον θέλῃς, τὸ φλέγμα ἀγάγῃς, λούειν καὶ καταιονεῖν τὴν κεφαλὴν κάρτα πολλῷ θερμῷ ὕδατι ἐς διαπνοήν· ἰσχυραὶ γὰρ γίγνονται σφηνώσιες.

Δεῖπνον εὐτελές· ἔστω δὲ καὶ οἶνος ἐς ἀνάκλησιν τοῦ στομάχου· μάλα γάρ τοι

instrumentum esse putaret. Recte Petitus et Wiganus emendarunt ἀντιτράγῳ. Alter Rufum Efesium, alter Pollucem laudavit.

ἐπικέαται.] Ἐπικέανται H. V. Pa. *b. c. d.*

μέτα δὲ τοῦ ἄκεος κεφαλαίῃ τε καὶ ἐπιληψίῃ καὶ σκοτώμασι καὶ ξυλλήβδην ἁπάσῃσι τῇσι τῆς κεφαλῆς νούσοισι.] Vulgo *μετὰ δὲ τὸ ἄκος*: sed O. *μέτα δὲ τὸ ἄκος*, quod ad verum ducit; nam Graecitas *μέτα* (i. e. *μέτεστι*) *δὲ τοῦ ἄκεος* requirit. Pessimo errore typogr. *κατά* fert Kühniana. — *κεφαλαίῃ τε* H. rectius quam ceteri, qui *κεφαλαίῃσι*: — *ξυλλήβδην* praebuit Pd. *ξυμβλήδην* cett., quod Schneiderum dubitanter in Lex. recepisse vidi et *ξυλλήβδην* exposuisse. — Mihi *ξυμβλήδην* idem quod *ξυλλήβδην* significare non videtur, neque huius loci esse arbitror. — Ἄπασι V. A. Pb. *c. d.* frequenti librariorum errore *νοῦσος* masculini generis facientium.

στρουθίου ἡ ῥίζα, κάστορος ὄρχις.] *Στρούθιος ἡ ῥίζα* vulgo; exhibui cod. Pb. lectionem, qualem iam Wiganus desideravit. — Vulgo etiam *τοῦ ὄρχιος*; Pb. *ὄρχις* (sic).

ἐγχεῖται δὲ διὰ τοῦ ῥινός γ' αὐλοῦ. δίδυμοι δὲ οἵδε, ξυμφυέες ἀπὸ μιῆς ἐκροῆς, ὡς ἐςάπαξ ἀμφοτέροισι ἐγχέειν· οὐ γὰρ ἀνασχετὸν ἡ διάστασις ἑκατέρου μυκτῆρος ἰδίῃ καὶ ἰδίῃ.] Pro *ἐκροῆς*, quae Wigani coniectura est, libri *εὐροῆς*. — Mihi quoque *εὐροῆς* ferri non posse videtur; itaque editoris Angli coniecturam lenem eandem et aptam recepi. Noster *αὐλὸν ῥινός* vocat, quod instrumentum alii *ῥινεγχύτην*; qua de re videndus in primis Jo. Rhodius ad Scribonium Largum comp. VII. p. 38. — Non mihi cogniti sunt loci apud medicos antiquos, ubi istud instrumentum tam clare describatur, quam nunc Aretaeus id proponit.

ἐπὶ δὲ τῷ μασήσασθαι μὲν αὐτὰ καὶ τὸ πτύειν ξυνεχές ἐστι. καὶ ὕδατι ἢ μελικρήτῳ, ἢ ὀξυκρήτῳ μίξαντα διδόναι.] Vulgo *ἐπεὶ δὲ καὶ τῷ μ.* — sed V. Pa. *b.* *ἐπὶ δὲ καὶ τῷ μ.* — Ego *ἐπί* recepi et otiosum *καί* delevi. — Interpretes vulgatam lect. sequentes *ἐπεὶ δὲ καὶ τῷ μασήσασθαι μὲν αὐτὰ καὶ τὸ πτύειν ξυνεχές ἐστι*, protasin habuere sententiae, cuius apodosin esse crediderunt *καὶ ὕδατι ἢ μελικρήτῳ, ἢ ὀξυκρήτῳ μίξαντα διδόναι*. Quodsi tamen ad ratiocinationis modum in hisce mentem attendas, facile perspicis, Aretaeum ita scribere non potuisse. Medicamina enim supradicta sicca manducantur; cum aqua, mulsa, posca mista oris collutionem, vel gargarisma sunt. Itaque *καὶ ὕδατι … μίξαντα διδόναι* referendum ad seqq. *κλύζειν τε τὸ στόμα — πνεύματι κλύζειν*. — At antecedens *ἐπὶ δὲ τῷ* (nam *καί* abundat) *μασήσασθαι μὲν αὐτὰ καὶ τὸ πτύειν ξυνεχές ἐστι* referendum ad *τὰ δὲ διὰ τοῦ στόματος ἄγοντα — ξὺν ἀλλήλοισι καὶ ἰδίῃ*. Hac de causa puncto maiore pone *ξυνεχές ἐστι* distinxi.

καὶ ἐς τὰ παρίσθμια παρώσαντα ἀνατάσι τοῦ αὐχένος τῷ τῆς ἐκπνοῆς πνεύματι κλύζειν.] Vere Petitus: «Impulso, inquit, ad tonsillas humore, collum extendendo, ipso exspirationis spiritu colluere, uno verbo *γαργαρίζειν* dici poterat; sed more Ionum multorum verborum circuitione uti maluit, ac propria voce omissa rationem ac modum oris colluendi describere."

μάλα γάρ τοι καὶ ὅδε πονέει.] Libri *μάλα γάρ τοι καὶ ὧδε πονέει*. Crassus: «si quidem et ipse magno dolore vexatur." — Wiganus: «quoniam iste plurimum laborat." Postquam locum emendaveram, vidi hos Latine expressisse, quod ego Graece exhibueram.

χρέω.] Χρεὼν H. Pa. *b. c. d.*

νίτρου.] Sic Pb. *λίτρου* cett.

τῆς ἀπὸ τερμίνθου.] Edi solet *τῆς ἀπὸ τῆς τ. τοῦ*

καὶ ὅδε πονέει. Ἐπὴν δὲ μεσηγὺ τὴν δύναμιν ἑδράσῃς, κλυσμῷ χρέω τῷ ξυνήθεϊ, νίτρου πολλὸν ἐμπάσσων, ἢ ῥητίνης τῆς ἀπὸ τερμίνθου ἐντήκων ὁλκῆς δράχμας δύο. Ἐς δὲ τὴν ἐπιοῦσαν ἡμέρην αἷμα τῆς ῥινὸς ἔνδον ἀφαιρέειν, ὡς εἴσω παρωθεῖσθαι τὸ ὄργανον, κατιάδιον εὔμηκες, ἢ τὸ καλεόμενον τορύνην. ἢ εἴ τις ἐλλιπῶς πρὸς τάδε ἔχει, χηνὸς χρὴ πτεροῦ τοῦ καυλοῦ τοῦ παχέος ἀπογλύψαντα τάμνειν τὰ νεῦρα ἐς ὀδόντας, ὅκως πριστῆρα· καὶ τόδε ἐς ῥῖνα κατιέναι μέσφι τῶν ἠθμοειδῶν, ἔπειτα ἀμφοτέρῃσι χερσὶ κινέειν, ὡς ξυγχαράσσοιτο ὑπὸ τῶν ὀδόντων ὁ χῶρος· ῥηϊδίη δὲ καὶ πολλὴ τοῦ αἵματος ἡ φορή· φλέβες γὰρ ἰσχναὶ τῇδε κραίνουσι καὶ τὰ σώματα μαλακὰ καὶ εὔτμητα. Ἔασι δὲ καὶ τοῖσι δημότῃσι πολλοὶ τῆς ἐγχαράξιος οἱ τρόποι καὶ βοτάνῃσι τρηχείῃσι, καὶ φύλλοισι δάφνης ξηροῖσι, ἐνθέντες τάδε τοῖσι δακτύλοισι κινέειν εὐτόνως. Κενώσαντα δὲ ὁκόσον χρὴ, — ἔστω δὲ πλῆθος ἐς κοτύλης τὸ ἥμισυ, — μάσσειν σπόγγοισι καὶ ὀξυκρήτῳ, ἢ ξηρόν τι ἴσχαιμον ἐμφυσῆν, κηκίδα, ἢ σχιστὴν στυπτηρίην, ἢ βαλαύστιον.

Ἢν δὲ ἐπὶ τουτέοισι ἡ κεφαλαλγίη μίμνῃ, κὴν ποτε ἀποπαύηται, αὐτὸ χρὴ ἐς τέλος ἥκειν τῆς ἰητρείης· φιλυπόστροφον γὰρ κακὸν, καὶ ἐν ἕδρῃ ἷζον τὰ πολλὰ

δένδρεος. Pro τῆς τερμίνθου Pb. τερμίνθης V. A. τῆς τερμινθίνης. H. Pa. c. d. — τερμινθίνης. — Igitur ausus sum alterum illud τῆς reiicere et scribere, quemadmodum aliis locis noster assolet; tum vero glossam τοῦ δένδρεος, ut aliis locis, repudiavi.

ἐς δὲ τὴν ἐπιοῦσαν ἡμέρην αἷμα τῆς ῥινὸς ἔνδον ἀφαιρέειν, ὡς εἴσω παρωθεῖσθαι τὸ ὄργανον, κατιάδιον εὔμηκες, ἢ τὸ καλεόμενον τορύνην.] Libri in hisce ὡς εἴσω παρωθεῖται et κατειάδιον, ad quod nomen V. Pd. in margine adscriptam habent glossam: εἶδος ὀργάνου εἰς τὸ λῦσαι τὰς τῆς ῥινὸς φλέβας. — Denique libri στορύνη (H. στορόνη.) — Videamus de singulis; facilem orationis cursum impedit illud ὡς εἴσω παρωθεῖται, Crassus reddit: « intro enim... immittitur.” Sed neutrum ferri potest praecedente imperativo. — Petitum h. l. aliquid offendisse, docet eius adnotatio « post verbum ἀφαιρέειν punctum scribendum est.” Wiganus « ὡς εἴσω παρωθεῖται. An recte?” quaerit. — Facilis esse videtur emendatio ὡς εἴσω παρωθεῖσθαι, qua recepta seqq. nomina accusativo efferri debent. — Pro κατειάδιον scribere malui κατιάδιον, est enim deminutivum nominis κατιάς, κατιάδος, ductum a κατιέναι. — Soranus p. 109. sub finem: χορίον δὲ μὴ ἀναστομούμενον κατιάδι προςεχόντως διαιρεῖν τῷ δακτύλῳ προςκοιλαίνοντά τι μέρος. Lege tamen: προκοιλαίνοντά τι μέρος. — Aëtius fol. 162. 46. διελεῖν τὸ ἀπόστημα σμιλαρίῳ ἢ κατιάδι. — Paulus VI. 73. de abscessu uteri sermonem faciens: ὑποπεσὸν δὲ τὸ ἀπόστημα εἰ εὐαφὲς καὶ λεπτὸν ὑπάρχοι, ὅ περ ὑπὸ ἀφῆς δακτύλου ὑποπεσεῖται διαιρείσθω κατὰ τὴν κορυφὴν σπαθίῳ ἢ κατιάδι. — ibid. 74. ὑδροκεφάλου μὲν ὄντος τοῦ ἐμβρύου πολυπικῷ σπαθίῳ, ἢ κατιάδι, ἢ σκολοπομαχαιρίῳ κρυπτομένῳ κατὰ τοὺς δακτύλους τὸ κρανίδιον διελεῖν. — Ex hisce locis collectis iam efficias κατιάδα fuisse instrumentum oblongum praeacutum. — Iam vero veniamus ad στορύνη. Haec quidem vox nusquam legitur; sed τορύνη, quod alii dudum animadverterunt, pluribus locis obvium. Wiganus στόρθη confert cum στορύνη; — στόρθυξ comparat Schneiderus in Lexico. Mihi eiusmodi comparatio nullo modo ferenda videtur et τορύνη scribendum, quod a τερέω ductum τ, non στ, initio habere debebit. — Quid sit τορύνη, Plato docebit in Hipp. maiore p. 192., quem locum longiorem, quam ut describam, inspice. Schol. ad eum exponit τὸ ταρακτήριον. — Meminit Platonis verborum auctor Etym. M. voce τορύνη. — Suidas interpretatur τὸ κινητήριον τῆς χύτρας. — Hesych. τρυπήλα. τορύνη. Cf. Foës. in Oecon. in τορυνᾶν. — Longe certissimum puto τορύνην, quam Aretaeus spectat, esse spathae speciem et instrumentum obtusum: itaque κατιάς in nares si immittatur, secando, pungendo sanguinis fluxum provocabit, τορύνη tundendo.

τάμνειν τὰ νεῦρα ἐς ὀδόντας, ὅκως πριστῆρα καὶ τόδε ἐς ῥῖνα κατιέναι μέσφι τῶν ἠθμοειδῶν, ἔπειτα ἀμφοτέρῃσι χερσὶ κινέειν κ. τ. λ.] Ἐς ὀδόντα vulgo editur; ἐς ὀδόν H. V. A. Pa. c. d.; reposui, quod Petitus et Wiganus dudum requirebant, ἐς ὀδόντας. — Pro ἰσθμοειδῶν, quod libri ferunt, ἠθμοειδῶν reposui: frequens hic librariorum error, dudumque h. l. ab aliis notatus. Ἀμφοτέρῃσι O. Pb. ἀμφοτέραισι cett. — Τὰ σώματα mox notandum: significat partium substantiam, ut hodie fere dicimus. Iam antea simili sensu obvium vidimus.

ἔασι δὲ καὶ τοῖσι δημότῃσι πολλοὶ τῆς ἐγχαράξιος οἱ τρόποι καὶ βοτάνῃσι τρηχείῃσι καὶ φύλλοισι δάφνης ξηροῖσι, ἐνθέντες τάδε τοῖσι δακτύλοισι κινέειν εὐτόνως.] Vulgo ἢ τισὶ δακτύλοισι: pro ἢ V. καί.: — τοῖσι H. V. M. O. Pa. b. — Mihi illud sive ἤ, sive καί, abundare videtur et structuram magnopere impedire; puto librarios particulam καί antea bis obviam etiam huc per errorem traxisse, adeoque illam delevi. Infinitivus ἐνθέντες τάδε τοῖσι δακτύλοισι κινέειν εὐτόνως per epexegesin h. l. adponitur ad τῆς ἐγχαράξιος οἱ τρόποι.

μάσσειν.] Αἱμάσσειν falso H. V. Pa. b. c. d.

ἢν δὲ ἐπὶ τουτέοισι ἡ κεφαλαλγίη μίμνῃ, κὴν ποτε ἀποπαύηται, αὐτὸ χρὴ ἐς τέλος ἥκειν τῆς ἰητρείης.] Vulgo ἥν τε ἀποπαύηται, sed Pb. ἢν ποτε ἀποπαύηται, unde leni mutatione κὴν ποτε ἀ. scripsi. Libri omnes αὐτόν: requiro αὐτό, ut iungam, ἐς αὐτὸ τὸ τέλος.

ἐπιπολῆς μὲν, μὴ ἐς μύας· ἢν δὲ μέσφι ὀστέου ἐθέλῃς, ἀπάνευθεν καὶ τῶν μυῶν.] Negatio μή in libris omnibus abest: aegre tamen abesse fero. Ultro patet, Aretaeum nolle, ut musculi adurantur, itaque, etiamsi ἐς

φωλεύει. Χρὴ ὦν, ἀφαιρέοντα τὰς κόμας ξυρῷ, — καὶ γὰρ τόδε κεφαλῇ ὀνηϊστὸν, — καίειν πυρίῃσι καυτήρων. ἐπιπολῆς μὲν, μὴ ἐς μύας· ἢν δὲ μέσφι ὀστέου ἐθέλῃς, ἀπάνευθεν καὶ τῶν μυῶν. μύες γὰρ καυθέντες ἔασι σπασμῶν προκλήσιες. Κῆν μὲν ἐπιπολῆς καύσῃς, οἶνον εὐώδη, λευκὸν ξὺν ῥοδίνῳ καταιονεῖν ἅλις. ὀθόνην δὲ χρὴ τέγξαντα ἐπιπεταννύναι τῇσι ἐσχάρῃσι, μέσφι ἡμέρης τρίτης. Ἢν δὲ βαθεῖαι ἔωσι αἱ ἐσχάραι, πράσου χρὴ κόμην, ξὺν ἁλὶ τρίψαντα, ἠδὲ ἐς ὀθόνην ἐγχρίσαντα, τιθέναι. Τῇ δὲ τρίτῃ, κηρωτὴν ἐκ ῥοδίνου ἐπὶ τοῖσι ἐπιπολαίοισι, ἢ φακὸν ξὺν μέλιτι ἐπὶ τῇσι βυθίοισι ἐσχάρῃσι τιθέναι. Ὁκόσα δὲ ἐπὶ ὠτειλῇ φάρμακα, ἄλλῃ πῃ γεγράψεται. Ἔταμόν τινες ὑπὲρ μέτωπον κατὰ τὴν στεφάνην τὸ δέρμα ἄχρις ὀστέου· καὶ τόδε ἐπιξέσαντες ἢ ἐπικόψαντες μέσφι διπλόης ἐς σάρκωσιν ἤγαγον. οἱ δὲ καὶ ἐςέτρωσαν τῷ ὀστέῳ, μέσφι μήνιγγος. εὔτολμα δὲ τὰ ἄκεα· ἀλλὰ χρῆσθαι, ἢν ἐπὶ πᾶσι μὲν ἡ κεφαλαίη ἐπιμίμνῃ, ὁ δὲ νοσέων εὔθυμος, καὶ ὁ τόνος τοῦ σώματος ἀγαθός.

Κῆν ἐκ προςαγωγῆς ἔωσι, γυμνάσια ὀρθὰ ἐς στέρνα καὶ ὤμους· χειρονομίη· ἁλτήρων βολή· ἔξαλσις· καὶ ἡ ξυνευπαίδευτος ἐν τούτοις ἀνείλησις. Τρίψις τὰ πρῶτα καὶ τὰ ὕστατα, σκελῶν· κεφαλῆς δὲ, ἐς μέσον.

Πιττοκοπίη ξυνεχής. Φοινίσσειν δὲ καὶ τὴν κεφαλὴν, ἄλλοτε μὲν σίνηπι ξὺν ἄρτῳ διπλόῳ ἐγχρίοντα, ὡς μὴ ἀφόρητον εἴη τὸ πῦρ· ἄλλοτε δὲ φάρμακα ξυναλείφοντα, ὡς τὸ ξύνθετον τὸ διὰ τῆς λιμνήστιδος καὶ εὐφορβίου καὶ πυρέθρου. Ἔχει δὲ καὶ ἀνώδυνον πρός τε τὸν ἐν καιρῷ πόνον καὶ ἐς μόχλευσιν τῆς ῥίζης τοῦ κακοῦ, θαψίης ὁ ὀπός· καὶ τὰ ξὺν τῇδε φάρμακα, ὁκόσα ἐςοιδαίνει τὸ δέρμα καὶ ἰόνθοισι ἴκελα ἐκφύει βλαστήματα.

Δίαιτα δὲ ἡ μὲν ἐφ' ἑκάστῳ τῶν ἀλγέων, λεπτή· ὀλιγοποτίη καὶ ὑδροποτίη, ἐπίπροσθεν μάλιστα ἄκεός τινος. Ξύμπαν δὲ, δριμέων μὲν ἄφεξις, κρομμύων καὶ σκορόδων, καὶ ὀποῦ τοῦ σιλφίου· σινήπιος δὲ μὴ πάγχυ· καὶ γὰρ τὸ δριμὺ αὐτέου πρὸς τῇ τοῦ στομάχου ἀρετῇ καὶ ἐς κεφαλὴν οὐκ ἄχαρι, φλέγμα χύον, καὶ διαπνέον, ἢ

μύας accipias *usque ad μύας*, sicuti *ἐς ὅ* pro *ἕως οὗ* apud Iones in usu est, ne sic quidem sibi constabit noster, qui mox *ἀπάνευθεν καὶ τῶν μυῶν*. Itaque reposui quod Aretaeum scripsisse paene certum arbitror.

οἶνον εὐώδη λευκὸν ξὺν ῥοδίνῳ καταιονεῖν ἅλις.] Notemus *καταιονεῖν οἶνον*, quum longe sit familiarius *καταιονεῖν οἴνῳ* v. c. *κεφαλήν*. — Sed h. l. pars quae *καταιονεῖται*, non adponitur.

ἐπὶ τῇσι βυθίοισι ἐσχάρῃσι τιθέναι.] Vulgo *βαθίοισι* Pb. *τοῖσι βαθείοισι*. Voluit librarius *τῇσι βαθέῃσι*, vel *βαθείῃσι*. H. Pc. *βυθίοισι*, quam lect. recepi cum Wigano.

ἀλλὰ χρῆσθαι, ἢν ἐπὶ πᾶσι μὲν ἡ κεφαλαίη ἐπιμίμνῃ, ὁ δὲ νοσέων εὔθυμος καὶ ὁ τόνος τοῦ σώματος ἀγαθός.] Libri *κῆν ἐπὶ πᾶσι* et *ἢ ὁ τόνος*: — neque *κῆν* isto loco, neque hoc *ἢ* ferri potest, adeo ut utrumque emendaverim. Petitus etiam *ἢν* requirebat.

κῆν ἐκ προςαγωγῆς ἔωσι κ. τ. λ.] H. l. *ἢν* ferunt libri omnes; sed quum voculam desiderarem, qua haec cum superioribus connecterentur, *κῆν* e superioribus huc retuli, ita ut *ἢν* et *κῆν* invicem locum commutare iuberem. Petito etiam aliquid deficere videbatur.

ἁλτήρων.] Καυτήρων H. V. G. v. l. Pa. *b. c. d.*

πιττοκοπίη ξυνεχής.] Libri omnes *πιττοκοπίη τῷ ἐμπάττειν ξυνεχής.* — Wiganus pro *ἐμπάττειν* desiderat *ἐμπλάσσειν*. Mihi totum illud *τῷ ἐμπάσσειν* eiiciendum videtur et ortum e glossa ad *πιττοκοπίη* adscripta, ita, ut in marg. quis interpretaretur *τὸ ἐμπάσσειν* s. *ἐμπλάσσειν*. — Apertum est *πιττοκοπίη ξυνεχής*: cf. in primis Alexis in fragm. com. mediae Ed. Meineke p. 508. Πιττοκοπία etiam *πιττοκονία*, *πιττοκωνία* audit, cf. Hesych. in *πισσοκωνίας* et *κωνῆσαι*, et *διακωνίσαι*. Idem est *δρωπακισμός*.

ἔχει δὲ καὶ ἀνώδυνον πρός τε τὸν ἐν καιρῷ πόνον καὶ ἐς μόχλευσιν τῆς ῥίζης τοῦ κακοῦ θαψίης ὁ ὀπός.] Libri *ἔχει δὲ καὶ ἄνοδον περί τε τὸν ἐν καιρῷ πόνον κ. τ. λ.* — Wiganus *ἀνώδυνον* legendum esse monuit, quod etiam Latine Crassus expressit. Sed neque *περί* fero: legendum *πρός*. De *τι* pone *ἀνώδυνον* omisso valet, quod supra alicubi adnotavi, saepius id tum apud alios, tum apud nostrum omitti.

πρὸς τῇ τοῦ στομάχου ἀρετῇ.] Mira locutio, ut indicetur *πρὸς τῷ φίλον εἶναι τῷ στομάχῳ*.

διελαῦνον κάτω. Ὀσπρίων κάκιστον κύαμος καὶ τὰ τοῦδε εἴδεα, πισσοὶ, καὶ ὦχροι, καὶ δόλιχοι. δεύτερον Φακοὶ, οἵ γε ἔχουσι μέν τινας ἀρετὰς πέψιός τε καὶ ἐκκρίσιος, κεφαλῆς δὲ πλήσμιοι καὶ πόνου ποιητικοί· πλὴν ἑψηθέντες ξὺν πέπερι οὐκ ἀποξενωτέοι. Χόνδροι δὲ οἵ τε πλυτοὶ χαριέντες ξὺν οἴνῳ, καὶ μέλιτι ὅσον ἡδύναι· καὶ τὸ ἐκ τουτέων ῥόφημα καὶ οἱ ξὺν ἁπλοῖσι ζωμοῖσι. Καλοὶ δὲ καὶ οἱ ἐν τῇ καρυκείᾳ καρποὶ, κάρου, κοριάνου, ἀνίσου, σελίνου· τουτέων δὲ κρέσσων ἡδύοσμος καὶ γλήχων· πρὸς γὰρ τῷ εὐώδεϊ ἴσχουσί τι καὶ οὔρων ἀγωγὸν καὶ φυσῶν ἔξοδον. Κρεῶν δὲ πονηρὰ μὲν τὰ παλαιὰ πάντα· νεοσφαγῆ δὲ ἀλέκτορος· πτηνῶν ἡ Φάσσα, ἡ πελειὰς, καὶ τὰ ἄλλα, ὁκόσα μὴ μάλιστα πίονα. συῶν τὰ ἄκρεα· λαγωὸς ὀπτός. ϐοὸς δὲ καὶ ὄϊος παχύνοντα καὶ κεφαλῆς πλήσμια. ἔριφος δὲ οὐ πάντῃ κακός. Γάλα καὶ τυροὶ, κεφαλαλγέες. Ἰχθύων οἱ πετραῖοι, ἠδὲ ὁκόσα κατὰ χώρην ἄριστοι. Λαχάνων δὲ ἑφθῶν μὲν, ὁκόσα οὔρων καὶ κοιλίας ὑπαγωγὰ, μαλάχη, ϐλίτον, τεῦτλον, ἀσπάραγοι, δριμὺ δὲ καὶ κράμβη. ὠμὰ δὲ, θριδακίνη πάντων ἄριστον. Ῥίζαι δὲ πονηραὶ καὶ ἑφθαί· ῥαφανίδες, γογγυλίδες, σταφυλῖνοι, οὐρητικὰ μὲν, πλήσμια δέ. σίσαρον, φυσῶδες μὲν καὶ στομάχου ἐπαρτικόν. Οἶνος λευκὸς, λεπτὸς, γλυκὺς μὲν ἐγγεγράφθω, στύψιος ἔχων, ὡς μὴ ἴσχειν τὴν γαστέρα. Τράγημα πᾶν κεφαλαλγὲς, πλὴν Φοίνικες πάσης ἰδέης. ὀπώρης δὲ σῦκα καὶ σταφυλὴ προςηνὲς, καὶ ὅ τι ἂν ἐπὶ τῆς ὥρης ἄριστον. Πλησμονὴ πάντων, καὶ τῶν ὠφελούντων, κακόν· κάκιον δὲ, ἀπεψίη. κόποι ἀπεψίης μὲν ἀσινέστεροι, ἐπιβλαβέες δὲ καὶ οἵδε. Περίπατοι ἕωθεν, ἐπὶ τῆς κοιλίης ἐκκρίσι· εὔπνοοι δὲ καὶ εὔφοροι. ἄριστοι δὲ καὶ οἱ ἐπὶ τῷ δείπνῳ. Αἰωρὴ μακρὰ, νήνεμος, ἀνήλιος τῇ κεφαλῇ· κακὸς γὰρ αὐτέῃ ὁ Σείριος. Ὁμιλίη γυναικὸς κεφαλῇ, νεύροις, κακὸν ἐπίσπαστον. Ἀποδημίη, ἐς θερμότερον ἀπὸ ψυχρῶν, καὶ ἀπὸ

φλέγμα χύον.] Χέον Pb.

ὀσπρίων κάκιστον.] Κάκιστος Pb.

ὀσπρίων κάκιστον κυαμὸς καὶ τὰ τοῦδε εἴδεα, πισσοὶ, καὶ ὦχροι, καὶ δόλιχοι.] Libri καὶ ἐς τὰ τοῦδε εἴδεα: otiosum ἐς eieci, qua de re Wiganus itidem monuit. — Tum ὦχροι recte O.; ὠχροί minus recte ceteri. — Postrema Crassus interpretatur: «et eius species pisa et quae a Graecis ochri et dolichi nuncupantur." Miro modo Wiganus «et eius species, ut pisa tam pallida quam longa." Eo magis eius interpretationem miror, quod solus recte Graece ὦχρος edidit. Nempe ὦχροι sunt *ervilia*, ὠχροί sunt *pallidi*; δολίχους vero etiam φασηόλους et λοβούς dictos fuisse, docet Gal. de alim. fac. I. 28.

Φακοὶ, οἵ γε ἔχουσι μέν τινας ἀρετὰς πέψιός τε καὶ ἐκκρίσιος, κεφαλῆς δὲ πλήσμιοι καὶ πόνου ποιητικοί.] Libri in hisce πλήσμιον et ποιητικόν, quod aegre fero; saepius terminationes in οι et ον confunduntur a librariis. Itaque revocavi, quod Aretaeum scripsisse arbitrabar.

καλοὶ δὲ καὶ οἱ ἐν τῇ καρυκείᾳ καρποί.] Libri καλοὶ γάρ κ. τ. λ. — Verum quum particulae causali hic locus non sit, δέ reposui.

σελίνου· τουτέων δὲ κρέσσων ἡδύοσμος.] Libri σελίνου δὲ τουτέων κρέσσων ἡ ἡδύοσμος ἡ (ἡ h. l. om. Pb.) ϐοτάνη. — Consentienter cum Wigano τουτέων δέ emendo; tum ἡδύοσμος scripsi, priore loco ἡ omittens et glossam reiiciens.

πρὸς γὰρ τῷ εὐώδεϊ ἴσχουσί τι καὶ οὔρων ἀγωγὸν καὶ φυσῶν ἔξοδον.] Libri: πρὸς τοῖσι εὐώδεσι ἴσχουσί τι κ. τ. λ. — Wiganus αἳ πρός κ. τ. λ. tentavit in adnn.; melius γάρ interponi mihi videtur. Sed praeterea τοῖσι εὐώδεσι me offendit, pro quo τῷ εὐώδεϊ legendum esse, facile vides. Tandem advertit φυσῶν ἔξοδόν τι, in quo ἔξοδον adiectivum est, transitiva notione, *expellens*, *educens*. Adiectivum ἀνέξοδος notum est: ἔξοδος in Lexx. meis desidero, nec tamen non sanum videtur; occurrit etiam in cap. 3. lib. II. de cur. m. diut.

νεοσφαγῆ δὲ ἀλέκτορος· πτηνῶν ἡ Φάσσα, ἡ πελειάς κ. τ. λ.] Vulgo ἡ πελειά: sed puto duo diversa animalia spectari: itaque quum vulgo ἡ πέλεια et ἡ πελειάς dicatur, omnibus libris vocem oxytonon ferentibus πελειάς reposui. — Wiganus ἀλεκτορίς malle se significat in adnn. — Mihi nihil in hac voce mutandum videtur.

λαγωὸς ὀπτός.] Vulgo λαγωὸς ὁ ὀπτός. Cum Pb. articulum omisi; λαγός V.

ϐοὸς δὲ καὶ ὄϊος παχύνοντα καὶ κεφαλῆς πλήσμια.] Edi solet παχῦνόν τε et πλήσμιον, sed παχύνοντα ferunt H. V. A. Pb. *c. d.* et πλήσμια Pb. — Hanc lect. recepi.

ὀπώρης δὲ σῦκα καὶ σταφυλὴ προςηνὲς, καὶ ὅ τι ἂν ἐπὶ τῆς ὥρης ἄριστον.] Miror librorum lect. σύκων δὲ ὀπώρη καὶ σταφυλή, pro ὀπώρης δὲ σῦκα καὶ σταφυλὴ κ. τ. λ. — Hoc modo legendum esse sum arbitratus.

καὶ οἵδε.] Καὶ οἵγε Pb.

εὔπνοοι δὲ καὶ εὔφοροι.] Καί in libris desideratur. Adposui de coniectura Wigani et mea.

ὑγρῶν ἐς ξηρότερον. Ξύμφορος δὲ πλοῦς, καὶ ἐν θαλάσσῃ διεξαγωγὴ τοῦ βίου. Κῆν παράλιός τις ᾖ, ἀγαθὸν λούεσθαί τε τῇ ἅλμῃ ψυχρῇ, καὶ νήχεσθαι ἐν τῇ θαλάσσῃ, καὶ τῇσι ψάμμοισι ἐγκαλινδέεσθαι, καὶ βιοτεύειν ἐς θάλασσαν.

Ἑτεροκρανίης ταὐτὰ ἄκεα. ὁκοῖα γὰρ τῇ κεφαλῇ ὅλῃ ἄκεα πρόςφορα, τοῖςδε πρὸς ἅπαν τῆς κεφαλῆς μέρος χρέεσθαι καλόν. Ὁκόσοισι δὲ ἐκ τῶνδε ἄφυκτος ἡ νοῦσος, ἐλλεβόρῳ χρέεσθαι, τῇ ἐσχάτῃ καὶ δυνατωτάτῃ πάντων ἀγωγῇ.

ΘΕΡΑΠΕΙΑ ΣΚΟΤΩΜΑΤΙΚΩΝ.

Κεφ. β′.

Καὶ ἐκ διαδέξιος μὲν κεφαλαίης γίγνεται σκοτοδινίη. ἀτὰρ καὶ αὐτὴ πρώτη ἐπ' αἰτίῃσι φύεται, αἱμοῤῥοΐδων ῥόου ἐπισχέσι, κῆν ἀπὸ ῥινὸς αἷμα μὴ ῥέῃ πρόσθεν ῥέον, ἢ μὴ διαπνέηται τὸ σκῆνος, ἢ ἱδρῶτι, ἢ πόνῳ, πρόσθεν πονεύμενον. Ἢν μὲν ὦν ἐπὶ τῇ κεφαλαίῃ ξυστῇ, τάδε χρὴ πρήσσειν ἐς ἴησιν, ὁκόσα ἐπὶ τῇσι κεφαλαίῃσι λέλεκται. Τίσι δὲ καὶ βιαιότερον ἰῆσθαι χρὴ ἐς τέλος τῶν ἀκέων, ὕστερον φράσω. Ἢν δὲ ἀπό τευ ἐπισχέσιος ὑγρῶν ἡ νοῦσος ἀποβῇ, τὴν ξυνήθη ἔκκρισιν κινέειν· ὑγιηρὸν γὰρ τῆς φύσιος ἡ παλινδρομίη. Ἢν δὲ ἡ μὲν μέλλῃ, τὸ δὲ πάθος αὔξῃ, ἐπὶ μὲν τῇσι ἄλλῃσι ἐπισχέσεσι, τῇσι διὰ ῥινὸς, ἢ ἱδρώτων, φλέβα τάμνειν τὴν ἐπ' ἀγκῶνι. Ἢν δ' ἐπὶ ἥπατι πλημμυροῦντι, ἢ σπληνὶ, ἤ τινι τῶν ἐν τοῖσι μέσοισι σπλάγχνων, ἀρήγον ἡ σικύη. Χρὴ δὲ ὁκόσον ἂν ἐκ φλεβὸς πολλὸν ἐκρέῃ, τοσόνδε ἐκ τῶνδε ἀφαιρέειν αἷμα· τόδε γὰρ τῆς προφάσιος ἡ τροφὴ, ὥςπερ δὴ καὶ γαστήρ. Ἐπὶ δὲ τῷδε τὰ τῆς κεφαλῆς ἄκεα ξυνάπτειν. Φλέβα τὴν ἐπὶ τῷ μετώπῳ ὀρθὴν τάμνοντα, ἢ τὰς ἑκατέρωθεν τῆς ῥινὸς πρὸς τοῖσι κανθοῖσι· σικύην τῇ κορυφῇ προςβάλλειν· ἐκκόπτειν τὰς ἀρτηρίας· ξυρεῖν τὴν κεφαλὴν, φοινίσσειν· φλέγμα ἄγειν διὰ ῥινῶν πταρμικοῖσι,

ὁμιλίη γυναικὸς κεφαλῇ, νεύροις, κακὸν ἐπίσπαστον.] Illud κακὸν ἐπίσπαστον Homericum est.

Od. XVIII. 73.

ἦ τάχα Ἶρος Ἄϊρος ἐπίσπαστον κακὸν ἕξει,

et XXIV. 461.

— πίθεσθέ μοι, ὡς ἀγορεύω.

μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ.

Hunc locum iam Petitus laudavit.

καὶ ἐν θαλάσσῃ διεξαγωγὴ τοῦ βίου.] Edi solet ἐξαγωγὴ τοῦ βίου. V. habet δὲ ἀγωγὴ τοῦ βίου. Goup. ἴσως διεξαγωγή in varr. lectt. — Equidem Goupyli emendationem recipio.

ὁκοῖα γὰρ τῇ κεφαλῇ ὅλῃ ἄκεα προςφόρα.] In his cett. ὁκοῖον. Ego repono plur. num. ὁκοῖα. — Paulo ante νήχεσθαι ἐν τῇ θαλάσσῃ scripsi, libris praepositionem omittentibus.

ἐλλεβόρῳ χρέεσθαι, τῇ ἐσχάτῃ καὶ δυνατωτάτῃ πάντων ἀγωγῇ.] Wiganus ad h. l.: « ἀγωγῇ, inquit, nihil hic vox haec nisi, *remedium evacuans*, significare potest: quo sensu ἀγωγά quidem ab auctore nostro frequenter usurpatur; ἀγωγή autem vel ἐξαγωγὴ βίου supra alio longe sensu invenitur. Legendum credo ἀρωγῇ..... Crassus ἀγωγῇ *remedio* vertit, quare et ipse ἀρωγῇ forsan legit." Ab hoc dissentit Trillerus, qui ἀγωγῇ servandum et *eductionem*, *evacuans* significare dicit. — Me iudice procul dubio ἀγωγῇ recte se habet: sed non interpretor *evacuans*, sed *curandi rationem*, quam etiam hodie *methodum* vocare solemus. Simili sensu sumi apud Gal. lib. II. ad Glauc., scripsit Foës. in Oecon. — Nos *eene kuur* appellamus. Cf. Steph. Thes. in voce.

Cap. 2. ἐπ' αἰτίῃσι φύεται.] Ἐπ' αἰτίῃ φύεται Pd.

ξυστῇ.] Sic H. O. Pb. *c. d.*; ξυνστῇ vulgo editur.

ἐπὶ τῇσι κεφαλαίῃσι λέλεκται.] In his κεφαλῇσι H.V.Pc.*d.*

τίσι δὲ καὶ βιαιότερον ἰῆσθαι χρὴ ἐς τέλος κ. τ. λ.] Τοῖσι H. V. Pa. *b. c. d.* — ἐς τὸ τέλος Pb. in marg. — Cum his verbis cff. ea, quae mox leguntur: ἐπὴν δὲ τῶν ἀμφὶ τὴν κεφαλὴν ἀκέων ἵκῃ ἐς τέλος κ. τ. λ.

ἢν δ' ἐπὶ ἥπατι πλημμυροῦντι.] Πλημμυροῦντι H. et ita in Pc. corrigitur in marg.; πλημμύροντι cett.

ἀρῆγον ἡ σικύη.] Ἄρηγον ἡ σ. Pc. *d.*

ὁκόσον ἂν ἐκ φλεβὸς πολλὸν ἐκρέῃ.] Vulgo ἐκρῇ, V. Pa. *d.* ἐκρεῖ, unde ἐκρέῃ pro nostri usu lego. Illud ὁκόσον ἂν ἐκ φλεβὸς πολλὸν ἐκρέῃ mihi diversum esse

ἢ διὰ στόματος, ὅκως ἔλεξα. ἅπαντα πρήσσειν ἐν κόσμῳ τῷ ἐπὶ τῇ κεφαλαίῃ εἰρημένῳ, πλὴν ὁκόσον κυκλαμίνου χυλὸς, ἢ ἀναγαλλίδος, ἔγχυτος εἰς τὴν ῥῖνα, ἔχει τὴν πρόςθεσιν.

Ἐπὴν δὲ τῶν ἀμφὶ τὴν κεφαλὴν ἀκέων ἵκῃ ἐς τέλος, ὁκόσα βιαιότερα ἐς τοὺς σκοτώδεας, τάδε χρὴ πρήσσειν. Ἐμέτοισι τοῖσι ἀπὸ δείπνου, ἠδὲ τοῖσι ἀπὸ ῥαφανίδων χρέεσθαι, τὸ ἐκ τοῦδε δέον ἐστὶ, ἀτὰρ ἠδὲ ἐς ἐλλεβόρου παρασκευήν· μελετῆσαι γὰρ χρὴ τὸν στόμαχον ἐμέειν ἐπὶ τοῖσι δεινοτέροισι ἐμετηρίοισι· ἀτὰρ καὶ τὸ φλέγμα λεπτότερον νῦν γίγνεται, καὶ ἐς τὸν ἐλλέβορον εὔχυτον. Ἐλλεβόρου δὲ δόσιες πλεῦνες· τοῖσι μὲν ἰσχυροτέροισι ὀρέξαι ἐς μέγεθος σησάμου, ἢ ὀλίγον ἀδρότερον, τετμημένον· ξὺν χόνδρῳ δὲ πλυτῷ ἢ φακῷ ἡ δόσις· σταθμὸς δὲ, ὁλκῆς δραχμαὶ δύο. ἐπὶ δὲ τῶν ἀσθενεστέρων καὶ ἰσχνοτέρων τὸ ἕψημα ξὺν μέλιτι· μέτρον, μυστίλαι δύο, ἢ τρεῖς. τῆς δὲ ποιήσιος ὁ τρόπος ἄλλῃ πῃ λελέξεται. Μεσηγὺ δὲ ἑκάστου ἄκεος, ἐπανατρέφειν τὸν νοσέοντα ἐς τὴν τῶν μέσων ὑπομονήν.

Ἀρήγειν δὲ καὶ ἐπὶ τοῖσι παροξυσμοῖσι, ὧδε· διαδέειν μὲν τὰ σκέλεα ὑπὲρ σφυρὰ καὶ γούνατα, καὶ χειρὸς καρπούς τε καὶ βραχίονας ἔνερθε τῶν ὤμων πρὸς τοῖσι ἀγκῶσι. Τέγξιες κεφαλῆς· ῥόδινον μύρον ξὺν ὄξεϊ, ἐνεψῆσαι δὲ χρὴ τῷ ἐλαίῳ ἕρπυλλον, ἢ σπονδύλιον, ἢ κισσοὺς, ἤ τι τοιόνδε. Ἀνάτριψις ἄκρων καὶ προςώπου. Ὄσφρησις ὄξεος, γλήχωνος, ἡδυόσμου, καὶ τάδε ξὺν ὄξεϊ. Διάστασις τῆς γένυος· ἔσθ' ὅπῃ

videtur ab ὁκόσον ἂν ἐκ φλεβὸς ἐκρέῃ: nempe illud interpretor ὁκόσον ἂν ἐκ φλεβὸς ἐκρέῃ, ὁκόταν πολλὸν ἐξ αὐτέης ῥέῃ.

ἢ τὰς ἑκατέρωθεν τῆς ῥινός.] Καὶ τὰς ἑ. τ. ῥ. V.

ἅπαντα πρήσσειν ἐν κόσμῳ κ. τ. λ.] Vulgo πράσσειν. Ionismum habet O. et ipse vidi in Pb. c. Ad nomen κόσμῳ cf. Oecon. Hipp.; vocabulum enim e libris Hippocraticis est desumtum.

ἐπὴν δὲ τῶν ἀμφὶ τὴν κεφαλὴν ἀκέων ἵκῃ ἐς τέλος.] Vulgo editur ἥκῃ. — Pb. ἐπεὶ — ἥκεο. — Illud ἥκῃ ferri non potest, requiritur secunda persona, eaque aoristi temporis, itaque ἵκῃ ab ἱκόμην: ne ἥκῃς quidem congruum esset, me iudice.

μελετῆσαι γὰρ χρὴ τὸν στόμαχον ἐμέειν ἐπὶ τοῖσι δεινοτέροισι ἐμετηρίοισι.] Libri μελέτησι γὰρ χρὴ τοῦ στομάχου ἐμέειν κ. τ. λ. — Exhibui emendationem Wigani, in quam et ipse incideram. — Contulit dudum editor Anglus verba e cap. de cur. melancholiae: ἐπίπροσθεν δὲ τοῦ ἐλλεβόρου χρὴ τόν τε στόμαχον μελετῆσαι ἐξεμέειν καὶ τὰ ὑγρὰ λεπτῦναι.

καὶ ἐς τόν ἐλλέβορον εὔχυτον.] Ἐς τὸ ἐλλέβορον vulgo; τὸν H. V. O. Pb. c.

ἐλλεβόρου δὲ δόσιες πλεῦνες· τοῖσι μὲν ἰσχυροτέροισι ὀρέξαι ἐς μέγεθος σησάμου ἢ ὀλίγον ἀδρότερον τετμημένον· ξὺν χόνδρῳ δὲ πλυτῷ ἢ φακῷ ἡ δόσις· σταθμὸς δὲ, ὁλκῆς δραχμαὶ δύο.] Libri in hisce: τοῖσι μὲν ἰσχυροτέροισι ἀρῆξαι ἐς μέγεθος ἄμης (ἄμμης emendatur in Pb.) ἢ ὀλίγον ἀδρότερον τετμημέναι (τετμηκέναι H. V. m. O. Pc. d.) ξὺν χόνδρῳ τε πλυτῷ κ. τ. λ. — et mox δράχμας δύο V. pro vulgato δραχμαὶ δύο. — Pro isto ἄμης Wiganus χήμης coniicit parum feliciter. — Petitus esse dicit, qui non ἄμης sed σησάμου legant, quam lectionem veriorem sibi videri. Longe certissimum est, in ἄμης vestigium superesse nominis σησάμου: cf. Pauli verba e VII. 10.: ὁ δὲ δὴ πάντων δραστικώτατος τρόπος τοιοῦτός τίς ἐστι· κατατέμνων τοῦ ἐλλεβόρου τὰς ῥίζας εἰς μεγέθη παραπλήσια σησάμοις κ. τ. λ. — Verum miror, interpretes non animadvertisse praeterea alia latere vitia. Nimirum in isto τετμημέναι, quod in libris nonnullis abiit in τετμηκέναι pessima quadam librariorum coniectura, latet τετμημένον, et vero pro ἀρῆξαι, quod prorsus sensu cassum h. l., legendum est ὀρέξαι, sicuti infra ἄρτου μούνου ὀρέγειν, ubi vide quae adnotavimus. — Tandem pro χόνδρῳ τε πλυτῷ de meo reposui χόνδρῳ δὲ πλυτῷ. — Iam locus probabiliter descriptus esse videtur.

μυστίλαι.] Μυστεῖλαι Pa. c. d. μυστήλαι Pb.

λελέξεται.] Sic O. Pc. d. λέξεται cett.

ἐπανατρέφειν.] Ὑπανατρέφειν vulgo: ὑπανατραφεῖν V. ὑπαναστραφέειν H. ὑπανατραφέειν Pa. b. c. d. Repono ἐπανατρέφειν, collato loco e cap. de cur. melancholiae: εἶτ' αὖθις ἐπανατρέφειν. Iisdem verbis collatis idem dudum desideravit Wiganus.

ἔνερθε.] Ἔνερθεν Pb. c. d.

τέγξιες κεφαλῆς· ῥόδινον μύρον ξὺν ὄξεϊ, ἐνεψῆσαι δὲ χρὴ τῷ ἐλαίῳ ἕρπυλλον, ἢ σπονδύλιον, ἢ κισσοὺς, ἤ τι τοιόνδε.] Καὶ σπονδύλιον V. — Sed maxime me advertit κισσούς plurali numero: — in cap. de cur. phrenitidis κισσοῦ χυλὸς adiicitur τέγξεσι κεφαλῆς, ita ut fere coniicias: ἢ κισσοῦ χυλὸν ἐγχέειν, ἤ τι τοιόνδε. — Sed fortasse h. l. κισσοί plur. num. indicat κισσοῦ καρπούς, hederae baccas, quarum frequenter fit mentio v. c. apud Scribonium Largum in remediis ad capitis dolorem. Vel κισσούς accipiendum de pluribus κισσοῦ speciebus, sicuti noster ἄλητα plur. num. de variis ἀλήτου generibus usurpat. Non memini me apud alios κισσοί plur. numero legere. — De meo ἕρπυλλον scripsi; libri ἑρπύλλιον. Nempe librarii terminationem sequentis nominis ad hoc transtulerunt; saepe noster ἑρπύλλου κόμη v. c., non ἑρπυλλίου.

γὰρ ἐρείδουσι τὰς γνάθους. γαργαλισμὸς παρισθμίων· ἐμέτου πρόκλησις. ἐπὶ γὰρ ἐκχύσι κοτὲ φλέγματος ἀνέγροντο ἐκ τοῦ ζόφου. Τάδε μὲν ὦν ἐς τὴν τοῦ παροξυσμοῦ παρηγορίην, καὶ σκέδασιν τοῦ ζοφώδεος.

Διαίτης δὲ περὶ ἁπάσης τῆς ἐν τῇ θεραπείῃ καὶ τῆς ἐς αὖθις, τάδε γιγνώσκω. Ὕπνος πουλὺς κακὸν, κακὸν δὲ καὶ ἀϋπνίη· πουλὺς μὲν γὰρ ναρκᾷ τὰς αἰσθήσιας, τῆς κεφαλῆς ἀτμῶν πλημμύρα· τάδε μέντοι βάρεος καὶ ἤχων καὶ μαρμαρυγῶν ἐστὶ αἴτια, τῆς νούσου τὰ ξύμβολα. ἀγρυπνίη δὲ ἄπεπτον, ἄτροφον, καματηρὸν τῷ σκήνεϊ, ἄθυμον, εὐπαράγωγον τῆς γνώμης· διὰ τόδε ῥηϊδίως μαίνονται καὶ μελαγχολέουσι οἵδε. ξύμφορος δὲ ὁ μέτριος ἐς τὴν τῆς τροφῆς οἰκονομίην, καὶ ἐς ἀνάπαυλαν τῶν δι' ἡμέρης καμάτων. Προεδρίη τῆς κοιλίης ἐς ἀπόκρισιν· διαπνοῆς γὰρ ἡ μέζων αἰτίη, κοιλίη. Ἀνάτριψις αὖθις σκελῶν δι' ἡμιτυμβίων τρηχέων, μέσφι φοινίξιος· ἔπειτα, νώτου καὶ πλευρέων· ὕστατα, κεφαλῆς. Ἀπὸ τουτέων, περίπατοι, προσηνέες μὲν ἀρχῆθεν, καὶ ἐς ἀπόπαυσιν· ἐπίτροχοι δὲ, οἱ μέσοι. ἠρεμίη, κατάστασις τοῦ πνεύματος ἐπὶ τοῖσι περιπάτοισι ἔστω. Ἀναφωνέειν χρὴ, τοῖσι βαρέσι φθόγγοισι μᾶλλον χρεόμενον ἠχέειν. ὀξέες γὰρ, κεφαλῆς διαστάσιες, κροτάφων παλμοὶ, ἐγκεφάλου διασφύξιες, ὀφθαλμῶν πρήσιες, ἤχων ἀκοή. μετρίη ὀξυφωνίη, κεφαλῇ ὀνηϊστόν. Ἔπειτα δὲ καιρὸς αἰώρης, ἐς διαπνοὴν τοῦ παντὸς κεφαλῆς βάρεος· πλῆθος δὲ ἔστω πολλὸν, πλὴν ὁκόσον ἀκάματον ᾖ· μηδὲ ἐπὶ ἑλιγμοῖσι τοῖσι τοῦ χωρίου, μηδὲ ξυνεχέσι καμπῇσι αἰώρη γιγνέσθω· ἰλίγγων γὰρ τάδε προκλήσιες. Εὐθέες δὲ καὶ μακροὶ, καὶ λεῖοι ἔστων καὶ οἱ περίπατοι. Ἢν μὲν ὦν ἐν ἔθει ἔωσι ἀρίστου, ἄρτου μούνου

γαργαλισμὸς παρισθμίων.] Vulgo *γαργαρισμός*, sed Pd. *γαργαλισμός*, quod interpretes dudum requirebant.

ἀνέγροντο.] Ἀνέγρεντο Pa. *b. c. d.*

ὕπνος πουλὺς, κακόν· κακὸν δὲ καὶ ἀϋπνίη.] Prius illud *κακόν* in libris interiit. Addendum esse, nemo interpretum non vidit.

πουλὺς μὲν γὰρ ναρκᾷ τὰς αἰσθήσιας, τῆς κεφαλῆς ἀτμῶν πλημμύρα· τάδε μέντοι βάρεος καὶ ἤχων καὶ μαρμαρυγῶν ἐστι αἴτια, τῆς νούσου τὰ ξύμβολα.] Libri: *πολὺς* (*πουλύς* Pc. d.) *μὲν γὰρ ναρκᾷ τὰς αἰσθήσιας τῆς κεφαλῆς· ἀτμῶν πλημμύρα ὄκνος ἁπάσης πρήξιος. τάδε μέντοι βάρεος καὶ ἤχων καὶ μαρμαρυγῶν* (*μαρμαρυγμῶν* H. V. Pa. *b. c. d.*) *ἐστὶ αἴτια τῆς ν. τὰ ξ.* — Omnes interpretes consentiunt in iungendo *αἰσθήσιας τῆς κεφαλῆς*: satis mirari nequeo, eos non vidisse iungendum esse *τῆς κεφαλῆς ἀτμῶν πλημμύρα*; nam re vera haec vaporum in capite *πλήμμυρα* obtundit sensus et gravitatem capitis facit, et visum et auditum turbat. — Verum, quum haec omnia tam arcte cohaereant rerum ipsarum natura, sponte patet etiam totum illud *ὄκνος ἁπάσης πρήξιος* esse eiiciendum, quum ab hoc loco alienum sit; et licet nesciam, quomodo aut unde huc devenerit, propterea non minus sum certus delendum esse.

εὐπαράγωγον τῆς γνώμης· διὰ τόδε ῥηϊδίως κ. τ. λ.] Libri omnes *εὐπαράγωγος ἡ γνώμη*: restitui de coniectura: Petitus idem quidem requirebat, sed tamen vulgatam tueri videtur. — Vulgo *διὰ τάδε*: cum Wig. ex H. *διὰ τόδε* exhibui.

προεδρίη τῆς κοιλίης ἐς ἀπόκρισιν· διαπνοῆς γὰρ ἡ μέζων αἰτίη κοιλίη.] Libri *πρόνοια καὶ ἐπιμονή. προεδρίη τῆς κ. τ. λ.* — Illud *πρόνοια καὶ ἐπιμονή* in H. Pc. non legitur; in Pd. margini tantum est adscriptum. — Crassus Latine non est interpretatus. Petitus vitio intrusa credidit. Wiganus: « *πρόνοια* etc., inquit, an recte omnia?" — Me iudice illud *πρόνοια καὶ ἐπιμονή* ab interprete nescio quo est profectum *προεδρίη* illustrare volente. — Cum hoc loco cff. verba supra obvia: *τόδε* (*τὸ αἷμα*) *γὰρ τῆς προφάσιος ἡ τροφή· ὥσπερ δὴ καὶ γαστήρ.*

ἀνάτριψις αὖθις σκελῶν δι' ἡμιτυμβίων τρηχέων.] Ἡμιτυβίων mentio facta apud Hipp. — Cf. Foës. Oecon. in voce, ubi nostri auctoris verba laudat magnus divini senis interpres.

ἀναφωνέειν χρὴ τοῖσι βαρέσι φθόγγοισι μᾶλλον χρεόμενον ἠχέειν.] Illud *ἠχέειν* Petito displicet, qui *ἢ ὀξέσι* reponi cupit. Fallitur vir eruditissimus: *ἠχέειν* rectissime habet: sunt qui eiusmodi infinitivi per *ὥστε* additum exponant: *τοῖσι βαρέσι φθόγγοισι χρεόμενον ὥστε* (*ἐς τὸ*) *ἠχέειν.*

ἐς διαπνοὴν τοῦ παντὸς κεφαλῆς βάρεος.] Κεφάλου Pb. et in marg. — *ἐγκεφάλου* emendatur.

πλῆθος δὲ ἔστω πολλόν.] Imperativum *ἔστω* de coniectura exhibeo: *ἔσται* vulgo. — Advertit *πλῆθος* ad *αἰώρην* relatum: mirum quodammodo sonat mihi *πλῆθος αἰώρης*!

μηδὲ ἐπὶ ἑλιγμοῖσι τοῖσι τοῦ χωρίου, μηδὲ ξυνεχέσι καμπῇσι αἰώρη γιγνέσθω. ἰλίγγων γὰρ τάδε προκλήσιες.] Initio horum verborum *μηδέ* in libris deficit. — Crassus:

ὀρέγειν, ὁκόσον μηδὲν ἐμποδὼν τοῖσι γυμνασίοισι ἔμμεναι· προπεπέφθαι γὰρ χρή. Ἐπὶ δὲ τοῖσι κεφαλὴ καὶ χεῖρες καὶ αἱ τῶνδε τρίψιες πρηέως, οἷον ἐς ἀνάκλησιν θέρμης καὶ εὐσαρκίης, καὶ τόνου. Ἔπειτα κεφαλὴν τρίβεσθαι ὄρθιον ἑωυτέου μέζονι ὑπέχοντα. Ἀτὰρ καὶ τὰ γυμνάσια ἐς τραχήλου πρήσιας, καὶ ἐς διωσμὸν χειρῶν, ξυντείνει εὐπαιδεύτως. Ὑπεραιωρεῦντα δὲ χρὴ τὴν κεφαλὴν, καὶ τὰς ὄψιας γυμνάζειν, χειρονομίῃ, ἢ δίσκων βολῇ, ἢ φιλονεικεῦντα πυγμῇ.' Κακὸν δὲ σφαῖρα, μικρή τε καὶ μεγάλη. τῆς γὰρ κεφαλῆς καὶ τῶν ὀφθαλμῶν αἱ δινήσιές τε καὶ ἐντάσιες σκοτώματα ποιέουσι. Ἄριστον ἀφάλσιες, καὶ δρόμοι. τὸ ὀξὺ μὲν πᾶν ἐς τὰ σκέλεα. Πάντων τονώσιες· ψυχρολουσίη ἀλουσίης κρέσσων· ἀλουσίη δὲ θερμολουσίης. στῦψαι, πυκνῶσαι, ξηρῆναι κεφαλὴν, ψυχρολουσίη δυνατωτάτη, ὑγείης ἡ κατάστασις ὑγρῆναι, λῦσαι, ἀχλυῶσαι, θερμολουσίη δυνατωτάτη· κεφαλῆς δὲ νούσου αἱ προφάσιες· τοιοίδε καὶ οἱ νότοι, βαρυήκοοι. Ἡσυχίη ἐπὶ τοῖσι γυμνασίοισι, ἐς κατάστασιν τοῦ ταράχου. Πιέξιες τῆς κεφαλῆς ἐς τὴν τοῦ δέρματος ξύσιν.

Προπόσιες ὕδατος, ἢ οἴνου ὑδαρέος. Ἄριστον εὐτελές· λαχάνων κόμης τὰ μαλθακτήρια, μαλάχης, τεύτλου, βλίτου. ἔμβαμμα εὐστόμαχον, εὔστομον, κοιλίης μαλθακτικὸν, ἀβαρὲς δὲ κεφαλῇ, διὰ θύμου, ἢ θύμβρης, ἢ σινήπιος. ᾠῶν τὰ θερμὰ χειμῶνος, θέρεος δὲ τὰ ψυχρὰ, γυμνὰ τοῦ ὀστρακώδεος, μὴ ὀπτά· ἐλαῖαι, φοίνικες, τάριχος ὡραῖον. χόνδρος πλυτὸς, ξύν τινι τῶν γλυκέων, ὁκόσον ἡδῦναι, αἱρετόν.

neque... neque. Wiganus *μή* requirebat. — Malui *μηδέ* exhibere.

ἔστων καὶ οἱ περίπατοι.] Οἱ om. *Pb.* — *ὑπέρτατοι* pro *οἱ περίπατοι* H. V. G. v. l. *Pa. c. d.*

ἄρτου μούνου ὀρέγειν.] Vulgo *μόνου*: Ionismum praebet O. *μόνον Pd.* — Tum vero *Pa. b. c. d.* *ἀρήγειν*: itaque vides, nos haud adeo temere supra *ἀρῆξαι* in *ὀρέξαι* mutasse.

προπεπέφθαι γὰρ χρή. Ἐπὶ δὲ τοῖσι κεφαλὴ καὶ χεῖρες καὶ αἱ τῶνδε τρίψιες πρηέως, οἷον ἐς ἀνάκλησιν θέρμης καὶ εὐσαρκίης, καὶ τόνου.] Libri *προπεπέφθαι γὰρ χρή. κεφαλῇ* (*κεφαλή* O.) *καὶ χεῖρες καὶ αἱ τῶνδε τρίψιες· ἐπὶ δὲ τοῖσι οἷον πρηέως ἐς ἀνάκλησιν θέρμης κ. τ. λ.* — Crassus nescio quo modo Latine vulgatam est interpretatus. Wigauus *οἶνον* desiderat pro *οἷον*. Petitus lacunam esse suspicatur. — Equidem verba a librariis turbata ad pristinum ordinem revocasse mihi videor.

ἔπειτα κεφαλὴν τρίβεσθαι ὄρθιον ἑωυτέου μέζονι ὑπέχοντα.] Crassus: « postea suum ipsius caput erectum fricato, diutius hunc laborem sustinens.” Eodem modo interpretatur Wiganus, qui illum descripsit, et in adnn. adeo vitium latere arbitratur in *μέζονι ὑπέχοντα.* — Rem acu tetigit Petitus: «Vult fricari, inquit, recto ab aliquo [puto eum voluisse *rectum ab aliquo* E.], qui proceriori sit corpore; ita ut aeger stans inferior sit.” — Verissime hic: inest breviloquentia in Aretaei verbis. Interpretor: *ἔπειτα (τὸν νοσέοντα τὴν) κεφαλὴν τρίβεσθαι (χρὴ, ἑωυτὸν) ὄρθιον ἑωυτέου μέζονι (τινὶ) ὑπέχοντα.* — Itaque non verum est *ὑπέχειν* h. l. *subesse* significare, ut vult Petitus; neque vero hic locum, quem bene ceperat, coniectura insuper tentare debuerat. Verba sanissima sunt, bene Graeca et eleganti auctore digna.

καὶ ἐς διωσμὸν χειρῶν ξυντείνει.] *Διωγμόν* H. *Pc. d.* *συντείνει* vulgo: *ξυντ.* O. *Pa. b. c. d.*

ἢ δίσκων βολῇ, ἢ φιλονεικεῦντα πυγμῇ.] Ἢ ante *φιλονεικεῦντα* in libris desideratur et de coniectura est additum. Crassus et Wig. Latine expresserunt.

κεφαλῆς καὶ τῶν ὀφθαλμῶν αἱ δινήσιές τε καὶ ἐντάσιες.] Libri *ἐνστάσιες*. Crassus « intentiones;” — quod requirit etiam Wiganus.

ἄριστον ἀφάλσιες καὶ δρόμοι. τὸ ὀξὺ μὲν πᾶν ἐς τὰ σκέλεα. Πάντων τονώσιες· ψυχρολουσίη κ. τ. λ.] Pro *ἀφάλσιες Pb.* *ἀφέσεις*. — Interpretes iungunt *τὸ ὀξὺ μὲν πᾶν ἐς τὰ σκέλεα πάντων τονώσιες*. Crassus: «omnia velocia exercitia cruribus conveniunt et omnia roborant.” Wiganus: « quin et omnia acria crurum exercitia totum corpus roborant.” — Me iudice haud ita explicanda sunt Aretaei verba, sed *πάντων τονώσιες* absolute per se est sumendum; et vero potius cum seqq. *ψυχρολουσίη κ. τ. λ.* cohaeret, quam cum superioribus.

ψυχρολουσίη ἀλουσίης κρέσσων.] *Pb.* *ψυχρολουσίη κρέσσων ἀλουσίης.*

κεφαλῆς δὲ νούσου αἱ προφάσιες.] Pro *δέ*, quod de coniectura repono, libri *γάρ*. Causalis particula h. l. nullo modo ferri potest.

πιέξιες τῆς κεφαλῆς ἐς τὴν τοῦ δέρματος ξύσιν.] Edi solet *πίεσις*: sed *πιέξιες* ferunt H. V. A. *Pa. b. c. d.*: nullam vidi causam, cur formam in libris Hippocraticis frequenter obviam non reciperem. Mire haec interpretatur Crassus: « capitis pressiones ad cutim poliendam faciunt.” — Wiganus: « capitis compressio ad pruritus in cute commotionem.” — Me iudice *ἐς* h. l. est *usque ad*; itaque significat, puto, Aretaeus: caput tam fortiter comprimendum esse, ut cutis atteratur et prope absit, quin radatur.

προπόσιες ὕδατος ἢ οἴνου ὑδαρέος.] Sic H. V. O. *Pc. d.* — Cett. pone *ὕδατος* insertum ferunt *πόσι*, quod Crassus Latine non expressit et apud Henyschium uncinis interceptum est. Delendum esse Petitus quoque vidit.

ἐπὶ τοῖςδε ἅλες. Ἠρεμίη· ἡσυχίη, καὶ ἀκοῆς, καὶ λαλιῆς Περίπατοι, ἔνθα ἂν εὔπνοον καὶ εὔχαρι, δένδρεσι, ἢ ϐοτάνῃσι. Ἢν δὲ ἐς δεῖπνον ἥκῃ, μάλιστα μὲν αὖθις ψυχρολουτέειν, σμικρὸν ὑποχρισάμενον λίπαϊ· εἰ δὲ μὴ, σκέλεα μοῦνον. Τὸ δεῖπνον, σιτῶδες, οἷον ἰτρίον, ἢ ῥόφημα χόνδρου, ἢ πτισάνη ἄφυσος, ἑψῆσι εὔπεπτος. Φάρμακα δὲ τὰ ἐς ἡδονὴν τῆς πτισάνης, πέπερι, γλήχων, ἡδύοσμον, κρομμύων ἢ πράσου σμικρὸν, μηδὲ ὁκόσον ἐμπλεῦσαι. ὄξεος δὲ τὸ δριμὺ ξύμφορον. Κρεῶν, τὰ ἐκ πιόνων μὴ πίονα· συῶν πόδες, καὶ κεφαλή· πτηνὰ πάντα· τῷ πλήθεϊ δὲ τεκμαίρεσθαι· λαγὼς καὶ τὰ θηρευτὰ δὲ ἄλλα· ἀλεκτορὶς εὔπορος καὶ ξύμφορος. Τράγημα πᾶν κεφαλαλγὲς, πλὴν φοίνικος, ἢ τῶν ὡραίων σύκων, ἢ σταφυλῆς, ἣν ἄφυσος ὤνθρωπος ἔῃ, ἠδὲ πεμμάτων, ἣν εὔπεπτα, καὶ ἄκνισα, καὶ κοῦφα. Περίπατοι· θυμηδίη. ἐν ἡσυχίῃ ἐς ὕπνον ἄφεσις.

ΘΕΡΑΠΕΙΑ ΕΠΙΛΗΨΙΗΣ.

Κεφ. δ'.

Ἀκέων ὅ τι περ μέγα καὶ δυνατώτατον ἐς ἐπιληψίην χρέεσθαι· φυγὴ γὰρ οὐ μοῦνον ἐπιπόνου πάθεος, καὶ κινδυνώδεος ἐφ' ἑκάστης ὑπομνήσιος, ἀλλὰ καὶ ἰδέης αἴσχεος, καὶ ὀνείδεος τῆς ξυμφορῆς. Καί μοι δοκέω, εἴ περ εἰς ἀλλήλους ἐν τοῖσι

ἀβαρὲς δὲ κεφαλῇ.] Κεφαλῆς *Pb.*

περίπατοι, ἔνθα ἂν εὔπνοον καὶ εὔχαρι, δένδρεσι, ἢ ϐοτάνῃσι.] Vulgo *περίπατοι ἔνθα ἂν εὔπνοον· εὔχαρι δένδρεσι ἢ β.* — In O. ex H. legis *ἔνθα ἂν εὔπνοον ἢ εὔχαρι κ. τ. λ.* — Pro particula disiunctiva ante *εὔχαρι* repono coniunctionem *καί*: fortasse tamen in *ἢ* latet *ἦ*, ita ut copula prorsus interierit, et legendum sit: *ἔνθα ἂν εὔπνοον ἦ καὶ εὔχαρι κ. τ. λ.*

κρομμύων, ἢ πράσου σμικρὸν, μηδὲ ὁκόσον ἐμπλεῦσαι. ὄξεος δὲ τὸ δριμὺ ξύμφορον.] Editur *πράσων*, ut habent libri omnes: sed quemadmodum *κρόμμυα* plurali numero, ita *πράσον* singulari scribere solent Graeci; librarii vero terminationes confudisse videntur, ita ut *πράσου* reponam. Non obliviscor *τὰ πράσα* plurali numero in cap. de pleuritide obvium esse; sed ibi scriptura certa videtur, non hoc loco. — Ad *ἐμπλεῦσαι* supple cogitatione s. *τῇ κοιλίῃ* s. *τῷ στομάχῳ.* — Vulgo *ὄξος*: praefero genitivum, quem praebent H. V. A. *Pb. c. d.*

κρεῶν τὰ ἐκ πιόνων μὴ πίονα· συῶν πόδες καὶ κεφαλή· πτηνὰ πάντα· τῷ πλήθεϊ δὲ τεκμαίρεσθαι. λαγὼς καὶ τὰ θηρευτὰ δὲ ἄλλα· ἀλεκτορὶς εὔπορος καὶ ξύμφορος.] In vulgata in libris scriptis et editis omnibus *ἄλλα* abest, et *καὶ τὰ θηρευτὰ δέ* tantum legitur. — Petito in vulgata *δέ* pone *θηρευτά* abundare videtur, neque intelligit verba *τῷ πλήθεϊ δὲ τεκμαίρεσθαι.* — Mihi *λαγὼς καὶ τὰ θηρευτὰ δέ* propterea displicet, quod ipse *λαγώς* ad *τὰ θηρευτά* pertinet; itaque vocabulum excidisse puto, quo praeter leporem etiam ceteram venationem commendet auctor, adeoque *ἄλλα* de meo infero, quod ante *ἀλεκτορίς* ob literarum similitudinem facile interire potuit. — Verba a Petito non intellecta expono: *τῷ πλήθεϊ δὲ τῷ ἐν τῇ χώρῃ παρεόντι τεκμαίρεσθαι τίνα μάλιστα ἂν παρέχοις τῷ νοσέοντι*: nam ita accipienda esse, docet sequens *ἀλεκτορὶς εὔπορος*, quod est *ἐν πάσῃ χώρῃ εὔπορος.*

τράγημα πᾶν κεφαλαλγὲς, πλὴν φοίνικος, ἢ τῶν ὡραίων σύκων, ἢ σταφυλῆς, ἣν ἄφυσος ὤνθρωπος ἔῃ, ἠδὲ πεμμάτων, ἣν εὔπεπτα, καὶ ἄκνισα, καὶ κοῦφα.] Libri in hisce: *ἣν ἄφυσος ὤνθρωπος* (*ἄνθρωπος* O.) *ἔῃ, εὖ τοῖσι* (*εὖ καλὸν ἐν τούτοις τοῖσιν* O. A. *καλὸν ἐν τούτοις* V. et *Pd.* in marg.) *ἠδὲ πεμμάτων εὔπεπτα κ. τ. λ.* — Quid Crassus legerit, ex huius Latinis haud satis certo patet. Petitus *εὐθετήσει δὲ πεμμάτων εὔπεπτα* tentat. Wiganus ad *εὖ καλόν*, quod recipit, adnotat: «mendosa haec esse, manifestum." — Mihi locus corruptus videtur et difficilis eius restitutio: puto *εὖ* repetitionem esse superioris *ἔῃ*: itaque si illud *καλὸν κ. τ. λ.* recipere velis, possis scribere: *ἣν ἄφυσος ὤνθρ. ἔῃ· καλὸν ἐν τούτοισι ἠδὲ πεμμάτων τὰ εὔπεπτα κ. τ. λ.* — Sed potius me iudice suspiceris, illud *καλὸν ἐν τούτοισι* recentiori manui originem debere; itaque conieci *πλὴν φοίνικος, ἢ τῶν ὡραίων σύκων, ἢ σταφυλῆς, ἣν ἄφυσος ὤνθρωπος ἔῃ, ἠδὲ πεμμάτων, ἣν εὔπεπτα, καὶ ἄκνισα, καὶ κοῦφα.* Nimirum ad genus *τράγημα* pertinet species *πεμμάτων*, et in mea loci scriptura iam genitivus *πεμμάτων* a *πλήν* pendet. — Quod ad horum verborum initium attinet, cap. superiore etiam posuit: *τράγημα πᾶν κεφαλαλγὲς, πλὴν φοίνικες πάσης ἰδέης.*

θυμηδίη.] Sic O. *Pa. b. c. d.*; *θυμηδία* cett.

Cap. 4. *φυγὴ γὰρ οὐ μοῦνον κ. τ. λ.*] Οὐ omm. H. V. *Pa. b. d.*

τῆς ξυμφορῆς.] Ξυμφ. O. *Pc.* συμφ. cett.

οὐκέτι ἐπιφοιτέει ἐς τὸν ἄνθρωπον· ξυναποίχεται γὰρ

παροξυσμοῖσι ἐνέβλεπον, ὁκόσα πάσχουσι οἱ νοσεῦντες, οὐκ ἂν ἔτι ζώειν τλαῖεν ἄν. ἀλλὰ γὰρ τὰ δεινὰ ἑκάστῳ καὶ τὰ αἰσχρὰ ἀναισθησίη καὶ ἀθεησίη κρύπτει. Ξυνομαρτεῖν δὲ τὴν ἰητρείην τῇ ῥαστώνῃ τῆς φύσιος ἄριστον, εὖτε τῇσι μεταβολῇσι τῆς ἡλικίης ἐς μέγα ἀμείβει τὸν ἄνθρωπον. εἰ γὰρ ἡ ξυνήθης τῷ κακῷ δίαιτα, ἐν ᾗ ἐμβιοτεύει ἡ νοῦσος, οἴχετο, οὐκέτι ἐπιφοιτέει ἐς τὸν ἄνθρωπον· ξυναποίχεται γὰρ τῷ πρόσθεν ἠθεϊ.

Ἢν ὦν τῆς κεφαλῆς λάβηται καὶ ἐνοικέῃ τῇδε, ἅπαντα χρὴ πρήσσειν, ὁκόσα μοι ἀμφὶ κεφαλαίης λέλεκται, ἀμφί τε τὰς τοῦ αἵματος ἀφαιρέσιας, φλεβῶν τῶν ἐπ' ἀγκῶνος, μετώπου τῆς ὀρθίας, σικύης, ἠδ' ἀμφὶ τὰς καθάρσιας. Τὰς δὲ ἀφαιρέσιας μὴ μέσφι λειποθυμίης ποιέεσθαι· πρόκλησις γὰρ τοῦ πάθεος λειποθυμίη. Ἀρτηρίας τάμνειν ἁπάσας, τάς τε ὤτων πρόσω τε καὶ ὀπίσω. Καθάρσιας δὲ ποιέεσθαι ἐξοχέας τουτέων πάντων τῇ ἱερῇ, καὶ τῆς κεφαλῆς τοῖσι ἄγουσι φλέγμα. Πολλῷ δὲ δυνατώτερα ἔστω φάρμακα· φέρει γὰρ ἡ ἕξις τῶνδε τοὺς πόνους. εὐθυμίη δὲ καὶ εὐελπιστίη τίθησι τοὺς νοσέοντας τλήμονας. Χρεὼν καὶ πῦρ φέρειν ἐς τὴν κεφαλήν· ἀνύει γάρ. Τετρῆναι δὲ χρὴ πρῶτα τὸ ὀστέον μέχρι διπλόης· ἔπειτα κηρωτῇσι καὶ ἐπιπλάσμασι χρέεσθαι, ἔς τ' ἂν ἡ μῆνιγξ τῶν ὀστέων ἀποστῇ. κἢν ἔτι σμικρὸν ἀντέχῃ μέχρι αὐτομάτου ἀποστάσιος, τερέτρῳ χρὴ περικόπτειν τὰ γυμνά, ὅτε μέλαινά κοτε τουτέων καὶ παχείη εὑρέθῃ ἡ μῆνιγξ. Καὶ ἐπήν, ἐς μύδησιν, ἢ καὶ κάθαρσιν, τοῦ ἰητροῦ εὐτόλμως ἀκεομένου, ἐς ὠτειλὴν ξυμβῇ τὸ τρῶμα, ὤνθρωπος

τῷ πρόσθεν ἠθεϊ.] Libri omnes ἐπιφοιτεύει, quae forma librariis debetur terminationem verbi ἐμβιοτεύει ad Ionicum ἐπιφοιτέει trahentibus. Ceterum frustra olim ad Hipp. de victu acut. hunc locum tentavi ἤθεϊ pro ἠθεϊ legere suadens: nimirum ἤθεα pro τόποι, ἐν οἷς ἀναστρέφονται plurali numero occurrit quidem, sed non sing. num. ἦθος eo sensu dici solet.

ἢν ὦν τῆς κεφαλῆς λάβηται, καὶ ἐνοικέῃ τῇδε, ἅπαντα χρὴ πρήσσειν, ὁκόσα μοι ἀμφὶ κεφαλαίης λέλεκται, ἀμφί τε τὰς τοῦ αἵματος ἀφαιρέσιας, φλεβῶν τῶν ἐπ' ἀγκῶνος, μετώπου τῆς ὀρθίας, σικύης, ἠδ' ἀμφὶ τὰς καθάρσιας.] Libri haec ad hunc modum scripta ferunt: ἢν ὦν τῆς κεφαλῆς λάβηται, ἐνοικέει. τῇδε ἅπαντα χρὴ πρήσσειν, ὁκόσα μοι ἀμφὶ κεφαλαίης λέλεκται, ἀμφί τε τὰς τοῦ αἵματος ἀφαιρέσιας, ἠδ' ἀμφὶ τὰς καθάρσιας φλεβῶν τῶν ἐπ' ἀγκῶνος, μετώπου τῆς ὀρθίας, σικύης. — Eodem modo videtur legisse Crassus, qui tamen, prudentius quam Wiganus, non coniungit καθάρσιας φλεβῶν: neque enim ullo modo haec coniungere licet; καθάρσιες sunt corporis purgationes qualescumque, ἀφαιρέσιες, etiam si αἵματος non adponatur, sunt sanguinis detractiones: venarum purgationis mentionem factam videre me non memini. — Petitus in vulgata lect. pone καθάρσιας puncto distinguere voluit, et inter hoc nomen et sequens φλεβῶν vocem interiisse, v. c. τομάς, putavit: tum vero ὀρθίης Ionice legendum censuit et pro σικύης accusativum σικύην. — Wiganus, quod miror, ad loci difficultates silet. — Me quidem statim initio offendit τῇδε ab ἐνοικέει puncto seiunctum; nam apodosis est in ἅπαντα κ. τ. λ.; superiora omnia ad protasin pertinent. Iam vero καί interiisse videtur pone λάβηται; itaque copulam reposui et verbo ἐνοικέει debitum modum restitui. — In seqq. vides, me tantum verborum ordinem mutasse: iamque locus ad pristinam integritatem restitutus mihi videtur, nisi forte praestet totum illud φλεβῶν τῶν ἐπ' ἀγκῶνος, μετώπου τῆς ὀρθίας, σικύης una persanare litura.

τῇ ἱερῇ.] H. l. pone ἱερῇ rursus delevi glossam τῷ καθαρτηρίῳ.

πρόσω τε καὶ ὀπίσω.] Καὶ πρόσω τε καὶ ὀπίσω Pb.

τετρῆναι δὲ χρὴ πρῶτα τὸ ὀστέον μέχρι διπλόης· ἔπειτα κηρωτῇσι καὶ ἐπιπλάσμασι χρέεσθαι, ἔς τ' ἂν ἡ μῆνιγξ τῶν ὀστέων ἀποστῇ. κἢν ἔτι σμικρὸν ἀντέχῃ μέχρι αὐτομάτου ἀποστάσιος, τερέτρῳ χρὴ περικόπτειν τὰ γυμνά, ὅτε μέλαινά κοτε τουτέων καὶ παχείη εὑρέθῃ ἡ μῆνιγξ.] Libri: τετρῆναι — τῶν ὀστέων ἀποστῇ. τερέτρῳ χρὴ περικόπτειν τὰ γυμνά, κἢν ἐπὶ σμικρὰ (σμικρὸν H. V. Pc. d.) ἀντέχῃ μέχρι αὐτομάτου ἀποσπάσιος, ἕως ὅτε μέλαινά κοτε τουτέων καὶ παχείη εὑρεθῇ (sic) ἡ μῆνιγξ. — Librarii sententiae membra pessime turbarunt, quae in pristinum ordinem redegi, ita ut una haec difficultas iam evanuerit. Certas etiam iudico emendationes ceteras: pro ἐπὶ σμικρὸν ἀντέχῃ, legendum ἔτι σμικρὸν ἀντέχῃ; voculas ἐπί et ἔτι saepissime confundunt librarii; ἀποσπάσιος ἕως, in unum vocabulum ἀποστάσιος mutandum: sermo est de ossibus abscedentibus, quibus remotis in conspectum prodit cerebri membrana. Illud ἕως ortum debet dittographiae ἀποστά-
εως
σιος. — Iam omnia sana et salva sunt.

ἐς μύδησιν.] A. Vm. Pd. m. glossam ferunt σῆψιν.

ξυμβῇ.] Ξυνέβη H. Pa. b. c. d. — , unde efficias in nonnullis libris pro ἐπήν aliam quamdam voculam fuisse positam.

ἐπίπροσθεν τῆς χρήσιος.] Equidem non certus sum, an non potius χρίσιος scripserit Aretaeus.

ἐξῆλθε τῆς νούσου. Ἐπὶ πᾶσι, φοινίξιες κεφαλῆς· ξυνήθεες μὲν, ὁκόσαι μοι ἐν τοῖσι πρόσθεν εἰρέαται· δυνατωτέρη δὲ ἡ διὰ τῶν κανθαρίδων. χρὴ δὲ ἐπίπροσθεν τῆς χρήσιος, τριῶν ἡμερῶν πίνειν γάλα, ἐς τὴν τῆς κύστιος φυλακήν· κανθαρίδες γὰρ κάρτα σίνονται κύστιν. Τάδε μὲν ὦν, ἢν κεφαλὴ πεπόνθῃ.

Ἢν δὲ τὰ μέσα εἰςάγῃ τὴν αἰτίην καὶ τάδε ἐπάγῃ τὴν νοῦσον, — ἥκιστα δὲ τάδε γίγνεται· ξυμπαθέει γὰρ κεφαλῇ τὰ μέσα μᾶλλον, ὡς ἐπὶ μεγάλῳ κακῷ, ἥπερ ἀρχὴ τῆς νούσου, — ὅκως δ᾽ οὖν ἴσχῃ, φλέβα τάμνειν τὴν ἐπ᾽ ἀγκῶνι καὶ ἐπὶ τῶνδε· ἀπὸ σπλάγχνων γὰρ ἡ ῥοή. Ἀτὰρ καὶ καθαίρειν τούςδε μᾶλλον τῶν ἄλλων, καὶ τῇ ἱερῇ, καὶ κνεώρῳ, καὶ κόκκῳ κνίδης· τάδε γὰρ φλεγμάτων ἀγωγά. Τὸ δὲ καίριον αὐτέων, ἡ σικύη. Ἐπιθημάτων δὲ, καὶ ἐπιπλασμάτων, ὁ φόρτος εὔδηλος, καὶ πάντη γράφειν περιττὸν, εἰ μὴ ὁκόσον δύναμιν αὐτέων γιγνώσκειν, ὅτι χρὴ τοῖςδε λεπτῦναι, διαπνεῦσαι, εὔροα καὶ εὔπνοα ποιέειν. Καὶ πεπτηρίοισι φαρμάκοισι, θερμοῖσι, ξηροῖσι, καὶ οὔρων ἀγωγοῖσι χρεόμενον, καὶ ἐν τροφῇ, καὶ ἐν φαρμακείῃ. κρέσσον δὲ πάντων κάστορος ὄρχις, πινόμενος ἐν μελικρήτῳ πολλάκις τοῦ μηνός· ὁκόσα τε ποικίλα φάρμακα τὠυτὸν πρήσσει, ἡ διὰ τῶν θηρίων ποικίλη, καὶ ἡ τοῦ Μιθριδάτεω ἐπιποικιλωτέρη· πίνειν δὲ καὶ τὴν Βηστίνου. Εὔπεπτα γὰρ καὶ εὔχυμα ταῦτα, καὶ οὔρων ἀγωγά. ὁκόσα γὰρ χρὴ γράφειν τῶν ἁπλῶν φαρμάκων, αἵδε ἔχουσι αἱ δυνάμιες, κιννάμωμον καὶ κασίην, φύλλα τὰ μαλαβάθρου, καὶ πεπέριος καὶ σεσέλιος πάσας ἰδέας. τί γὰρ οὐκ ἂν εὕροις ἐν τοῖςδε τῶν δυνατωτάτων; Λόγος, ὅτι καὶ γυπὸς ἐγκέφαλος καὶ αἰθυίης ὠμῆς κραδίη, καὶ οἱ ἐνοικίδιοι γαλεοὶ βρωθέντες λύουσι τὴν νοῦσον. Ἐγὼ δὲ τῶνδε μὲν οὐκ ἐπειρήθην. ἐθεησάμην δὲ ἀνθρώπου γε νεοσφαγέος ὑποθέντας φιάλην τῷ τρώματι, καὶ ἀρυσαμένους τοῦ αἵματος πίνοντας. Ὦ τῆς παρεούσης μεγάλης ἀνάγκης, τλῆναι κακὸν ἀκέσασθαι μιάσματι κακῷ. εἰ δὲ καὶ ὑγιέες ἐκ τούτου ἐγένοντο,

καὶ τάδε ἐπάγῃ τὴν νοῦσον.] Libri omnes *ἐπάγει* indicativo, pessime: nam etiam hoc verbum ab *ἢν* pendet.

ἥπερ ἀρχὴ τῆς νούσου.] *Pb.* in marg. ad *ἥπερ* adscripta habet verba *ἴσως εἰ ἢ ἧ.* — Voluit iste interpres *εἴ περ*, vel *ἧ περ*, pro *ἥπερ*. Mihi nihil de sede sua movendum videtur.

ἀπὸ σπλάγχνων γὰρ ἡ ῥοή.] Spectant haec verba ad ea, de quibus monui loco de venarum dissectione; de qua exposuit in cap. de curatione *αἵματος ἀναγωγῆς*.

εἰ μὴ ὁκόσον δύναμιν αὐτέων γιγνώσκειν.] Γινώσκειν vulgo: alteram formam habet O. et Pc. *d.*

καὶ ἐν φαρμακείῃ.] Sic *Pa. b. c.* φαρμακίῃ cett.

κρέσσον δὲ πάντων κάστορος ὄρχις.] Vulgo *κρέσσων*, sed neutrum *κρέσσον* in O. ex H. est receptum et ipse vidi in Pc. *d.*

τὠυτὸν πρήσσει.] Τούτων πρήσσει. H.

Βηστίνου.] Βυστίνου H. V. *Pa. d.*

εὔπεπτα γὰρ καὶ εὔχυμα ταῦτα καὶ οὔρων ἀγωγά. ὁκόσα γὰρ χρὴ γράφειν τῶν ἁπλῶν φαρμάκων, αἵδε ἔχουσι αἱ δυνάμιες, κιννάμωμον καὶ κασίην, φύλλα τὰ μαλαβάθρου, καὶ πεπέριος καὶ σεσέλιος πάσας ἰδέας. τί γὰρ οὐκ ἂν εὕροις ἐν τοῖςδε τῶν δυνατωτάτων;] Vulgo *κινάμωμον*: in Kühniana *κινναμ.* legis. — Κασσίην H. — Vulgo *πεπέρεος καὶ σεσέλεος*: in O. *πεπέρεος*: ego utrumque in *ιος* desinentem feci genitivum. Libri omnes *καὶ τί γὰρ οὐκ ἂν κ. τ. λ.* — Equidem *καί* isto loco e vicinis perperam a librariis adscriptum esse censeo. — Vides *ἐν τοῖςδε* rursus genere convenire cum *ταῦτα*, quod initio posuerat, non cum intermedio *αἱ δυνάμιες*. Saepius noster *δυνάμεις* appellat *τὰ φάρμακα*, medicamenta quaevis. — Operae pretium ad hoc nomen contulisse du Cangium in voce *δυνάμερον*.

αἰθυίης.] Αἰθρίης V. *Pa. b.*, sed in hoc libro in m. *αἰθυίης*.

καὶ οἱ ἐνοικίδιοι γαλεοί.] Libri omnes *ἐνοικάδιοι*, quae forma, licet a Schn. hinc in Lex. recepta sit, non constare posse videtur. — Ferrem *ἐνοικάδες* et *ἐνοικίδιοι*, sicuti *κατοικίδιος* et *κατοικάς* apud Steph. in Thes. exemplis firmantur, sed non fero *ἐνοικάδιος*, repono potius quod auctor scribere potuit et ad vulgatam proxime accedit. — Ad *γαλεοί* in *Pd.* in marg. adscripta sunt verba *τὰς νυμφίτζας λέγει.*

ἐθεησάμην.] Hunc Ionismum apud Herodotum etiam obvium praebuit *Pd.* *ἐθεασάμην* cett. — De re ipsa cf. I. Rhodium ad Scribon. Largum p. 47.

πίνοντας.] Πιόντας H. m.

ἄλλη δέ τις γραφὴ ἔφραζε, ἧπαρ ἀνθρώπου φαγεῖν.] Nullus dubito, quin Aretaeus h. l. perstringat Xenocratem, de quo Galenus de Rem. simpl. X. cap. 1. (Kühn. vol. XII. p. 248.): *πάμπολλα ὁμολογῶ μορίων τε καὶ ὑγρῶν ἐν τοῖς τῶν ζώων σώμασι περιεχομένων, ὧν οὐδεμίαν αὐτὸς ἔσχηκα τοιαύτην πεῖραν, ὁποίαν ἔγραψάν*

ἀτρεκὲς οὐδεὶς ἔχει μοι λέγειν. Ἄλλη δέ τις γραφὴ ἔφραζε, ἧπαρ ἀνθρώπου φαγεῖν. Ἀλλὰ τάδε μὲν γεγράφθω τοῖσι μέχρι τῶνδε τλήμοσι.

Προςαρήγειν δὲ καὶ τῇ διαίτῃ, καὶ ἑκάστοισι τῶν γιγνομένων, ἢ δι' ἄλλων, ἢ δι' αὐτοῦ. Νῦν δὲ χρὴ οὐδὲν ὑπερορῆν, μηδὲ πρήσσειν τι εἰκῆ, μάλιστα μὲν ἐφ' ἑκάστοισι σμικροῖσι πάντως ὠφελεῦντα· ἢν δὲ μὴ, βλάπτοντα μηδέν. καὶ γὰρ ὀρήματα, ὁκόσα μὴ θεητὰ, καὶ ἀκούσματα, καὶ γεύματα, καὶ θυητὰ μυρία ἐλέγχει τὴν νοῦσον. Φράζεσθαι ὧν περὶ πάντων μάλα. Ὕπνος πολλὸς, παχυτὴς, ἀργίη, ὀμίχλη τῆς αἰσθήσιος. ἀγαθὸν δὲ, ξυμμετρίη. Κοιλίης ἔκκρισις ἐπὶ τοῖσι ὕπνοισι ἄριστον, μάλιστα πνευμάτων καὶ φλεγμάτων. Περίπατοι μακροὶ, εὐθέες, ἀνέλικτοι, εὔπνοοι· ὑπὸ δένδρεσι μὲν, μυρσίνῃσι, δάφνῃσι, τοῖσι δριμέσι, καὶ εὐώδεσι, βοτάνῃσι δὲ, καλαμίνθῃ, γλήχωνι, θύμῳ, ἡδυόσμῳ· μάλιστα μὲν τοῖσι ἀγρίοισι, αὐτομάτοισι· ἢν δὲ μὴ, κἂν ποιητοῖσι. ἐν τοῖσι καὶ αἰῶραι μακραὶ, καὶ αἵδε εὐθέες. Ὁδοιπορίῃσι καλὸν χρέεσθαι· μὴ παρὰ ποταμὸν εἰς τὸ ῥεῦμα ἐνορῆν, — ἰλίγγων γὰρ ποιητικὸν ῥόος, — μηδὲ ἐς κύκλῳ στροφούμενον, μηδὲ βέμβικα δινεύμενον. ἀσθενέστερος γὰρ ἑδραῖον ἱστάναι τὸ πνεῦμα, ξυνελίσσεται γὰρ τῷ κύκλῳ. δίνησις δὲ σκοτώματος καὶ τῆς ἐπιληψίης πρόκλησις. Ἀπὸ δὲ τῆς αἰώρης, περίπατος ἠρεμαῖος. ἔπειτα ἡσυχίη, ἐς ἀποκατάστασιν τοῦ ἐν τῇ αἰώρῃ ταράχου. Γυμνάσια δὲ ἐπὶ τούτοισι πρὸς χεῖρας, τριβέντων τῶν ἄκρων ἀφ' ἡμιτυμβίου λίνοισι ὠμοῖσι. ἄλειμμα μὴ κάρτα λιπαρόν. τρίψις ἐμμελὴς μὲν οὖσα, σκληροτέρη δὲ ἐς

τινες· ἔνια μὲν γὰρ αὐτῶν ἀσελγῆ τέ ἐστι καὶ βδελυρὰ, τινὰ δὲ καὶ πρὸς τῶν νόμων ἀπηγορευμένα, περὶ ὧν οὐκ οἶδα πῶς ἔγραψεν ὁ Ξενοκράτης, ἄνθρωπος οὐ πάλαι γεγονὼς, ἀλλὰ κατὰ τοὺς πάππους ἡμῶν, τῆς Ῥωμαϊκῆς βασιλείας ἀπηγορευκυίας ἀνθρώπους ἐσθίειν, ἀλλ', ἐκεῖνός γε ὡς αὐτὸς πεπειραμένος, ἀξιοπίστως πάνυ γράφει τίνα πάθη θεραπεύειν πέφυκεν ἐγκέφαλος ἐσθιόμενος, ἢ ἧπαρ ἀνθρώπου, τίνα δὲ τὰ τῆς κεφαλῆς ἢ κνήμης, ἢ δακτύλων ὀστᾶ, τὰ μὲν καυθέντα, τὰ δ' ἄκαυστα πινόμενα, τίνα δ' αὐτὸ τὸ αἷμα, — κ. τ. λ.

ἑκάστοισι τῶν γιγνομένων.] Γιγνομένων Pc. d. γινομένων cett.

νῦν δὲ χρὴ οὐδὲν ὑπερορῆν, μηδὲ πρήσσειν τι εἰκῆ, μάλιστα μὲν ἐφ' ἑκάστοισι σμικροῖσι πάντως ὠφελεῦντα· ἢν δὲ μὴ, βλάπτοντα μηδέν.] Libri paene omnes: ἢν δὲ βλάπτοντα μηδέν. In Pb. solo ἤδε βλάπτοντα μηδέν, quae emendatio videtur recentior, quales plures, eaeque subinde bonae, in hoc cod. habentur. Nunc tamen puto melius μή inferri et legendum ἢν δὲ μὴ, βλάπτοντα μηδέν: quippe hoc loco δέ respondet superiori μέν in μάλιστα μὲν — ὠφελεῦντα. — Facile patet, Aretaeum h. l. respicere aureum Hippocratis in Epidd. libris dictum ὠφελέειν ἢ μὴ βλάπτειν. Emendationem dudum occupasse video Petitum, qui itidem Hippocratis verborum meminit.

καὶ γὰρ ὀρήματα, ὁκόσα μὴ θεητά.] Vulgo ὁράματα, sed ὀρήματα praebuerunt Pa. b. c. d. ὅραμα, ὄρημα, quemadmodum πυρίαμα, πυρίημα. — Θνητά edi solet; θεητά praetuli ex H. V. Pb. c.

περίπατοι μακροὶ, εὐθέες, ἀνέλικτοι.] Libri εὐφυέες ἀνέλικτοι. — Scripsi εὐθέες de coniectura Wigani et mea. Nempe mox noster: ἐν τοῖσι καὶ αἰῶραι μακραὶ καὶ αἵδε εὐθέες.

ὑπὸ δένδρεσι μὲν, μυρσίνῃσι, δάφνῃσι, τοῖσι δριμέσι καὶ εὐώδεσι· βοτάνῃσι δὲ, καλαμίνθῃ, γλήχωνι, θύμῳ, ἡδυόσμῳ. κ. τ. λ.] Libri in hisce μυρσίνης ἢ δάφνης, ἢ τοῖσι δριμέσι: repono μυρσίνῃσι, δάφνῃσι, propter seqq. καλαμίνθῃ, γλήχωνι, θύμῳ, ἡδυόσμῳ. Praeterea ἢ τοῖσι δριμέσι καὶ εὐώδεσι ineptum, quum μυρσίνη et δάφνη sint acres, beneque olentes. — Cf. e cap. de Coeliacorum cur. verba αἰώρη, ἤ γε ἐν δάφνῃσι, ἢ μυῤῥίνῃσι, ἢ θύμῳ. — Vides eadem nomina plur. num. posita.

μηδὲ ἐς κύκλῳ στροφούμενον.] Vulgo μηδὲ ἐν κύκλῳ στροφούμενον, sed Pa. b. μηδὲ ἐς κύκλον στροφούμενον, hinc μηδὲ ἐς κύκλῳ στροφούμενον effeci: nempe e superioribus repeto μηδὲ ἐνορῆν ἔς τι κύκλῳ στροφούμενον.

μηδὲ βέμβικα δινεύμενον.] Βέμβηκα cett.; de meo βέμβικα exhibui, cf. cap. de s. epil. in libro I. de s. et c. m. acut. — V. et Pd. in margine ferunt glossam τρόχον.

ἔπειτα ἡσυχίη.] Vulgo ἔπειτα ἡ ἡσυχίη, sed recte omittunt articulum H. O. Pa. b. d.

γυμνάσια δὲ ἐπὶ τούτοισι πρὸς χεῖρας, τριβέντων τῶν ἄκρων ἀφ' ἡμιτυμβίου λίνοισι ὠμοῖσι.] Libri ad unum omnes ἐνόντων τῶν ἀκρῶν ἀφ' ἡμιτυμβίου λίνοισι ὠμοῖσι. Illud ἐνόντων τῶν ἀκρῶν Crassus et Wiganus interpretantur *extremis obvolutis s. involutis.* — Wiganus in notulis ἐφ' ἡμιτυμβίου λ. ω. requirit. — Petitus adlatis Crassi Latinis, se, ista extremorum involutio quorsum spectet, non satis perspicere fatetur, et pro ἀφ' e cod. Claromontano ἀμφ' adscribit. Foësius in Oecon. voce ἡμιτύβιον nostri verba adfert et ut ceteri interpretes reddit: «in his exercitationes manuum fiant, extremitatibus sudariolo ex linis crudis involutis.” Teneamus ante omnia, viros doctos vix satis accurate versatos esse in interpretatione verborum ἀφ' ἡμιτυμβίου ὠμοῖσι λίνοισι: nam proprie haec non significant *sudarium e crudo lino confectum*, sed *crudum linum sudarii*, licet fieri posse fatear, ut Aretaeus nihil nisi sudarium e crudo lino significare voluerit: comparare licet Herodoteum ἀπὸ τῆς ἐλαίης τοὺς κλάδους, Hippocrateum τὸ ἀπὸ τοῦ οἴνου μένος (vid. p. 214. ad lib d. V. Ac.). Patet iam ἀφ' non

πύκνωσιν· οἰδαλέοι γαρ καὶ παχέες οἱ πλεῖστοι. μεσηγὺ δὲ ὅλης τῆς τρίψιος κεφαλὴ ὀρθίη τετρίφθω. Γυμνάσια τὰ ἐς τὸν αὐχένα, καὶ ὤμους· χειρονομίη· πάντα, ὁκόσα μοι ἐπὶ σκοτωματικῶν λέλεκται. ἅλις δὲ ἐνθάδε τοῦ ἐκεῖ φόρτου· πλὴν ὁκόσον ὀξύτερα χρὴ τὰ τῶνδε γυμνάσια ἔμμεναι ἐς ἱδρῶτα καὶ θέρμην. τάδε γὰρ πάντα λεπτύνει. Ἀτὰρ καὶ ἐν τῷ παντὶ βίῳ χρὴ ὀξυθυμίην ἀόργητον ἐμποιέειν.

Τροφαὶ πᾶσαι παχέεσι ὀσπρίοισι, κακόν· σιτώδεες δὲ, ἄρτοι ξηρότεροι, χόνδροι πλυτοὶ, καὶ τὰ ἐκ τῶνδε ῥοφήματα. Τὰ δὲ ἐς ἡδονὴν φάρμακα, ταὐτὰ τοῖς πρόσθεν. τῶν δριμέων δὲ νῦν ἔστω πλεῦνα, πεπέριος, ζιγγιβέριος, λιγυστικοῦ. Ἐμβάμματα δὲ, δι' ὄξεος καὶ κυμίνου, καὶ ἡδέα καὶ χρήσιμα. Κρεῶν μάλιστα μὲν ἀπείρχθω πάμπαν· εἰ δὲ μή γε, ἐν τῇ θεραπείῃ. ἐς δὲ τὴν ἀνάληψιν ἔστω, ὁκόσα κοῦφα ᾖ φύσι, οἷόν τι τὰ πτηνὰ, πλὴν νήσσης· καὶ τῇ πέψι, ὅκως λαγωοὶ, ὑῶν πόδες, τάριχος. καὶ ἐπὶ τοῖσι, δίψος ἀγαθόν· οἴνου ὀλιγοποσίη, λευκοῦ, λεπτοῦ, εὐώδεος, οὐρεομένου. Λαχάνων ἑφθῶν, ὁκόσα ἐς δύναμιν δριμέα, λεπτῦναι, οὖρα κινῆσαι· ὁκοῖόν τι κράμβη, ἀσπάραγος, κνίδη· ὠμῶν δὲ θριδακίνη ἐφ' ὥρᾳ. σίκυος δὲ, καὶ πέπων, ἀνδρὶ μὲν κρατερῷ περιττὰ, τισὶ δὲ δοτέον μέσφι γεύσιος· κακὸν γὰρ τῶνδε ἡ πληθὺς, ψυχρῶν ἐόντων καὶ ὑγρῶν. σύκου χλωροῦ, καὶ σταφυλῆς ἡ χρῆσις ὡραίως. Περίπατοι· ἐπὶ τοῖσι δὲ, θυμηδίη ἄλυπος.

Ὀργὴ δὲ καὶ λαγνείη, κακόν· καὶ γὰρ τὸ πρῆγμα τῆς νούσου φέρει τὰ σύμβολα. Ἀπάτη δέ τίς ἐστι μετεξετέροισι ἰητροῖσι περὶ ξυνουσίης. ἐπεὶ γὰρ ἡ τῆς φύσιος εἰς ἄνδρα μεταβολὴ ἀγαθόν τι πρήσσει, μετεβιάσαντο τὴν παιδῶν φύσιν ἀώρῳ ξυνουσίῃ, ὡς θᾶσσον ἀναῤῥώσοντες. Ἀγνοέουσι δὲ τῆς φύσιος τὴν αὐτομάτην προθεσμίην, ἐφ' ᾗ πάντα γίγνεται τὰ ἄκεα. ἥδε γὰρ ἑκάστη ἡλικίῃ συντίκτει τὰ οἰκεῖα, ἐν χρόνοις

esse tentandum. — Venio ad *ἐνόντων*, quod interpretantur *obvolutis*: vellem exempla attulissent, quibus demonstrassent *ἐνεῖναι λίνοις ὤμοις* usurpari pro *περιειλίχθαι λίνοις ὤμοις*. Ego nulla novi! Neque vero magis quam Petitus perspicio, quorsum spectet excercitatio extremis linteo obvolutis. — Sed mihi illud *ἐνόντων* invisum est et repono *τριβέντων*: nempe certum est, antiquos panno linteo fricuisse extrema, aut etiam totum corpus, ante *γυμνάσια*. Paulus I. 15. *πρὸ τῶν γυμνασίων θερμαίνειν τὸ σῶμα μετρίως χρὴ, τρίψει χρωμένους τῇ διὰ σινδόνων. κἄπειτα δι' ἐλαίου τρίβειν γυμναῖς ταῖς χερσὶ, ἄχρις ἂν θερμανθείη καλῶς καὶ μαλαχθείη τὸ σῶμα ἐπανθήσει τε ἔρευθος εὐανθὲς καὶ εἰς ὄγκον ἀχθείη.* — Praescribit noster, paulo ante cap. superiore: *ἀνατρίψιες αὖθις σκελῶν δι' ἡμιτυμβίων τρηχέων μέσφι φοινίξιος.* — Quid quod etiam *ὠμόλινον* in hunc usum fuisse adhibitum, docet Foësius in Oecon. in voce, quem confer. — His mea emendatio nititur, qua utantur lectores, donec quis meliora adferat. — De scriptura *ἡμιτύβιον* et *ἡμιτύμβιον*, utraque probanda vide Hemsterh. ad Plutum Aristophanis vs. 729.

τρίψις ἐμμελὴς μὲν οὖσα, σκληροτέρη δὲ ἐς πύκνωσιν.] Libri *τρίψις ἐν μελλήσει μὲν οὖσα*. (Pc. d. *μελήσει* Pb. *μέλεσι*). — Vertunt Latine Crassus «frictio lenta" —, Wiganus «frictio diuturna." Verum hic quoque exempla requiro! Legamus pro *ἐν μελλήσει* unam vocem *ἐμμελής*. Similem in alia voce librariorum errorem sustulimus, ubi pro *ἐπ' αὐξήσει* reposuimus *ἐπαυξής*, in dictione *ἣν δὲ ἡ νοῦσος ἐπαυξὴς γίγνηται*. — Vulgo *δ' ἐς* editur; *δὲ ἐς* ferunt O. Pa. *b. c. d.*

γυμνάσια τὰ ἐς τὸν αὐχένα.] Ἐς h. l. praebuit unus liber Pb.; *εἰς* cett.

σιτώδεες δὲ, ἄρτοι.] Σιτώδεες Pc. d. *σιτώδεις* cett.

λιγυστικοῦ.] Ita scripsi, suadente etiam Wigano in adnn. *λιβυστικοῦ* cett. — Puto *λιβυστικοῦ* infimae Graecitatis esse, puta *Levisticum*, nostrum *Lavas*. cf. Anecd. medica Graeca p. 265., ubi apud anonymum de cibis *λιβυστικοῦ σπέρμα.*

ὑῶν πόδες.] Sic H. V. M. O. Pa. *c. d.* — *οἷον πόδες* cett.

οἴνου ὀλιγοποσίη, λευκοῦ, λεπτοῦ, εὐώδεος, οὐρεομένου.] Pone *εὐώδεος* in libris legitur *εὐόσμου*; alterutram vocem abundare dudum vidit Wiganus, retinui eam, quae Ionice scripta esset. — *Οὐρεομένου* interpretantur fere *οὐρητικοῦ*.

σίκυος.] Σίκυες V. Pa. *b.* *σίκυα* Pd.

ἡ χρῆσις ὡραίως.] Sic O. ex H. *ὡραῖος* vulgo. *ὡραῖα* Pb.

ἀπάτη δέ τίς ἐστι μετεξετέροισι ἰητροῖσι περὶ ξυνουσίης.] Edi solet *ἀπάτη δέ τις ἔς τε μετεξετέρους ἰητροὺς συνουσίης*. — Iam vero Pb. *c. d.* ferunt *ἀπάτη δέ τις ἔσται μετεξετέροισι ἰατροῖσι ξυνουσίης*. — Hanc lect. quam maxime potui secutus ex *ἔσται* praesens *ἐστί* effeci, et praepositionem *περί* de meo intuli.

ἥδε γὰρ κ. τ. λ.] Ἦν δέ V. *ἠδέ* Pa. pro *ἥδε*.

τίς ὢν ἰητρὸς προαλλάξαι τῆς φύσιος τοῦτο μὲν κ. τ. λ.] Libri omnes *προςαλλάξαι*: requirit sensus loci compositum cum *πρό*, non cum *πρός*.

ὡραίοισι· ἐν χρόνῳ γὰρ οἱ πεπασμοὶ σπέρματος, γενείου, πολιῆς. Τίς ὦν ἰητρὸς προαλλάξαι τῆς φύσιος τοῦτο μὲν τὴν ἀρχῆθεν τῶν σπερμάτων μεταβολὴν, τοῦτο δὲ τὴν ἐς ἕκαστον προθεσμίην; Ἀλλὰ καὶ προςέκοψαν ἐς τὴν φύσιν τοῦ νοσήματος. οὐκέτι γὰρ ἔγκαιροί τινες ἦσαν τὴν ἀρχὴν τῆς ξυνουσίης, προσινόμενοι ἀωρίῃ τοῦ πρήγματος.

Βιοτεύειν δὲ χρὴ ἐν χώρῃσι θερμῇσι, ξηρῇσι. ψυχρὸν γὰρ, καὶ ὑγρὸν, ἡ νοῦσος.

ΘΕΡΑΠΕΙΑ ΜΕΛΑΓΧΟΛΙΗΣ

Κεφ. ε′.

Χρεὼ βουλῆς ἀμφὶ αἵματος ἀφαιρέσιος ἐν τοῖσι μελαγχολικοῖσι, ἀφ᾽ οὗ γίγνεται ἡ νοῦσος, ἀλλὰ καὶ κακοχυμίης, οὐδὲ ἐπὶ σμικρῷ τῷ πλήθεϊ. Ἢν μὲν ὦν ἡλικίης νέης λάβηται καὶ ὥρης ἐαρινῆς, τάμνειν φλέβα τὴν ἐπ᾽ ἀγκῶνι τῷ δεξιῷ μέσην, ὅκως ἀπὸ τοῦ ἥπατος ἔῃ ἐπίκαιρος ἡ ῥοή. τόδε γὰρ τὸ σπλάγχνον αἵματος αἱ πηγαὶ, χολῆς δε ἡ γένεσις, ἄμφω μελαγχολίης ἡ τροφή. Τάμνειν δὲ, κὴν ἰσχνοὶ ἔωσι, καὶ λείφαιμοι. σμικρὸν δὲ ἀφαιρέειν, ὁκόσον αἴσθοιτο τομῆς ἡ δύναμις, οὐκ ἐλεγχθείη δὲ ἐπὶ τῷ τόνῳ. καὶ γὰρ εἰ παχὺ, καὶ χολῶδες, καὶ πεπηγὸς εἴη τὸ αἷμα, καὶ μέλαν, ὅκως ἀμόργη, ἀλλὰ τόδε ἐστὶ τῆς φύσιος ὁ χῶρος, καὶ ἡ τροφή. ἢν ὦν τοῦ δέοντος πολλὸν ἀφέλῃς, ἀτροφίῃ ἡ φύσις ἐξίσταται τῆς ἕδρης. Ἢν δὲ πολύαιμος ᾖ,

τοῦτο δὲ τὴν ἐς ἕκαστον προθεσμίην.] Ἐς ἕκαστον O. ex H. — ἐς ἑκάστην V. — ἐς ἑκάστου cett.

ἀλλὰ καὶ προςέκοψαν εἰς τὴν φύσιν τοῦ νοσήματος. οὐκέτι γὰρ ἔγκαιροί τινες ἦσαν τὴν ἀρχὴν τῆς ξυνουσίης, προσινόμενοι ἀωρίῃ τοῦ πρήγματος.] Libri in hisce: οὐκέτι γὰρ ἐγκαίρως τινες εἴασι (ἴσως ἔασι Goup.) τῇ ἀρχῇ τῆς ξυνουσίης. Haec non satis perspicuam referre sententiam, quivis videt. — Wiganus recte pro ἐγκαίρως requirebat ἔγκαιροι, quod huius monitu exhibeo; sed offendit praeterea τῇ ἀρχῇ, pro quo repono τὴν ἀρχήν, ut hic accus. adverbii vice, solito Graecis more, fungatur. Pro εἴασι potius ἦσαν scribo, quam ἔασι. — Sed praeterea mihi vix satis liquet, quare προςέκοψαν εἰς τὴν φύσιν τοῦ νοσήματος Aretaeus scripserit: nam seqq. in hac periodo potius ad perturbationem φύσιος τοῦ νοσέοντος, et τοῦ σπέρματος spectant, quam ad morbi φύσιν. Scripseritne ergo: προςέκοψαν εἰς τὴν φύσιν τοῦ σπέρματος? Videant me peritiores! Non audeo quidquam de sede sua movere, quia paulo ante de similitudine inter congressum cum muliere et epilepsiam est locutus, unde forte auctoris monitum exponere oportet.

Cap. 5. οὐδὲ ἐπὶ σμικρῷ τῷ πλήθεϊ.] Οὐδ᾽ ἐπί vulgo: plenum οὐδέ ferunt O. Pa. b.

ἐαρινῆς.] Ἐαρείης Pa. b. d. ἐαρεινῆς Pc.

ὅκως ἀπὸ τοῦ ἥπατος ἔῃ ἐπίκαιρος ἡ ῥοή.] Ἔῃ de meo effeci e librorum omnium lectione εἴη, quam quominus feram, impedit praesens τάμνειν. — Fortasse tamen εἴη ex ἴῃ ortum, quod si quis praeferat, non adversor.

τόδε γὰρ τὸ σπλάγχνον αἵματος αἱ πηγαὶ, χολῆς δὲ ἡ γένεσις.] In hisce ἡ πηγή unus liber Pb.

σμικρὸν δὲ ἀφαιρέειν, ὁκόσον αἴσθοιτο τομῆς ἡ δύναμις, οὐκ ἐλεγχθείη δὲ ἐπὶ τῷ τόνῳ.] Αἴσθητο olim edebatur: verum in O. Wiganus αἴσθηται, quod fertur in H. Pa. b. c. d. Malui ex αἴσθοιτο optativum αἴσθοιτο efficere, ut cum seq. ἐλεγχθείη modo congrueret.

καὶ γὰρ εἰ παχὺ, καὶ χολῶδες, καὶ πεπηγὸς εἴη τὸ αἷμα καὶ μέλαν, ὅκως ἀμόργη, ἀλλὰ τόδε ἐστὶ τῆς φύσιος ὁ χῶρος, καὶ ἡ τροφή.] In hisce εἰ — ἔῃ H. V. A. O. Pa. b. c. d.. Malui cum Goupylo, cett. εἴη retinere. Silentio praeterire non licet Petitum desiderare καὶ γὰρ εἰ καὶ παχὺ καὶ χολῶδες: me iudice illud καί ut addatur, opus non est, sed verum est καὶ γὰρ εἰ h. l. significare *etenim etsi*; fortasse καί pone εἰ propterea non adpositum est, ut fugeretur ambiguitas, qua καί — καί, utrumque intensive sumi posset, quum tamen posterius simplex esset copula ex auctoris mente. Ad ἀμόργη Pd. in marg. glossam fert ἡ τρυγία τοῦ ἐλαίου. Non negligendus coniunctionis ἀλλά usus, qualem h. l. observamus; vid. Matth. Gr. Gr. § 613., et exempla haud procul ab initio ibi loci ex Homero et Herodoto adlata. Verba τῆς φύσιος h. l. valent τῆς ζωῆς, vel potius τῆς ἐς τὸ ζῆν δυνάμιος, uti aliis locis noster loquitur.

ἢν ὦν τοῦ δέοντος πολλὸν ἀφέλῃς, ἀτροφίῃ ἡ φύσις ἐξίσταται τῆς ἕδρης.] Crassus: «quare si plus quam decet sanguinis effuderis;" Wiganus: «quare si debito plus detraxeris." — Itaque accipiunt, quasi voluisset Aretaeus: ἢν ὦν τοῦ δέοντος πλέον τι ἀφέλῃς. — Possis, puto, hoc modo interpretari, idque rectius, ni fallor: ἢν ὦν τοῦ (αἵματος, τοῦ ἐς τὸ ζῆν) δέοντος πολλὸν ἀφέλῃς. κ. τ. λ. Nam supra dixit: τάμνειν δὲ κὴν ἰσχνοὶ ἔωσι

τὰ πολλὰ μὲν οὐ κάρτα γίγνεται πονηρόν· τάμνειν δὲ τὴν Φλέβα· καὶ μὴ αὐτῆμαρ ὁκόσον χρὴ, ἀφαιρέειν, ἀλλ' ἐκ διαστάσιος· καὶ αὐτῆμαρ δέ· τὸ δὲ πλῆθος δηλώσουσι αἱ δυνάμιες. Μεσηγὺ δὲ, ἁδροτέρως διαιτᾷν, ἐς ἄλλης κενώσιος ὑπομονήν. χρὴ γὰρ καὶ τῷ στομάχῳ ἀρήγειν, καὶ αὐτῷ νοσέοντι καὶ κάμνοντι, τῷδε τῆς μελαίνης χολῆς ἐγκεομένης. Ἐπίπροσθεν ὦν μιῆς ἡμέρης λεπτῶς διαιτηθέντι, μέλανος ἐλλεβόρου δοτέον ξὺν μελικρήτῳ σταθμοῦ ὁκόσον ὁλκὰς δύο· ὑπάγει γὰρ ὅδε μέλαιναν χολήν. ἀτὰρ καὶ τοῦ θύμου τοῦ Ἀττικοῦ ἡ κόμη, καὶ ἥδε ἄγει μέλαιναν χολήν. ἄριστον δὲ ξυμμίσγοντα διδόναι ἑκάστου μέρος ἓν, ἐς ὁλκὴν < δύο ἀμφοῖν. Λούειν τε ἀπὸ τῆς καθάρσιος, καὶ οἴνου βραχὺ διδόναι, καὶ τῆς ἄλλης τῆς ἐν τῇ τροφῇ χάριτος. στομάχῳ γὰρ καὶ τῇ δυνάμι καματηρὸν ἡ κάθαρσις. Μεταβαίνειν αὖθις ἐπὶ τὰ μέσα· χρὴ δὲ προχαλάσαντα ἐπιπλάσματι καὶ τέγξι, σικύην πρὸς τὸ ἧπαρ καὶ τὴν κοιλίην, ἢ τὸ στόμα ταύτης, προςβάλλειν. ἥδε γὰρ ἡ ἀφαίρεσις πολλόν τι ἐπικαιροτέρη τῆς Φλεβοτομίης. προςβάλλειν δὲ καὶ τοῖσι μεταφρένοισι μεσηγὺ τῶν ὠμοπλατέων· ἐνταῦθα γὰρ τοῦ στομάχου ἐστὶ ἡ πρόςφυσις. Εἶτ' αὖθις ἐπανατρέφειν· καὶ ἢν τῇ διαίτῃ βλαστηθῇ ἡ δύναμις, τὴν κεφαλὴν ξυρέειν. ἔπειτα σικύην τῇ κεφαλῇ προςβάλλειν, καὶ γὰρ ἡ πρώτη, καὶ μεγίστη τῆς νούσου ἐν τοῖσι νεύροισι αἰτίη. ἀλλ' οὐδὲ αἱ αἰσθήσιες ἔασι ἀσινέες, ἐκεῖθεν γάρ σφεων ἡ ἀπόστασις καὶ ἡ ἀρχή· ξυντρέπονται ὦν καὶ αἵδε, κοινωναὶ οὖσαι τῆς πάθης. μετεξέτεροι δὲ καὶ παραισθάνονται, παραφορῇ

καὶ λείφαιμοι· σμικρὸν δὲ ἀφαιρέειν, et proxime antecedit illud ἀλλὰ τόδε ἐστὶ τῆς φύσιος ὁ χῶρος καὶ ἡ τροφή. — Itaque αἷμα τὸ δέον opponi mihi videtur sequenti ἢν δὲ πολύαιμος ᾖ.

ἢν δὲ πολύαιμος ᾖ, τὰ πολλὰ μὲν οὐ κάρτα γίγνεται πονηρόν· τάμνειν δὲ τὴν φλέβα· καὶ μὴ αὐτῆμαρ, ὁκόσον χρὴ, ἀφαιρέειν, ἀλλ' ἐκ διαστάσιος· καὶ αὐτῆμαρ δέ. τὸ δὲ πλῆθος δηλώσουσι αἱ δυνάμιες.] Τάμνειν δεῖ τὴν φλέβα V. Pa. b. — Advertit illud καὶ αὐτῆμαρ δέ· in quo inest ellipsis; nimirum plene dixisset: καὶ αὐτῆμαρ δὲ ἐκ διαστάσιος ἀφαιρέειν, εἴ που αὐτῆμαρ πᾶν τὸ πλῆθος ἀφαιρετέον. — Conieceram olim κἢν αὐτῆμαρ δέῃ, sed frustra; locus sanus est.

χρὴ γὰρ καὶ τῷ στομάχῳ ἀρήγειν καὶ αὐτῷ νοσέοντι καὶ κάμνοντι, τῷδε τῆς μελαίνης χολῆς ἐγκεομένης. ἐπίπροσθεν ὦν μιῆς ἡμέρης λεπτῶς διαιτηθέντι μέλανος ἐλλεβόρου δοτέον κ. τ. λ.] Libri omnes haec verba ita scripta offerunt: χρὴ γὰρ καὶ τῷ στομάχῳ ἀρήγειν καὶ τῷ νοσέοντι καὶ κάμνοντι. τῷ δὲ τῆς μελαίνης χολῆς ἐγκεομένης, ἐπίπροσθεν μιῆς ἡμέρης λεπτῶς διαιτηθέντι, μέλανος ἐλλεβόρου δοτέον κ. τ. λ. Videmus haec sensum sanum non referre: lucem adferunt verba infra obvia: χρὴ δὲ μάλιστα τῷ στομάχῳ ἀρήγειν καὶ τοῦδε νοσέοντος καὶ τῷδε τῆς μελαίνης χολῆς ἐγκεομένης. — Patet ex hisce in vulgata lectione τῷ δέ in τῷδε esse mutandum, quod ad στόμαχον referre oportet. Hinc necessario sequitur καὶ τῷ constare non posse, sed legendum esse καὶ αὐτῷ, quod Latine adeo expresserunt Crassus et Wiganus. — Nempe hi recte, quid Aretaeus voluerit, sensisse videntur. Iam vero fieri nequit, quin ἐπίπροσθεν μιῆς κ. τ. λ. novae periodi sit initium; quapropter particula supplenda, qua haec cum superioribus connectatur: interpono igitur, ὦν, ad exemplum eorum, quae post verba laudata leguntur, πιπίσκειν ὦν χρή κ. τ. λ. — Hoc modo probabilem sensum ex hisce corruptis elicuisse nobis videmur.

ἄριστον δὲ ξυμμίσγοντα διδόναι ἑκάστου μέρος ἓν, ἐς ὁλκὴν < δύο ἀμφοῖν.] Olim μέρους edebatur, quod vel de coniectura in μέρος mutaveris: at hoc in O. ex H. receptum est, et ipse legi in Pc.; < < δύο (sic) ferunt H. V. Pc. d.

στομάχῳ γὰρ καὶ τῇ δυνάμι καματηρὸν ἡ κάθαρσις.] Vulgo editur στομάχου γὰρ τῇ δυνάμει κ. τ. λ. Equidem lectionem exhibui librorum H. V. Pc. d.; στομάχου γὰρ καὶ τῇ δ. Pa. — Aegre fero στομάχου δύναμις: — in ipso hoc capite infra noster δυνάμιος per se mentionem facit, verbis καὶ ἰσχὺν τῆς δυνάμιος.

μεταβαίνειν αὖθις ἐπὶ τὰ μέσα. χρὴ δὲ προχαλάσαντα ἐπιπλάσματι καὶ τέγξι σικύην.... προςβάλλειν.] Libri ferunt μέσα. ἄχρι δὲ κ. τ. λ. Puto Crassum suo «prius" illud ἄχρι reddere Latine voluisse. — Wiganus pro ἄχρι δέ voluit τὰ δὲ χρή. Non satis apposite ad librorum lectionem; nam ἄχρι e repetita postrema litera nominis μέσα est ortum, et e verbo χρή: itaque χρὴ δὲ προχαλάσαντα... προςβάλλειν reposui.

ἥδε γὰρ ἡ ἀφαίρεσις πολλόν τι ἐπικαιροτέρη τῆς φλεβοτομίης.] Pro superlativo ἐπικαιροτάτη, quem omnes ferunt libri scripti, reposui comparativum ἐπικαιροτέρη; de coniectura, quia illam lect. non ferendam iudico.

προςβάλλειν δὲ καὶ τοῖσι μεταφρένοισι, μεσηγὺ τῶν ὠμοπλατέων, ἐνταῦθα γὰρ τοῦ στομάχου ἐστὶ ἡ πρόςφυσις.] Particula γάρ in libris scriptis desideratur: non ignoro alio modo etiam locum emendari posse, scilicet legendo ἔνθα τοῦ στομάχου ἐστὶ ἡ πρόςφυσις, sed hoc urgeo, ferri non posse h. l. asyndeton ἐνταῦθα τοῦ στομάχου ἐστὶ ἡ πρόςφυσις.

καὶ γὰρ ἡ πρώτη καὶ μεγίστη τῆς νούσου ἐν τοῖσι νεύροισι αἰτίη.] Libri ferunt ἐν τοῖσι νούσοισι αἰτίη· vere monuit Wiganus νεύροισι esse legendum, conferens verba infra obvia: ἢν πάντη τοῦ σώματος ἐνοικήσῃ (ἡ μελαγχολίη) αἰσθήσεσι, γνώμῃ, αἵματι, χολῇ, λάβηται δὲ καὶ νεύρων.

τῆς αἰσθήσιος. Χρὴ δὲ μάλιστα τῷ στομάχῳ ἀρήγειν, καὶ τοῦδε νοσέοντος, καὶ ἐν τῷδε τῆς μελαίνης χολῆς ἐγκεομένης. πιπίσκειν ὦν χρὴ τοῦ χυλοῦ τοῦ ἀψινθίου ξυνεχῶς, ἀπὸ σμικροῦ τοῦ πλήθεος ἄχρι κυάθου. κώλυμα γὰρ τόδε χολῆς γενέσιος. ἀγαθὸν δὲ καὶ ἀλόη, ἥδε γὰρ ὑπάγει εἰς τὸ κάτω ἔντερον τὴν χολήν. Ἢν μὲν ὦν νεότοκον τὸ πάθος ᾖ, καὶ μὴ πολλὸν ὥνθρωπος ἐκτραπῇ, οὐκ ἄλλης μὲν ἐπὶ τοῖσι ἰήσιος, τῆς δὲ λοιπῆς διαίτης χρέος, ἔς τε ἀνάληψιν τῆς ἕξιος, καὶ ἐς κάθαρσιν ἀκριβέα τοῦ πάθε ο, καὶ ἰσχὺν τῆς δυνάμιος, ὡς μὴ παλινδρομέωσι αἱ νοῦσοι. Φράσω δὲ αὖθις τὴν ἐν τῇ ἀναλήψι βιοτήν.

Ἢν δὲ ἐπὶ τοῖςδε σμικρόν τι ὑποπτώξασα ἡ νοῦσος παλίνορσος ὀφθῇ, μεζόνων ἀκέων χρέος. Μὴ ὦν ἀμβολὴ χρόνου γιγνέσθω. ἀλλ' ἢν ἐπὶ σχέσι γυναικὸς καταμηνίων, ἢ ἀνδρὸς αἱμοῤῥοΐδων ῥόου, ἡ νοῦσος παρῇ, ἐρεθίζειν τὰ χωρία, προχέειν τι τοῦ ξυνήθεος. Ἢν δὲ μέλλῃ καὶ μὴ ἥκῃ, ἄλλῃ πῃ τοῦ αἵματος μεταῤῥυέντος, ἐπισπέρχῃ δὲ ἡ νοῦσος, κενώσιας ποιέεσθαι αὐτῷ, ἡγεόμενον ἀπὸ τῶν σφυρῶν· κὴν μὴ ἐς ὅσον χρὴ ἐντεῦθεν ἀφέλῃς, καὶ τὴν ἐπ' ἀγκῶνι τάμνειν φλέβα. Μεσηγὺ δὲ τριῶν ἢ τεσσάρων ἡμερῶν ἀναθρέψιος, τὴν ἱερὴν πιπίσκειν. Ἔπειτα σικύην τοῖσι μέσοισι προςβάλλειν, τῷ ἥπατι ἐγχρίμπτοντα· πρήσσειν τε τὰ ἔργα, ᾗ τάχος ἀνύοντα. σμικροῖσι μὲν γὰρ ἄκεσι οὐ πείθεται. κὴν ἐς τὰ μέγαλα δηθύνῃ, ἐν ἕδρῃ ἵζει ἡ μελαγχολίη. καὶ ἢν πάντη τοῦ σώματος ἐνοικήσῃ, αἰσθήσεσι, γνώμῃ, αἵματι, χολῇ, λάβηται δὲ καὶ νεύρων, αὐτή τε ἐς ἀνήκεστον τρέπεται, ἐντίκτει τε τῷ σκήνεϊ ἑτέρων

κοινωναὶ οὖσαι τῆς πάθης.] Κοινωνίαι Pc. *d.*

πιπίσκειν ὦν χρὴ τοῦ χυλοῦ τοῦ ἀψινθίου ξυνεχῶς ἀπὸ σμικροῦ τοῦ πλήθεος ἄχρι κυάθου κ. τ. λ.] Libri ferunt *ἀπὸ σμικροῦ τοῦ μεγέθεος ἄχρι κυάμου.* — Crassus: « ab exiguo incipiens ad cyathi usque mensuram." Pro *κυάμου* desiderarunt *κυάθου* Petitus et Wiganus; hic: « legendum, inquit, *κυάθου.* Etenim fluidi quantitas solidae rei, uti fabae, male comparatur; vel si fieri apte posset, nimis certe pusilla est, quae fabam tantum aequet. Vid. 77. 7. 8. (cap. de cur. phrenit.) *πιπίσκειν δὲ τὸ ἀπόβρεγμα (ἀψινθίου) ἢ χυλὸν αὐτέου πρὸ τῆς τροφῆς· ὁκόσον κυάθους δύο τοῦ ἀποβρέγματος, ἢ κύαθον πικροῦ τοῦ χυλοῦ* [*ξὺν ὕδατος κυάθοις δύο.*]. Pro *κύαθον* hic etiam quidam codd. *κυάμου* habent." Haec interpres Anglus: sed miror eum non insuper aliud quid offendisse; nimirum illud *μεγέθεος* aeque minus ac *κυάμου* in fluidi mensurae definitione apte usurpari posse videtur. Puto primo *κυάθου* in *κυάμου* abiisse, et postquam hoc in textum irrepserat, librarium *μεγέθεος* effecisse e *πλήθεος*, quod auctor posuerit; — nam *πλῆθος* apte de fluida materie, *μέγεθος* de solido corpore eoque integro, non in subtiles partes diviso, usurpatur.

ἢν μὲν ὦν νεότοκον τὸ πάθος ᾖ, καὶ μὴ πολλὸν ὥνθρωπος ἐκτραπῇ, οὐκ ἄλλης μὲν ἐπὶ τοῖσι ἰήσιος, τῆς δὲ λοιπῆς διαίτης χρέος, ἔς τε ἀνάληψιν τῆς ἕξιος κ. τ. λ.] Negatio *οὐκ* in libris ceteris omnibus et scriptis et editis omissa est: verba tamen, perinde ac si adscripta esset, acceperunt interpretes. Equidem, quia non credo eiusmodi quid subintelligi posse, *οὐκ* reposui.

Φράσω δὲ αὖθις.] Vulgo *Φράζω*: futurum O. ex H. V., idemque vidi in Pa. *b. c. d.*

ἢν δὲ ἐπὶ τοῖςδε σμικρόν τι ὑποπτώξασα ἡ νοῦσος παλίνορσος ὀφθῇ.] Ante omnia adponam Homeri versus ex Il. II. 311.

ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζῳ ἐπ' ἀκροτάτῳ, πεταλοῖς ὑποπεπτηῶτες, —

Forma *ὑποπτήσσω* igitur Homerica, at *ὑποπτώσσω* usurpavit Aretaeus (cf. Buttm. Gr. Gr. II. p. 285.). Magis solitum Iones *η* pro *ω* ponere, cf. Wessel. ad Herod. IX. 31., quem citavi ad *κρεηφαγίη*-in Hipp. de Victu acut. (p. 168.) — Vid. Matth. Gr. Gr. I. p. 49.

ἐπὶ σχέσι γυναικὸς καταμηνίων.] Ἐπισχέσι Goup., cett.; *ἐπὶ σχέσι* O. — *γυναικῶν* vulgo; *γυναικὸς* H. V. A. O. Pa. *b.*

ἢν δὲ μέλλῃ καὶ μὴ ἥκῃ, . . . ἐπισπέρχῃ δὲ ἡ νοῦσος.] Cap. de cur. *σκοτωματικῶν* noster: *ἢν δὲ ἡ μὲν μέλλῃ, τὸ δὲ πάθος αὔξῃ,* in re prorsus simili. Verbum *ἐπισπέρχειν* Homericum est: intransitive legitur Od. V. 304.: *ἐπισπέρχουσι δ' ἄελλαι Παντοίων ἀνέμων.*

ἡγεόμενον ἀπὸ τῶν σφυρῶν.] Ad *ἡγεόμενον* V. in m. *ἢ ἀρχόμενον.* Hoc ipsum A. Pa. *b. d.* ferunt.

τὴν ἱερὴν πιπίσκειν.] Pone *ἱερήν* pro glossemate delevi verba *τὸ καθαρτήριον φάρμακον.*

τῷ ἥπατι ἐγχρίμπτοντα.] Vulgo *ἐγχρίπτοντα.* V. Pa. *b.* *ἐγχρέμπτοντα* (with κ and υ written above). H. *ἐγχρέπτοντα* (sic), item Pc. *d.*, sine correctione illa. V. Pd. in marg. glossam ferunt *ἐντιθέντα.*

πρήσσειν τε τὰ ἔργα.] Τε de meo supplevi; asyndeton h. l. aegre fero. — Wig. *τά* in *τέ* mutatum cupiit.

κὴν ἐς τὰ μέγαλα δηθύνῃ, ἐν ἕδρῃ ἵζει ἡ μελαγχολίη.] Libri omnes *κὴν ἐς τὰ μέγαλα ἰθύνῃ.* — E Crassi et Wigani Latinis vix certi quid efficias. Neque hic, neque Petitus de *ἰθύνῃ* quidquam monet: certo reponendum *δηθύνῃ.*

αὐτή τε ἐς ἀνήκεστον τρέπεται, ἐντίκτει τε τῷ σκή-

νοσημάτων τόκους, μανίης, σπασμοῦ, παραλύσιος· κὴν ἐκ μελαγχολίης τάδε γίγνηται, τὰ ἐπιγιγνόμενα ἀνήκεστα. Ἐλλεβόρῳ ὦν χρέεσθαι ἐς ἴησιν τοῦ κακοῦ· ἐπίπροσθεν δὲ τοῦ ἐλλεβόρου χρὴ τόν τε στόμαχον μελετῆσαι ἐξεμέειν, καὶ τὰ ὑγρὰ λεπτῦναι, καὶ τὸ σκῆνος εὔροον ποιέειν· ἔμετοι δὲ τάδε πρήσσουσι, ἄλλοτε μὲν οἱ νήστιες, ἄλλοτε δὲ ῥαφανῖδες. Φράσω δὲ τόν τε τρόπον καὶ τὴν ὕλην. Φράσω δὲ καὶ τοῦ ἐλλεβόρου τὰ εἴδεα, καὶ τῆς χρήσιος τοὺς τρόπους, καὶ ὅκως προευκρινῆσαι ἕκαστον χρὴ, καὶ ὅκως ἐν τοῖσι ἐμέτοισι ἀρήγειν. Ἄπιστον, ἐπὶ τοῖςδε εἰ μὴ ἐλύθη ἐς τὸ πάμπαν ἡ νοῦσος, ἢ πολλῶν ἐτέων ἔσχε διαλείψιας. τὰ πολλὰ γὰρ τοῦδε ἀπότοκοι μελαγχολίαι. Ἢν δὲ ἔμπεδος ἥδε, μὴ ἤδη περιμένειν. χρὴ ὦν τὰ ἐς τὸν ἐλλέβορον ἅπαντα πρήσσειν. Ὑγιέας μὲν ὦν ἅπαντας ποιέειν ἀδύνατον τοὺς νοσέοντας· ἦ γὰρ ἂν ἰητρὸς κρέσσων θεοῦ. ἀπονίην δὲ καὶ διαλείψιας, καὶ νούσων ἐπικρύψιας, δρῆν θέμις ἰητρόν. Ἢ ὦν ἀπαυδῆν ἐπὶ τοῖςδε καὶ ἀπαρνεῖσθαι, προϊσχομένους τὸ ἄναλθες, ἢ καὶ ἐς τέλος τοῖσι ἔργοισι ὁμιλέειν. Διδόναι δὲ καὶ τῆς ἱερῆς τῆς δι' ἀλόης ἄλλοτε καὶ ἄλλοτε· καίριον γὰρ φάρμακον τῆς μελαγχολίης τόδε, στομάχου καὶ ἥπατος, καὶ χολῆς καθάρσιος, ἄκος ἐόν. Ἀτὰρ καὶ μαλάχης σπέρματος, ὁκόσον ὁλκῆς δραχμὴν, πιπίσκειν ξὺν ὕδατι, ἄριστον πείρῃ τις ἐπιστώσατο. Μυρία δὲ τῶν ἁπλῶν φαρμάκων ἄλλα ἄλλοισι ἔῃ χρηστά.

Ἐπὶ δὲ τοῖσι πόνοισι τοῖςδε ἐς ἀνάληψιν ἄγειν. μετεξετέροισι γὰρ ἐς μὲν τὸν τῆς ἰητρείης καιρὸν ἡ νοῦσος ἐξ ἕδρης μὲν ἐκινήθη· ἢν δὲ ἐς ἀνάπλασιν σαρκῶν καὶ δυνάμιος ὤνθρωπος ἥκῃ, ξυναπηλάθη πάντα τῆς νούσου τὰ ἴχνια. δύναμις μὲν γὰρ φύσιος ὑγείαν τίκτει, ἀσθένεια δὲ νοῦσον. Ἀπίτω ὦν ἐς ἀνάληψιν ὁ νοσέων, πεφυκόσι θερμοῖσι ὕδασι ἐνδιαιτώμενος· καὶ γὰρ τὰ ἐν τοῖςδε φάρμακα ὀνήϊστα, ἄσφαλτος, ἢ θεῖον, ἢ στυπτηρίη, πολλὸν πλεῦνες τουτέων ἄλλαι δυνάμιες. ἀγαθὸν μὲν

νεῖ ἑτέρων νοσημάτων τόκους κ. τ. λ.] Pro *ἐντίκτει*, quod de meo exhibeo, libri *ἐγκοτεῖ* vulgo; *ἐνκοτεῖ* H. V.; « et aliorum morborum corpori sobolem inserit.” Crassus. — Petitus in adn. tentat *ἐγκροτεῖ*. Wiganus *ἐγκύει*. — Neutrum placet; *ἐγκύειν* ne sumi quidem transitive, certe tali modo, puto. — Repono *ἐντίκτει*, nisi forte malis *ἐντεκνοῖ*.

μανίης, σπασμοῦ, παραλύσιος.] Hoc ordine in Pa. *b.* verba feruntur; in cett. *σπασμοῦ, μανίης, παραλύσιος.*

ἔμετοι δὲ τάδε πρήσσουσι ἄλλοτε μὲν οἱ νήστιες, ἄλλοτε δὲ ῥαφανῖδες.] Ad *οἱ νήστιες* Pd. in marg. habet glossam *οἱ πρὸ τροφῆς*.

Φράσω δὲ καὶ τοῦ ἐλλεβόρου τὰ εἴδεα, καὶ τῆς χρήσιος τοὺς τρόπους, καὶ ὅκως προευκρινῆσαι ἕκαστον χρή.] *Τῆς χρήσιος τοῦ τρόπου* libri. Petitus *τοὺς τρόπους*, vel *καὶ τοῦ τρόπου* requirebat; Wiganus *τὸν τρόπον*, vel *τοὺς τρόπους*. Equidem addita copula hoc praefero, quum plures elleborum sumendi *τρόποι* veteribus usitati essent, tum etiam quia saepius apud nostrum eiusmodi gen. sing. pro accus. plur. positum videre me memini. — H. Pc. *d.* *εὐκρινῆσαι*. — De *προευκρινῆσαι* s. *προεξευκρινῆσαι*, Hippocratico verbo, cf. Foës. in Oecon. in hac voce.

Ἄπιστον.] *Ἄριστον* H.

ὑγιέας μὲν ὦν ἅπαντας ποιέειν ἀδύνατον τοὺς νοσέοντας· ἦ γὰρ ἂν ἰητρὸς κρέσσων θεοῦ.] Verba *ὑγιέας* — *νοσέοντας* ex prognostici Hippocratis initio desumta esse, dudum vidit Petitus. Pro *ἦ* H. G. v. l. Pb. *ἦν*. — H. om. *ἄν*.

ἢ ὦν ἀπαυδῆν ἐπὶ τοῖςδε καὶ ἀπαρνεῖσθαι προϊσχομένους τὸ ἄναλθες, ἢ καὶ ἐς τέλος τοῖσι ἔργοισι ὁμιλέειν.] Libri omnes *προϊσχομένους ἄμφω τὸ ἄναλθες, ἢ καὶ κ. τ. λ.* — Wiganus *ἀμφί* pro *ἄμφω* legere tentat: — Crassus miro quodam modo Latine haec interpretatur. — Ego neque *ἄμφω* fero, neque ex *ἀμφί* hoc ortum iudico, sed additum puto a recentiore sciolo locum haud intellectum emendare scilicet cupiente: itaque litura sanavi. Bern. in vita Reiskii desiderat: *χρὴ ὦν ἀπαυδῆν ἐπὶ τοῖςδε καὶ ἀπαρνεῖσθαι προϊσχομένους ἄφνω τὸ ἀναλθές κ. τ. λ.* — Mihi ista coniectura non placet: nisi *ἄμφω* abundet, pone *τὸ ἀναλθές* interiit similis quaedam dictio v. c. *προϊσχομένους ἄμφω τὸ ἀναλθὲς καὶ τὸ κακοηθὲς, ἢ καὶ ἐς τέλος κ. τ. λ.*

ἄλλα ἄλλοισι ἔῃ χρηστά.] Sic O. H. Pc. *d.*; *εἴη χρηστά* vulgo; *ἔνχρηστα* Pa.; *εὔχρηστα* V. Pb.

μετεξετέροισι γὰρ ἐς μὲν τὸν τῆς ἰητρείης καιρὸν ἡ νοῦσος ἐξ ἕδρης μὲν ἐκινήθη· ἢν δὲ ἐς ἀνάπλασιν σαρκῶν καὶ δυνάμιος ὤνθρωπος ἥκῃ, ξυναπηλάθη πάντα τῆς νούσου τὰ ἴχνια.] Vulgo *ἰητρίης*, Pa. *ἰητρείας*, Pc. *ἰητρείης*, quod recepi. Libri omnes *ἐξ ἕδρης δὲ ἐκινήθη*, pessime; neque enim *δέ* isto loco ferri potest. Aut *δέ* delendum, aut *μέν* substituendum: neminem Graecos libros terere solitum offendet duplex *μέν*, quod minime

γὰρ ὑγρασίη ἐξ αὐχμοῦ τῆς νούσου καὶ ταλαιπωρίη τῆς ἰήσιος. ἀραιαὶ γὰρ καὶ μαλθακαὶ σάρκες ῥήϊσται πρὸς ἄφεσιν τοῦ νοσήματος· ξηραὶ δὲ καὶ πυκναὶ τοῖς μελαγχολῶσι αἱ σάρκες. Ἄλειμμα λιπαρὸν ἅμα τρίψιος εὐαφοῦς, πολλῷ τῷ λίπαϊ δέχοντα - - - - - - - - - - - - - ἄρτοι πλυτοὶ ξύν τινι γλυκεῖ, σιραίῳ τῷ Κρητικῷ, καὶ σκυβελίτῃ τῷ Παμφύλῳ. ἢ οἶνος καὶ μέλι, μίξιος παλαιῆς. Ὠῶν καὶ ψυχροτέρων καὶ θερμῶν, τῶν γυμνῶν ἀπὸ τοῦ ὀστρακώδεος. κρεῶν, τὰ μὴ πίονα καὶ σμηγματώδεα· συῶν μὲν πόδες καὶ τὰ τῆς κεφαλῆς· πτηνῶν τὰ πτερὰ ἀπίονα. θηρίων, λαγωῶν, δορκάδων, πτωκὸς, ὀπώρης, ὁκοῖόν τι ἄριστον ᾖ. Ἐπὶ τῇ τοῦ στομάχου ἀναφορῇ προμηθέεσθαι πρὸ τῆς τροφῆς, ὅκως μὴ καταποθεὶς ἀνεμεῖται. Διδόναι ὦν πρὸ πάντων σιτίων μελίκρητον, κυάθου ἥμισυ, καὶ πιόντα ἐξεμέειν ἐς τὴν τοῦ στομάχου κάθαρσιν. ὧδε γάρ σοι ἡ τροφὴ ἑδραίη μένει. Φάρμακα δὲ τῶν ἀναγκαίων καθαρτήρια, πίτυος καρπὸς, καὶ κνίδης· τῶν σπερμάτων τοῦ κοκκάλου, καὶ πεπέριος· ἀμυγδάλων αἱ πικραί· καὶ μέλι ἔστω τῶνδε ἡ ξύστασις. Ἢν δὲ ξηρῆναι θέλῃς, ἄριστον σμύρνα, καὶ ἴρεως ἡ ῥίζα, καὶ τὸ διὰ τῶν θηρίων φάρμακον, καὶ ἡ τοῦ Βηστίνου, καὶ Μιθριδάτου, καὶ ἄλλαι μυρίαι. Ἐπιθήματα δὲ, ἡ τῶν ἐπιπλασμάτων ὕλη, μελίλωτον, καὶ μήκωνες, καὶ τερμίνθου δάκρυον, καὶ ὕσσωπον, καὶ λίπας τὸ ἀπὸ ῥόδων, ἢ τῆς οἰνάνθης, κηρὸς δὲ τουτέων πάντων πάγος. Ἄλειμμα λιπαρόν· αἰῶραι· περίπατοι· ἄλλα, ὅσα σαρκῶν τε ἀνάπλασιν ποιέεται καὶ δυνάμιος ἰσχὺν, καὶ τῆς φύσιος ἐς τὸ ἀρχαῖον ἀποκατάστασιν.

- -

- -

a linguae usu alienum. Bernardi de hoc loco sententiam in vita Reiskii p. 297. silentio praeterire praestat.

δύναμις μὲν γὰρ φύσιος ὑγείαν τίκτει.] Μέν om. *Pb.*; ὑγείαν omnes.

ἄλειμμα λιπαρὸν ἅμα τρίψιος εὐαφοῦς πολλῷ τῷ λίπαϊ δέχοντα - - - -] Δεσχοντά H. *Pc. d.*; σχεδὸν τά V. A. *Pa. b.* — Lacuna h. l. in libris notatur; neque facile quis dubitet, num re vera adsit. Hinc fit, ut nihil mutem, quamquam vulgo ἅμα cum dativo iungitur; sed ignoramus horum verborum cum deperditis nexum.

ἄρτοι πλυτοί.] Ἄρτον τὸν πλυτόν laudat Gal. de alim. facult. I. 5.

σιραίῳ τῷ Κρητικῷ.] Vulgo θηραίῳ τῷ Κρητί. Sed H. σειραίῳ τῷ κρητικῷ, quod receptum in O. — Equidem σιραίῳ solito more scripsi.

καὶ σκυβελίτῃ τῷ Παμφύλῳ.] Libri omnes: καὶ σκυβελλίτῃ τῷ Παμφύλλῳ. — Otiosas literas delevi: σκυβελίτης supra iam obvium vidimus, Παμφύλῳ scripsi e Steph. Byz., qui in voce Παμφυλία conferendus cum interprett. —: nempe Πάμφυλος et Παμφύλιος dixere veteres.

Ὠῶν καὶ ψυχροτέρων καὶ θερμῶν, τῶν γυμνῶν ἀπὸ τοῦ ὀστρακώδεος.] Libri: τῶν γύμνῶν τῶν ἀπὸ τοῦ ὀστρακώδεος, quomodo certe nemo Graecus scripsit. Delevi τῶν ante γυμνῶν; neque vero magnopere alterum τῶν desiderarem, si forte abesset.

ἐπὶ τῇ τοῦ στομάχου ἀναφορῇ προμηθέεσθαι πρὸ τῆς τροφῆς, ὅκως μὴ καταποθεὶς ἀνεμεῖται.] Libri omnes προμηθεύεσθαι: reposui προμηθέεσθαι, quemadmodum scripsit Herodotus, quia comperi quam saepe hac in re a librariis peccetur: non sum nescius in Thesauro ab H. Steph. vulgatam in libris formam adferri ex Alex. Aphrod. praef. probl. (ubi p. 4. vs. 5. προμυθεύεται in Ed. Ideleriana), sed puto Aretaeum certe hac in re potius veterem usum esse secutum; vide quae adnotavi ad caput de cur. Tetani. — Porro vulgo ἀνεμῆται editur: ἀνεμεῖται recepi e *Pc. d.* Verbum ἐμέω futurum habet ἐμοῦμαι: itaque puto Aretaeum alterutrum scripsisse, ὅκως μὴ καταποθεῖσα ἀνεμῆται, ita ut καταποθεῖσα passive sumtum ad τὴν τροφήν referatur et ἀνεμῆται sit praesens subiunctivi passivi: vel ὅκως μὴ καταποθεὶς ἀνεμεῖται, ita ut καταποθείς transitive sumtum ad aegrum referatur, et ἀνεμεῖται futurum sit indicativi medii: hoc autem praefero, quia ὅκως μή, ἵνα μή cum fut. indic. sunt perfamiliaria.

καὶ μέλι ἔστω τῶνδε ἡ ξύστασις.] Libri: καὶ μέλι ᾗ τῷδε ἡ ξύστασις. Mihi haec verba vitio laborare videntur: certum iudico pro τῷδε reponendum esse τῶνδε: sed praeterea non satis intelligo istum subiunctivum ᾗ. Fortasse ᾗ τῷδε exstitit ex ἤτω τῶνδε: ita forte, ut ἤτω librarii scriberent pro ἔστω, quod dederit Aretaeus. Haec ratio cur ἔστω in textum introduxerim e solito nostri auctoris usu. — Potuit etiam auctor καὶ μέλι τῶνδε ἡ ξύστασις ponere: sed non mihi persuadeo, eum ᾗ scripsisse.

καὶ τερμίνθου δάκρυον.] Καὶ θερμίνθου δ. vulgo: alterum H. O. *Pc. d.*

ἄλλα, ὅσα.] Vulgo ἀλλ' ὅσα: sed ἄλλα O. ἀλλά. *Pc. d.*

τῆς φύσιος ἐς τὸ ἀρχαῖον ἀποκατάστασιν.] Cum hac

ΘΕΡΑΠΕΙΑ ΦΘΙΣΙΟΣ.

Κεφ. η'.

- - - - ὅκως ἐν νηΐ καὶ γαλήνῃ. καὶ γὰρ, εἰ εὐτυχοίη ὁ νοσέων, ἐν θαλάσσῃ γίγνοιτ' ἂν αἰώρη καὶ βιοτή· καὶ γάρ τι ξηρὸν ἐς τὰ ἕλκεα ξυνδίδωσι ἅλμη. Ἀπὸ δὲ τῆς αἰώρης ἐφησυχάσαντα χρίεσθαι νῦν λιπαρῷ λίπαϊ, ἐπὶ τῇσι τρίψεσι ἐξεχὲς καταιονούμενον - - - - ἀπ' ὀλίγου ἐκ προςαγωγῆς ἐς κοτύλας πέντε, ἢ ἕξ, ἢ πολλόν τι πλεῖον· ἢν δὲ μὴ, ὁκόσον τις δύνηται. πολλάκι γὰρ τόδε μοῦνον ἀντὶ πάσης τροφῆς ἤρκεσε. Γάλα δὲ ἡδὺ μὲν προςάρασθαι, πιεῖν δὲ ῥήϊστον, στερεὸν θρέψαι, καὶ τροφῆς ἁπάσης ἐκ παιδὸς ξυνηθέστερον· ἰδεῖν δὲ καὶ τερπνὸν τῇ χροιῇ· φάρμακον δὲ ἀρτηρίῃ ἄκερχνον, διαπτερῶσαι βρόγχον, ἄγειν φλέγμα, εὔπνοον, ὀλισθηρὸν δὲ τὴν κάτω διέξοδον· ἕλκεσι δὲ φάρμακον γλυκὺ, καὶ ἄλλου παντὸς εὐμενέστερον. Ἢν μὲν ὦν τις πολλὸν τοῦδε πίνῃ, οὐδεμίης τροφῆς ἄλλης χρέος· ἀγαθὸν γὰρ ἐν νούσῳ ἔνι φάρμακον γάλα τωὐτὸν γίγνεσθαι καὶ τροφήν. καὶ γὰρ ἀνθρώπων τῶν γαλακτοφάγων τὰ ἔθνεα σῖτον οὐκ ἔδει. Ἄριστον δὲ ξὺν γάλακτι καὶ πόλτοι, καὶ ἰτρία, καὶ χόνδροι πλυτοὶ, καὶ ὁκόσα ἐδεστὰ ἐκ γάλακτος γίγνεται. Καὶ τροφῆς ἢν ἑτέρης δέῃ, ἔστω ὁμοίη, πτισάνης ὁ χυλὸς, εὔπεπτος, λιτή· χρὴ δὲ τοσόνδε ἡδύνθαι, ὁκόσον ῥυμφάνεσθαί ἐστι ῥηΐστη· καὶ ἢν καὶ τῶν ἐς ἡδονήν τι λαμβάνῃ, καὶ τόδε ἔστω φάρμακον, λιγυστικοῦ κόμην, γλήχωνα, ἡδύοσμον, ἁλῶν βραχὺ, ὄξος, ἢ μέλι. ἢν μὲν στόμαχος ἀπεπτέῃ, τόδε παρέχειν· ἢν δὲ μηδὲν ὅδε προςαναγκάζῃ, πάντων ἐστὶ πτισάνη κρέσσων. Ἔξεστι δὲ τὴν πτισάνην ἐς χόνδρον ἀλλάξαι· ἀφυσότερος γὰρ

dictione, quae, licet haud ita presse, tamen ad Hippocratis imitationem usurpatur, cf. Oecon. Hipp. in voce *ἀρχαίη φύσις*.

Cap. 8. *καὶ γὰρ, εἰ εὐτυχοίη ὁ νοσέων, ἐν θαλάσσῃ γίγνοιτ' ἂν αἰώρη καὶ βιοτή.*] Illud *εἰ εὐτυχοίη* minus recte accipi puto ab interprett. — Crassus: «si recte habuerit aegrotans" Wiganus: «si res aegroto prospere cedant." — Me iudice *εὐτυχοίη* h. l. valet *ἐπιτυχοίη*, itaque verto: «si occasio detur."

ἀπὸ δὲ τῆς αἰώρης ἐφησυχάσαντα χρίεσθαι νῦν λιπαρῷ λίπαϊ, ἐπὶ τῇσι τρίψεσι ἐξεχὲς καταιονούμενον - - - - ἀπ' ὀλίγου ἐκ προςαγωγῆς ἐς κοτύλας πέντε ἢ ἕξ κ. τ. λ. —] In libris lacunae signum ponitur inter *τῇσι* et *τρίψεσι*, nec tamen ibi loci lacuna adest; nam facile patet omnia ad *καταιονούμενον* usque arctissime cohaerere, seqq. *ἀπ' ὀλίγου κ. τ. λ.* ad lactis potionem pertinere. Petitus, quum non animadvertisset, lacunae signum alieno loco positum esse, decipi se passus est, et corruptum esse credidit verbum *καταιονούμενον*, pro quo requirebat *γαλα πινόμενον*.

ἰδεῖν δὲ καὶ τερπνὸν τῇ χροιῇ.] Sic O. ex H. — Cett. *καί* omittunt.

Φάρμακον δὲ ἀρτηρίῃ ἄκερχνον, διαπτερῶσαι βρόγχον, ἄγειν φλέγμα, εὔπνοον, ὀλισθηρὸν δὲ τὴν κάτω διέξοδον.] In ima pagina ad horum verborum interpretationem Wiganus adnotat: «Haec ultima, quae de lactis virtutibus praedicantur, de oxymelite iisdem verbis dicit Hipp. (de Victu ac.). An igitur ea ad lac per scripti huius mutilationem traducta sunt? Certe quaedam hic enumeratae facultates ad lac vix referri posse videntur." Nostrum h. l. Hipp. imitari, res est certissima: nolim tamen affirmare, eum non re vera haec verba de lactis virtutibus intellecta cupivisse, maxime quia mox, *ἀγαθὸν γάρ*, inquit, *ἐν νούσῳ ἔνι φάρμακον γάλα τωὐτὸν γίγνεσθαι καὶ τροφήν.*

καὶ τροφῆς ἢν ἑτέρης δέῃ, ἔστω ὁμοίη, πτισάνης ὁ χυλὸς, εὔπεπτος, λιτή.] Paene exspectaveris *λιτός*, ut ad *χυλός* referres; nihil tamen mutandum esse, docet sequens *ὁκόσον ῥυμφάνεσθαί ἐστι ῥηΐστη*, quod ad *πτισάνη* refertur, non ad *τροφή*. — Itaque opinor *λιτή* etiam potissimum ad *πτισάνη* referendum esse, licet videam in Thesauri Edd. recentioribus, ubi hic locus voce *λιτός* adfertur, ad *τροφή* referendum dici. — Mirum non est auctorem, quum *χυλὸς πτισάνης* posuisset, epitheta adposuisse ita, ut genere non cum nomine *χυλός*, sed cum *πτισάνη* convenirent, infra ad ipsum nomen *πτισάνη* transit verbis *πάντων ἐστὶ πτισάνη κρέσσων.*

καὶ ἢν καὶ τῶν ἐς ἡδονήν τι λαμβάνῃ, καὶ τόδε ἔστω φάρμακον.] In libris *καί* ante *ἢν* desideratur: de coniectura mea adposui. Wiganus *ἢν δὲ καί* desideravit.

ἢν καὶ ὡς πτισάνη σμηγματώδης πτισθῇ.] Libri: *μιγματώδης ἐπτίσθω*: tum vero pro *ἢν* initio H. *ἢ*. —

καὶ εὐπεπτότερος, ἢν καὶ ὡς πτισάνη σμηγματώδης πτισθῇ. Ἐν τῇσι ὑγροτέρῃσι ἀναγωγῇσι, κύαμος καθαίρει ἕλκεα, ἀλλ' ἔστι φυσώδης. πίσος δὲ καὶ ὦχρος, ὁκόσον ἀφυσότερα, τοσόνδε ἑλκέων ἀκαθαρτότερα. ξυντεκμαιρόμενον ὦν πρὸς τὰ παρεόντα τοῖςδε χρῆσθαι. ὄψα δὲ αὐτέων, ἅσσα καὶ ἐπὶ πτισάνῃ λέλεκται. Ὠὰ δὲ ἐκ πυρὸς μὲν ὑδαρέα, θερμά· ἄριστον δὲ ἐκ ζώων ἀρτίτοκα, πρὶν τὴν -

ΘΕΡΑΠΕΙΑ ΗΠΑΤΟΣ.

Κεφ. ιγ'.

- - - ἥπατι ἕλκος ἔοι ὀλέθριον. Ἡ χαλεπωτάτη δὲ ἐς τὴν γαστέρα ξύῤῥοια τοῦ πύου, ἢν τὸν στόμαχον ἴσχῃ ὁδὸν ἐς τὴν ἄνω φορήν. τροφὴ γὰρ αἰτίη τοῦ ζῆν· τροφῆς δὲ ἡγεμὼν, ὁ στόμαχος· ποτὶ καὶ τὰ φάρμακα ὅδε τοῖσι εἴσω διαφέρει. ἢν ὦν πρὸς ἅπαντα μὲν ὄκνος καταπόσιος ἔλθῃ, θᾶσσον ἐκθανεῖν ἀνάγκη, νόσῳ τε καὶ λιμῷ. Γνώματα δὲ ἑκάστου χώρου, ὅπῃ τὸ πῦον τρέψεται, ἕτερα καὶ ἕτερα. Ἢν γὰρ δι' ἐντέρων ἥκῃ, στρόφοι· γαστὴρ ὑγρή· φλέγματα καὶ χολὴ, ἔπειτα ξὺν περιῤῥοῇ αἱμάλωψ, ἢ περίπλυσις, ὁκοίη κρεῶν ὠμῶν. Ἢν δὲ ἐς κύστιν ἴῃ, βάρος ἐν νεφροῖσι καὶ ὀσφύϊ· τὰ μὲν ὦν πρῶτα πολλὰ καὶ χολοβαφέα, ἔπειτα θολερὰ, ἀνυπόστατα καὶ ἀκατάστατα. ἐπὶ πᾶσι δὲ καὶ ἡ ὑπόστασις λευκὴ παρείη. Ἢν δὲ ἐς στόμαχον ἄνω ῥέπῃ, ναυτίη, ἀποσιτίη, ἔμετοι φλέγματος, ἢ χολῆς, λειποθυμίη, σκοτοδινίη, μέσφι ξυῤῥαγῇ.

Μάλιστα μὲν ὦν ἀποτρέπειν τήνδε· πονηρὴ γὰρ ἡ ὁδός. Ἢν δὲ τὸ πῦον βιαιότερον ῥεύσῃ, χρὴ πάντα ποιέειν καὶ τῷ στομάχῳ ἀρήγειν καὶ τροφῇσι, καὶ φαρμάκοισι, καὶ διαίταις, πάντα μειλίχως. Φαρμάκοισι ἐς τὴν τοῦ κόλπου ῥαγήν· βοτάνην τὴν ὑσσώπου ξὺν μελικρήτῳ πιπίσκειν, καὶ πρασίου τῆς κόμης, καὶ τῆςδε ξὺν μελικρήτῳ, καὶ χυλοῦ τῆς ἀψίνθου. Τάδε μέντοι πρὸ τῶν σιτίων πίνειν χρεὼν, ὡς λεπτὰ μὲν τὰ

σμηγματώδης legendum esse, viderunt dudum Petitus et Wiganus; de ἐπτίσθω ille nihil monuit, hic ἔπτισται, vel ἐπτίσθη desideravit. — Coniunctio ἤν subiunctivum requirit, quapropter ἢν — πτισθῇ dedi; quod si εἰ — ἐπτίσθη, vel εἰ — ἔπτιστο malis, non adversor. — Hoc certe scripturae ἐπτίσθω ansam praebuisse opinor.

ὑδαρέα.] Libri ὑδρέα: repono ὑδαρέα de coniectura Wigani, Petiti, mea; in ΥΔΑΡΕΑ litera Α pone Δ interiit, itaque ΥΔΡΕΑ exstitit.

Cap. 13. ἢν γὰρ δι' ἐντέρων ἥκῃ.] Libri: ἥν τε δι' ἐντέρων ἥκῃ. Crassus et Wiganus Latine interpretantur, quasi ἢν γάρ legissent, quod recepi. Puto γάρ in γέ et postea hoc in τε abiisse. Cf. adnn. nostras ad initium cap. de s. elephantiasis, ubi saepius γάρ restitui pro librorum scriptura γέ. — Pc. d. ἥκοι.

ἔπειτα ξὺν περιῤῥοῇ αἱμάλωψ, ἢ περίπλυσις ὁκοίη κρεῶν ὠμῶν.] Libri περιπλύσιος. Nominativum exhibui de coniectura Petiti, Wigani et mea.

ἢν δὲ ἐς κύστιν ἴῃ.] Vulgo ἔῃ: Pc. d. εἴη, unde ἴῃ exhibeo, quod etiam Wiganus desideravit.

βάρος ἐν νεφροῖσι καὶ ὀσφύϊ.] Ὀσφύν H. Pc. d., unde suspicor, olim in libris quibusdam scriptum fuisse κατ' ὀσφύν.

πολλὰ καὶ χολοβαφέα.] Vulgo χολοβάψια, quam formam probam esse non credo: cum Petito requirebam χολοβαφέα, quod exhibui.

ἔπειτα θολερὰ, ἀνυπόστατα καὶ ἀκατάστατα.] Illud ἀκατάστατα de urinis exquisite Hippocraticam dictionem refert; vid. Oecon. Foësii in voce.

ἔμετοι φλέγματος ἢ χολῆς.] Ἔμετος φ. ἢ χ. H. non male.

ἢν δὲ τὸ πῦον βιαιότερον ῥεύσῃ.] Libri εὕρῃ. Petitus ῥεύσῃ requirebat; quod antequam videram, ipse ῥυῇ, s. ῥυέῃ tentabam.

βοτάνην τὴν ὑσσώπου ξὺν μελικρήτῳ πιπίσκειν καὶ πρασίου τῆς κόμης, καὶ τῆςδε ξὺν μελικρήτῳ, καὶ χυ-

ὑγρὰ γίγνηται, εὔροα δὲ τὰ χωρία, εὔρηκτα δὲ τὰ ἔμπυα σώματα. Διδόναι καὶ ὄνου γάλα, λεῖον, ἄχολον, εὔτροφον, ἐς τυρὸν ἀσύστατον, ἥπερ ἐστὶ γάλακτος ἀρετή. Προςτίθει δὲ καὶ χάριτας πόματος καὶ σίτου· κἢν μικρῷ χείρω τῶν ὠφελεύντων ἔωσι, διδόναι, — ἔσται γὰρ διέξοδος ναυτιώδεϊ καὶ ἀτερπέϊ ὑγρῷ, — μήπω τι καὶ ἀπόσιτοι ἔσονται, κἢν τι λάβωσι, εὐημέες· μετεξετέρους γὰρ ἡ τοῦ πύου δίοδος ϐλάψαι. Χρὴ δὲ καὶ ἐπὶ τῇσι ἄλλῃσι ἐκροῇσι παντοίην μελέτην τοῦ στομάχου ποιέεσθαι· ὅδε γὰρ ἡ πάντων φαρμάκων ὁδός. Μεμνῆσθαι δὲ καὶ τοῦ ἥπατος χρεὼν, ἔνθα τῶν ἑλκέων ἐστὶ ἡ ῥίζα. Ἢν δὲ ἐς κύστιν ὁρμᾷ, οὐρητικοῖσι ἐξάγειν, ἀσάρου τῆς ῥίζης καὶ φοῦ, καὶ ἀδιάντου, καὶ μήου, τῶν ἐμπότων· τάδε μέντοι ξὺν μελικρήτῳ πιπίσκειν. ποικίλον μὲν τὸ Βηστίνου φάρμακον, καὶ τὸ διὰ τῶν φυσαλίδων, ἄριστον, ἠδ' ὁκόσα διὰ πείρης τισι ἐπαινέεται. Ἢν δὲ δι' ἐντέρων ἄγῃς, τὸ ἀγωγὸν ἔχεις γάλα· μάλιστα μὲν ὄνου· ἢν δὲ μὴ, αἰγὸς, ἢ μήλων. χυλοὶ δὲ ὀλισθηροὶ καὶ σμηγματώδεες, ὁ τῆς πτισάνης· ὄψα, πέπερι, ζιγγίβερι, λιγυστικόν. Ἀθρόον δὲ εἰρῆσθαι ἀμφὶ πάσης διαίτης, ἐπὶ πάσῃ συῤῥήξι τροφαὶ μὲν εὔχυμοι, εὐστόμαχοι, εὔπεπτοι· ἢ χυλοὶ, ἢ οἱ διὰ γάλακτος πόλτοι, ἄμυλος, ἰτρία ξὺν γάλακτι.

ΘΕΡΑΠΕΙΑ ΣΠΛΗΝΟΣ.

Κεφ. ιδ'.

Σκίῤῥου τοῦ ἐπὶ σπληνὶ λύσεις οὐ ῥήϊσται. ἢν δὲ καὶ ἀπότοκοι τῶνδε νοῦσοι γένωνται, ὕδρωψ ἢ καχεξίη, ὀκέλλει τὸ κακὸν ἐς ἀνήκεστον - - - - - τὸν ἰητρὸν τὸν

λοῦ τῆς ἀψίνθου.] Libri καὶ χυλῷ τῆς ἀψίνθου: non credo, Aretaeum πρασίου κόμην cum mulsa et succo absinthii dare voluisse, sed hyssopum cum mulsa, et marrubii comam cum mulsa, succum vero absinthii aqua dilutum, ut alias praecepit: hinc factum, ut χυλῷ in χυλοῦ mutarem. — Forma ἄψινθος Wigano displicuit, ita ut ἀψινθίου reponendum arbitraretur: equidem cum Petito notatu dignum quidem ἀψίνθου, sed tamen simul servandum iudico.

εὔρηκτα δὲ τὰ ἔμπυα σώματα.] Τὰ σώματα h. l. est *partes*, quae nempe in suppurationem abierunt. Vid. v. c. Orib. collect. med. XLIV. 2: ἐπὶ δὲ μαστῶν παχέων μὲν ὄντων τῶν ἐπικειμένων τῷ πύῳ σωμάτων. In cap. illo, Θεραπεία τῶν λιθιώντων νεφρῶν inscripto, quod in Sorano obvium p. 153. vs. ult.: ἐνιέναι χρή, τι τῶν πραΰνειν καὶ χαλᾶν τὰς φλεγμονὰς δυναμένων τῶν περὶ τῶν λίθων σωμάτων.

κἢν μικρῷ χείρω τῶν ὠφελεύντων ἔωσι, διδόναι.] Cf. Hipp. Aph. 38. II.

μήπω τι καὶ ἀπόσιτοι ἔσονται, κἢν τι λάβωσι εὐημέες.] Libri ferunt εὐηγέες (sic). Petitus εὐηγές Ionice pro εὐαγές desiderat. Wiganus item εὐαγές coniicit. — Hi num inventum suum Crassi Latinis debeant, nescio: certum est, eum εὐαγές interpretando expressisse, εὐαγέες Latine ad marginem adscripsisse. — Equidem in viam abeo longe diversam: repono εὐημέες, unde εὐηγέες natum puto. Nempe εὐαγής mediam syllabam brevem habet; ita ut εὐηγής si quis apud Ionicum scriptorem sensu probabili inveniret, vel propterea in εὐαγής mutare deberet. Sed recte habet h. l. quod ad sensum attinet εὐημέες, et vero tum εὐεμής, tum εὐημής scriptum fuisse videtur ab antiquis: cf. Lobeck. parerg. ad Phryn. p. 706. Ceterum verba μετεξετέρους — ϐλάψαι olim pone ἀτερπέϊ ὑγρῷ ferebantur, unde in pristinam sedem ea revocavi.

μετεξετέρους γὰρ ἡ τοῦ πύου δίοδος ϐλάψαι.] Cod. H. δύναται addit. Petitus ad vulg. lectionem adnotat: «E superiore sententia aliquid hic deesse coniicio, scilicet negationem cum adverbio ἧσσον, quae si restituantur, lectio haec fiet haud absurda, μετεξετέρους γὰρ οὐκ ἧσσον ἢ τοῦ πύου δίοδος ϐλάψαι. Quosdam enim haec scilicet cibi insuavis traiectio non minus ac puris transitus male habuit: fortasse et particula ἂν addenda, quae verbo ϐλάψαι respondeat." Non consentio; membrorum transpositione malo medendum fuit.

καὶ μήου.] Sic O. ex H.; μύου Pc. d.; μείου vulgo.

Βηστίνου.] ϐησσίνου H. Pc.

φυσαλίδων.] Sic Pc. φυσαλλίδων cett.

ἠδ' ὁκόσα διὰ πείρης τισι ἐπαινέεται.] Vulgo τῇσι, quod quid h. l. sibi velit, non capio: repono τισι.

ἢ οἱ διὰ γάλακτος πόλτοι.] Sic O. ex H.; οἱ omittunt cett.

ἄμυλος.] Ita sing. numero de meo scripsi; ἄμυλοι cett. — Puto vicinorum nominum numerum pluralem a librariis etiam ad hoc esse translatum, Aretaeum vero ἄμυλος scripsisse.

Cap. 14. ἢν δὲ καὶ ἀπότοκοι τῶνδε νοῦσοι γένωνται κ. τ. λ.] Notandus transitus a sing. num. σκίῤῥου ad pluralem τῶνδε: similem paulo post habemus in verbis χρὴ

σκίῤῥον ἰῆσθαι. χρὴ ὧν ἀποτρέπειν γιγνομένους καὶ λύειν ἄρτι ἀρχομένους. ἐνίστασθαι δὲ τῇσι φλεγμονῇσι, ὥνπερ οἱ σκίῤῥοι διάδοχοι - - ἐς διαπνοὴν ἄγωνται - - τὴν ἀπόστασιν· τάδε γὰρ φλεγμασίης - - - Ἰητηρίοισι δὲ χρέεσθαι, ὁκόσα μοι ἐν τῇσι ὀξείῃσι λέλεκται. Ἢν δὲ πάντα σοι πρήσσοντι ἐν φλεγμασίῃ ὁ σκίῤῥος ἐμμένῃ, καὶ πυρὶ ἰκέλοισι χρέο ἐς μάλθαξιν τῆς σκληρίης, τέγξεσι δι' ὄξεος καὶ ἐλαίου, καὶ μέλιτος· ἀντὶ δὲ εἰρίων, πτύγματα ἔστω ἀπὸ λίνου· ἐμπάσσειν ὧδε τῆς μυροβαλάνου σεσησμένης· ἐπιπλάσμασί τε τοῖσι μαλθακωτάτοισι - - - - αἳ - - - - - - - - - - - - - - - - -

ὧν ἀποτρέπειν γιγνομένους καὶ λύειν ἄρτι ἀρχομένους. — Cod. H. fert γεννῶνται.

ὀκέλλει τὸ κακὸν ἐς ἀνήκεστον - - - - τὸν ἰητρὸν τὸν σκίῤῥον ἰῆσθαι. χρὴ ὧν ἀποτρέπειν γιγνομένους καὶ λύειν ἄρτι ἀρχομένους.] In libris lacunae signa non inveniuntur. Crassus vertit: «insanabile malum effectum est. Hac ratione vero scirrhis medicus opem ferre debet: orientes avertere et nuper incipientes discutere oportet.” Hinc suspicor Petiti coniecturam exstitisse: τὸν ἰητρὸν τὸν σκίῤῥον ἰῆσθαι χρὴ ὧδε· ἀποτρέπει κ. τ. λ. — Haec non ferenda sunt, quia alia res est σκίῤῥον ἰῆσθαι, alia ἀποτρέπειν γιγνόμενον. — Trillerus voluit: τὸν ἰητρὸν μέλλοντα σκίῤῥον ἰῆσθαι χρή. — Sed tacet hic de particula ὧν pone χρή in libris invenienda. — Melius Wiganus ad τὸν ἰητρόν adscribit: «quaedam hic deficiunt.” — Lacunam esse, certum arbitror, adeo ut eam notaverim. Eiusmodi quid Aretaeum scripsisse puto: ὀκέλλει τὸ κακὸν ἐς ἀνήκεστον· τετελεσμένον γὰρ ἀδύνατον τὸν ἰητρὸν τὸν σκίῤῥον ἰῆσθαι. χρὴ ὧν κ. τ. λ.

ἐνίστασθαι δὲ τῇσι φλεγμονῇσι, ὥνπερ οἱ σκίῤῥοι διάδοχοι - - ἐς διαπνοὴν ἄγωνται - - - τὴν ἀπόστασιν, τάδε γὰρ φλεγμασίης - - - Ἰητηρίοισι δὲ χρέεσθαι κ. τ. λ.] Nulla in libris lacunae signa; tum vero ἥνπερ οἱ σκίῤῥοι διάδοχον ἐς κ. τ. λ. ferunt. — Petitus proponit: ὥνπερ σκίῤῥοι διάδοχοι, ἢν ἐς τὴν διαπνοὴν ἄγωνται τὴν ἀπόστασιν: nempe ἄγωνται transitive sumendum dicit. Wiganus ad ἥνπερ adnotat, ista non sana sibi videri. — Petiti coniectura valde displicet: novimus veteres existimare, inflammationem διαπνεῖσθαι, eas etiam subinde ἐς ἀπόστασιν converti, item eas in scirrhum mutari. Itaque suspicor, Aretaeum significare voluisse, medicum ad inflammationes maxime curam advertere debere, unde scirrhi fiant, nisi dissipentur, aut in abscessum convertantur, quum haec sint inflammationis remedia spontanea. Possis, si quid fingere velis, forte ad hunc modum lacunas complere: ἐνίστασθαι δὲ τῇσι φλεγμονῇσι, ὥνπερ οἱ σκίῤῥοι διάδοχοι, ἢν μὴ ἐς διαπνοὴν ἄγωνται, ἢ ἐς τὴν ἀπόστασιν· τάδε γὰρ φλεγμασίης τὰ κατὰ φύσιν ἄκεα. Ἰητηρίοισι δὲ κ. τ. λ. — Sed quamquam quid exciderit, vel interierit, incertum sit, aliquid locis notatis deficere, omni dubio vacare censeo.

ἢν δὲ πάντα σοι πρήσσοντι ἐν φλεγμασίῃ ὁ σκίῤῥος ἐμμένῃ, καὶ πυρὶ ἰκέλοισι χρέο ἐς μάλθαξιν τῆς σκληρίης, τέγξεσι κ. τ. λ.] De meo scripsi σκληρίης pro librorum lectione σκιῤῥίης, licet videam Schneiderum hoc vocabulum hinc in Lex. suum transtulisse. Quod ad verba πυρὶ ἰκέλοισι χρέεσθαι ἐς μάλθαξιν, quae nostro aevo mirum sonant, cf. Paulum III. 49: τῆς δὲ φλεγμονῆς, inquit, ἐπὶ τὸ σκιῤῥῶδες μεταπιπτούσης τοῖς ἰσχυροτέροις χρηστέον, ὥςτε καὶ τὴν ἐπιφάνειαν ἀμύσσεσθαι. — Et cum his compara nostri verba e cap. de cur. Coeliacorum: καὶ τὸ μάλαγμα ἐπίκλησιν τὸ χλωρὸν καὶ τοὐμὸν τὸ μυστήριον, τόδε γὰρ μαλάσσει τε καὶ ἀμύσσει καὶ θερμασίην ἐγείρει καὶ ἄφυσα τὰ σπλάγχνα ποιέει κ. τ. λ. Fortasse in deperditis ista πυρὶ ἴκελα enumerata fuerunt.

ἐμπάσσειν ὧδε τῆς μυροβαλάνου σεσησμένης κ. τ. λ.] Ad ὧδε «an recte?” quaerit Wiganus. Haud certo demonstrari posse videtur, id non ab auctore profectum esse, quapropter retineo.

ἐπιπλάσμασί τε τοῖσι μαλθακωτάτοισι - - - αἳ.] Omnes fere libri in μαλθακωτάτοισι subsistunt. Cod. H. continuo pone μαλθακωτάτοισι habet αἳ. Pc. μαλθακωτάτοισιν .... αἳ habet. Ego quum αἳ ad neutrum plurale ἐπιπλάσματα referri nequeat, ex hoc libro lacunae signa pone μαλθακωτάτοισι retinui.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

ΠΕΡΙ

ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ ΘΕΡΑΠΕΥΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

- -

ΘΕΡΑΠΕΙΑ ΔΙΑΒΗΤΟΥ.

Κεφ. β′.

Ὕδρωπος ἰδέῃ τὸ διαβήτεω πάθος αἰτίῃ καὶ διαθέσι· χώρῃ δὲ μούνῃ διάφορον, ἔνθα τὸ ὑγρὸν ἐκρέει. Ἀσκίτῃ μὲν γὰρ δοχεῖον τὸ περιτόναιον, οὐδ᾽ ἐκροὴν ἴσχει, ἀλλὰ μίμνον τῇδε πλημμυρεῖ· διαβήτεω δὲ φορὴ μὲν ὑγροῦ ἡ ἀπὸ τοῦ πάσχοντος ἡ ὠυτὴ καὶ ξύντηξις, ἐς δὲ νεφροὺς καὶ κύστιν ἡ ξύνδοσις τὰ περὶ ἔξοδον φέρει. ἥδε τοῖσι ὑδεριῶσι ἡ ὁδὸς ἐπιγίγνεται, ἢν ἐς ἀγαθὸν ἡ νοῦσος τρέπηται· ἀγαθὸν δὲ ἡ λύσις τῆς αἰτίης, καὶ μὴ τοῦ ἄχθεος ἐλαφρίη μοῦνον. Δίψος δὲ τουτέοισι μέζον, ἐκρέον γὰρ τὸ ὑγρὸν αὐαίνει.

Ἔστι δὲ τὰ ἄκεα ἐς τὴν ἐπίσχεσιν τῆς ξυντήξιος τὰ ὠυτὰ τοῖσι ὕδρωψι. Ἐς δὲ τὸ δίψος μεγάλης ἰητρείης χρέος, τόδε γὰρ ἐν τῷ εἴδεϊ ἀλγέων πάντων μέζον. καὶ ἢν πίωσί τι ὑγρὸν, πρόκλησις οὐρήσιος· ποτὶ καὶ ἐκθέον τόδε ξυναπάγει τῆκον τὰ ἐν τῷ σκήνεϊ. Φαρμάκων ὦν ἀδίψων χρέος· δίψος γὰρ μέγα, ἀκορίῃ ποτοῦ. ποτὸν γὰρ οὐδ᾽ ὅσον γίγνηται δίψεος ἄκος. Πάντη δεῖ τῷ στομάχῳ ἀρήγειν, ἔνθα τοῦ δίψεος αἱ πηγαί. Ἢν ὦν τῇ ἱερῇ καθαίρῃς, ἐπιθήμασι χρέο, νάρδῳ, μαστίχῃ, φοίνιξι, μήλοισι κυδωνίοισι ὠμοῖσι. τῶνδε ὁ χυλὸς μὲν ξὺν νάρδῳ καὶ ῥοδίνῳ, ἄριστον ἐς τέγξιν· ἐπίπλασμα δὲ ἡ σὰρξ αὐτέων ξὺν μαστίχῃ, καὶ φοίνιξι. ἐν κηρῷ δὲ καὶ νάρ-

Cap. 2. ὕδρωπος ἰδέῃ τὸ διαβήτεω πάθος κ. τ. λ.] Vulgo editur τοῦ διαβήτεω πάθος; Pc. *f. g.* pro τοῦ ferunt τῷ. Neutrum ferri potest, quapropter de coniectura mea τὸ διαβήτεω πάθος repono.

διαβήτεω δὲ φορὴ μὲν ὑγροῦ ἡ ἀπὸ τοῦ πάσχοντος ἡ ὠυτὴ καὶ ξύντηξις.] Pro ἡ ὠυτή vulgo editur ἑωυτῇ: O. ert ἡ ἑωυτή, unde ἡ ὠυτή scribo. — Unus liber Pg. ξύντηξις, cett. σύντηξις.

ἀγαθὸν δὲ ἡ λύσις τῆς αἰτίης καὶ μὴ τοῦ ἄχθεος ἐλαφρίη μοῦνον.] Ἐλαφρίη notatu dignum: recte Crassus et Wiganus *levatio* sunt interpretati.

